

LIBRARY
OF THE
UNIVERSITY
OF ILLINOIS

223.6
Su76

CLASSICS

The person charging this material is responsible for its return to the library from which it was withdrawn on or before the **Latest Date** stamped below.

Theft, mutilation, and underlining of baaks are reasans far disciplinary actian and may result in dismissal fram the University.

Ta renew call Telephane Center, 333-8400

UNIVERSITY OF ILLINOIS LIBRARY AT URBANA-CHAMPAIGN

JUL 25 1985

JAN 27 1986

IBRC 7/12/10

CLASSICS

L161—O-1096

Digitized by the Internet Archive
in 2013

http://archive.org/details/supplementumpsaljagi

D. D. D. AUCTOR

SUPPLEMENTUM PSALTERII BONONIENSIS

INCERTI AUCTORIS EXPLANATIO PSALMORUM GRAECA

AD FIDEM CODICUM

EDIDIT

V. JAGIĆ

Dr. Emil von Ottenthal

CAESAREAE ACADEMIAE VINDOBONENSIS LIBERALITATE ADIUVANTE

VINDOBONAE
ADOLPHUS HOLZHAUSEN
MDCCCCXVII

SUPPLEMENTUM PSALTERII BONONIENSIS

INCERTI AUCTORIS

EXPLANATIO PSALMORUM GRAECA

D. D. D. AUCTOR

SUPPLEMENTUM PSALTERII BONONIENSIS

INCERTI AUCTORIS EXPLANATIO PSALMORUM GRAECA

AD FIDEM CODICUM

EDIDIT

V. JAGIĆ

CAESAREAE ACADEMIAE VINDOBONENSIS LIBERALITATE ADIUVANTE

VINDOBONAE
ADOLPHUS HOLZHAUSEN
MDCCCCXVII

Vindobonae. — Typ. Adolphi Holzhauseni.

223.6
Su 76

PRAEFATIO.

Facturusne operae pretium sim, si incerti auctoris explanationem psalmorum Graecam nondum editam publici iuris fecerim, ambigi potest, cum opus quod editurus sum neque doctrina theologica neque elocutionis elegantia emineat; in quo vaticinationis instar dicta psalmistae ad res Novi Testamenti referuntur Evangeliorumque sententiae verbis psalmorum probantur. Constat tamen iam dudum viros doctos id contendisse, ut haec psalmorum explanatio in lucem proferretur. I. A. Fabricius quidem, Bibliothecae Graecae auctor clarissimus, volumine operis quinto pag. 217 argumentum codicis Vindobonensis, quo genuina Origenis scholia in psalmos contineri suspicabatur, omnino dignum quod ederetur censuit. Cuius desiderio ut satisfaceret, Carolus Delarue, presbyter Benedictinus e congregatione Sancti Mauri, Origenis operum omnium editioni Parisinae, quae ipsius cura anno 1733 facta est, etiam haec scholia intexere voluit, subscriptioni quae in ultima codicis Vindobonensis pagina legitur nimiam fidem habens: *Ὠριγένους ἐξήγησις εἴληφε τέρμα* — verba sunt in fine codicis rubro colore exarata. Idem ille hunc ad finem apographon codicis a Bartensteinio ipsius in usum descriptum penes se habuisse testatur. Verum posteaquam duo quae Origenis tempore nondum usitata fuisse opinabatur vocabula, *θεοτόκος* et *ὁμοούσιος,* in hac explanatione repperit, subscriptioni codicis diffisus proposito destitit. A. T. Kollarius

autem, cuius cura altera Lambecii operis de codicibus bibliothecae Caesareae Vindobonensis editio anno 1766 prodiit, in tomo tertio p. 68—70, argumentationem Delarui refutare conatus neque tamen explanationem ipsam Origeni vindicare ausus est. Manet res dubia et incerta, quippe cum praeter Origenem et Athanasium etiam presbyter quidam Hesychius auctor huius explanationis in codicibus nominetur. Tertius denique sed nisi fallor prior tempore, qui operis edendi curam habuit, erat vir venerabilis, Scotus origine, nomine D. Colvill. Qui editoris munere accuratissime functus, totam psalmorum explanationem variis e codicibus bibliothecae Escurialis Hispanicae summa industria collegerat, interpretationem Latinam adiunxerat, omnia quae ad editionem necessaria erant praeparaverat. Neque ea tamen in lucem prodiit, sed Mediolani nunc in bibliotheca Ambrosiana asservatur. Equidem anno 1903 per aliquot hebdomades codicis chartacei foliorum 469 examinandi occasionem habui discrepantiasque lectionum quae inter hunc codicem et Vindobonensem duosque Marcianos intercedunt diligenter adnotavi. Colvilli opus inscribitur: Athanasii Alexandriae episcopi in Psalmos commentarii perpetui, nunc primum in lucem editi ex bibliotheca regia Escuriali dicta. Idem Graece brevius: *Ἀθανασίου ἀρχιεπισκόπου Ἀλεξανδρείας ἑρμηνεία εἰς Ψαλμούς.* Ut ex hac inscriptione elucet, Colvillus Athanasium commentariorum auctorem fuisse putabat. Cuius liber non totus una manu scriptus videtur esse, neque eadem est, quae diversis locis emendationes apposuit, sed haec fortasse ipsius Colvilli manus erat. Quod plerumque hoc modo factum est, ut prioris scripturae vestigia remanerent, quia haec nisi virgula non oblitterata est. Nonnullis locis tamen corrector quisquis ille fuit rasura usus est aut chartula, in qua emendationem fecit, priorem lectionem obtexit; cuius rei causa in margine aliquot verbis explicari solet. Argumentum vero explanationis idem est atque in ceteris codicibus, quibus in hac editione usi sumus, sed ad nonnullos psalmos, veluti ad ps. 90—98, duplex adhibetur explanatio.

Quod mihi demum contigit, ut hoc incerti auctoris opus ad fidem non unius, sed aliquot codicum in lucem protraherem, non ea de causa factum esse fateor, ut litterarum theologicarum studia promoverem aut monumentorum ecclesiasticorum numerum augerem, sed interpretationi operis Palaeoslovenicae, quam Psalterii Bononiensis editioni anno 1907 adiunxi, aperto fonte Graeco adiumentum adferre volui. Namque interpretatio Palaeoslovenica adeo ad verbum exemplaris Graeci facta est, ut multis locis recta eius significatio erui non possit nisi restituta lectione Graeca. Itaque ad melius cognoscendum quae sit interpretationis Slovenicae sententia, maxime necessarium mihi visum est, ut conferendi cupidis tota explanatio Graeca ex codicibus Graecis deprompta pateret. Hoc consilio ductus iam abhinc annos quindecim codicibus Graecis, in quibus haec explanatio inest, operam studiumque navare coepi. Ac primum quidem codicem Vindobonensem 311 totum descripsi, quem cum propter aliquot folia, quae perierunt, primis novem psalmis carere viderem, aliorum subsidio ut hae aliaeque lacunae explerentur necesse erat. Observaveram praeterea in codice Vindobonensi variis locis additamenta exstare, quibus interpretatio Palaeoslovenica caret, unde facile concludere potui hanc interpretationem nihil cum codice Vindobonensi commune habere, quare fons eius Graecus alibi quaerendus erat, quem revera Venetiis in duobus bibliothecae Marcianae libris et Mediolani in Colvilli hereditate reperire potui. Sed de his omnibus rebus in dissertatione, quam 'Ein unedierter Psalmenkommentar' (Denkschriften der phil.-histor. Klasse Wien Bd. LII. 1904) inscripsi, uberius disputavi. Ex pertractatis ibidem omnibus quae huc pertinent rebus intellegitur praeter Vindobonensem 311 eiusque quasi simulacrum codicem bibliothecae Oxoniensis Baroccianum 118 (cuius nisi aliquot paginarum argumenta mihi praesto non erant) me praecipue in codicibus bibliothecae Marcianae cl. I. 29 (vel Nan. 22) et cod. 535 exoptatum adiumentum invenisse, quo propositum editoris officium facile persolvere possem. Quamobrem

ex utroque codice Marciano quidquid cum interpretatione Palaeoslovenica melius congruebat quam verba codicis Vindobonensis, in usum huius editionis diligenter excerpsi et adnotavi. Colvilli liber manuscriptus ad editionem, cuius finis arte descriptus erat, non tanti fuit momenti, quippe qui saepissime cum Marcianis codicibus consentientes lectiones praeberet, sed in futura editione amplo apparatu critico exornanda variae auctoris adnotationes respiciendae erunt. Vaticanus codex 342, quem anno 1902 inspicere mihi licuit, quamvis eiusdem sit argumenti, tamen mirum in modum singulas sententias amplificatas praebet, a qua amplificatione et ceteri codices, quibus usi sumus, et interpretatio Palaeoslovenica prorsus abhorrent.

His subsidiis adiutus editionem, quam benevolis lectoribus offero, ita instruxi, ut quae quoque loco lectio Graeca exactum interpretationis Palaeoslovenicae exemplar ostenderet, eam omnibus aliis praeferendam putarem sine ulla codicum distinctione, sola interpretationis verba respiciens. Selectis hoc modo e singulis codicibus verbis Graecis ita usus sum, ut nihil contra fidem unius alteriusve codicis praeter additamenta, quae interpretatio Palaeoslovenica evocabat, in editionem reciperem. Ubi maioris momenti discrepantias inter singulos codices observatas commemorari oportuit, lectionem Graecam, quae ad interpretationem Palaeoslovenicam proxime accedebat, priore loco, quamlibet aliam posteriore loco, uncis rotundis ( ) inclusam collocabam. Ubi vero indicari debuit aliqua verba in uno alterove codice deesse aut in interpretatione Palaeoslovenica non exstare, discrepantias id genus angulatis uncis [ ] insigniebam idemque signum adhibebam, si in codice Vindobonensi totus versiculus interpretationis desideratur, in aliis vero codicibus et in interpretatione Palaeoslovenica suo loco legitur. Denique si quid interpretatio Palaeoslovenica contra auctoritatem omnium qui praesto erant codicum exhibet, haec omnia Graecis explicata verbis cacuminatis ⟨ ⟩ inclusi signis, quoniam persuasum mihi erat ab interprete Slovenico nihil ex libidine additum esse. Additamenta

codicis Vindobonensis, quae aliquanto maiorem ambitum habent, quibuscum semper etiam Baroccianus consentire videtur, in adnotationibus adicere malui.

Restat ut tres quibus haec editio potissimum nititur codices brevissime describam, de quibus in dissertatione, cuius mentio supra facta est, plenius disputaveram.

Codex cl. I. 29, idem Nan. 22, qui in catalogo Venetiis anno 1895 edito numerum 64 habet, omnibus vetustior, saeculo decimo vel ineunti undecimo tribui solet, cuius antiqua pars membranacea venustis litterarum formis exarata est; sed hic liber propter amissa folia maiore psalmorum parte caret, quae reliqua sunt folia, pessime commixta hanc psalmorum seriem ostendunt: Ps. XVII. 15—XXVIII. 8 leguntur in fol. 48—71; ps. XXIX. 5—XXXII. 12 habes in fol. 92—98; ps. XXXIII. 10–20 in fol. 72; ps. XXXIV. 13–21 in fol. 73; ps. XXXV. 7—XL. 8 exstant in fol. 99—112; ps. XLI. 7—XLV. 9 in fol. 120—128; ps. LIV. 5—LVIII. 6: fol. 39—46; ps. LXVII. 17–24: fol. 47; ps. LXVII. 25—LXX. 1 continentur fol. 113—119; ps. LXX. 2—LXXVII. 57: fol. 130—153; ps. LXXVII. 57–66: fol. 129; ps. LXXVII. 66—LXXIX. 20: fol. 154—158; ps. LXXXII. 2—LXXXV. 5: fol. 159—164.

Codex Marcianus, numero DXXXV signatus, aetate aliquanto posterior, saeculo exeunte undecimo vel medio duodecimo scriptus esse putatur. Qui eum et omnes fere psalmos et hymnos subiecta explanatione optime conservaret, praecipuas editioni utilitates praebuit maximaque diligentia a me collatus est. Primos novem psalmos, quorum expositio in Vindobonensi deest, plane ex hoc codice sumptos editioni inserui. Sed idem compluribus aliis locis lectiones habet, quae ad illustrandam interpretationem Palaeoslovenicam multum conferunt. Nonnullis tantum amissis foliis desiderantur haec: ps. XXV. 7—XXVII. tit., XXX12–20, LXXXV. 14—LXXXVI. 4. Qui postea lacunas foliis chartaceis interiectis explere conatus est, non eandem, sed aliam explanationem adhibuit.

Iam anno 1840 Bartholomaeus Kopitar, vir ingenio acerrimo praeditus bonisque consiliis plenus, academiae Petropolitanae proposuerat, ut codicem Vindobonensem 311 una cum interpretatione Palaeosloveniea codicis Bononiensis suo sumptu ederet. Cuius spes ad irritum cecidit. Itaque mirum non est, quod diuturna litterarum Slavicarum vota soluturus equidem post consilium psalterii Bononiensis edendi captum primum in codicem Vindobonensem 311 incidi, cuius describendi postquam Vindobonam remigravi optima occasio data est. Quod mensibus aestivis anni 1901 factum est. Descriptionem codicis Lambecius et Kollarius, deinde Nesselius in libris notissimis dederunt. Addam vero codicem non solum primis foliis, quibus psalmi I—IX. 16 continebantur, mancum esse, verum etiam in medio codice aliquot folia excidisse; nam inter folia 63 et 64 deest unum, in quo ps. XXXVIII. 1–7 legebantur; alterum inter folia 69 et 70, quo ps. XLI. 8—XLII. 3 continebantur; tertium inter folia 207 et 208, cuius argumentum erat ps. CV. 30–41; quartum et ultimum inter folia 213 et 214, quocum verba ps. CVI. 38—CVII. 1 desiderantur. Sed multo maius codex detrimentum inde accepit, quod explanationis verba rubro, nisi mavis dicere croceo colore, ut a psalmorum verbis nigro atramento exaratis magis discernerentur, scripta sunt, quae magno saeculorum spatio adeo expalluerunt, ut haud raro vix legantur. Ut tutius procederem, equidem apographon anno 1901 factum denuo his proximis mensibus contuli, sed abhinc quindecim annos sive color scripturae codicis sive quod probabilius est meorum acies oculorum multum imminuta est, multis locis me primo melius legisse atque explicavisse quam postea fateor. Quod tamen me recte investigavisse existimo, interpretationi Palaeoslovenicae debeo, cuius ope varios locos obscuros, quasi aenigmata scripturae, coniectura consecutus sum.

Codex 311 Vindobonensis nunc 290 foliis constat, quattuor folia perierunt. Singuli fasciculi quaternis membranae tabulatis constant, quorum primo et supero quoque haec bina folia cuiusvis fasciculi

occupantur: 3—4, 11—12, 19—20, 27—28, 35—36, 43—44, 51—52, 59—60, **66—67**, 73—74, 81—82, 89—90, **98—99**, 107—108, 115—116, 123—124, 131—132, 139—140, 147—148, 155—156, 163—164, 171—172, 179—180, 187—188, 195—196, 203—204, **210—211**, 217—218, 225—226, 233—234, 241—242, 249—250, 257—258, 265—266, 273—274, 281—282. Quo fere tempore codex scriptus sit, ex subscriptione in fine ultimae paginae addita apparet, quam Lambecius et Kollarius male legerant; ego emendationem amplector, quam mihi professor Iosephus Bick, custos Caesareae bibliothecae Vindobonensis, quem honoris causa nomino, benigne concessit comprobatamque et ipse video:

+ θύτης εὐτελὴς Μιχαὴλ Λουλούδης
καὶ πρωτοψάλτης τῆς Κρητῶν ἐκκλησίας
κἀκ τῆς Ἐφέσου καταγόμενος πάλαι
θεοῦ συνάρσει τήνδε γέγραφα βίβλον.

Librarium codicis Luluden anno 1305 Epheso aufugisse docemur subscriptione codicis Marciani 292, quod olim (pridem, *πάλαι*) fuisse Vindobonensis codicis verba adfirmant. Sed idem Luludes in codice Arundeliano 523 anno 1313 sacerdos *(ἱερεύς)* Cretensis fuisse commemoratur. Inde patet codicem Vindobonensem post annum 1305, propius vero ad annum 1313 scriptum esse.

Viro clarissimo, collegae optimo, professori Ludovico Radermacher, qui singulas libri plagulas, antequam prelo subicerentur, accuratissime perlegere mendisque typographicis levare libentissimo animo studuit, maximas debeo gratias. Itidem collega amicissimus Edmundus Hauler atque professor Iosephus Bick de hoc libro optime meriti sunt.

Scribebam Vindobonae die festo paschae, anni MCMXVI.

V. Jagić.

I.

1. *Μακάριος*] *Ἡ μὲν προφητεία πληροῦται εἰς τὸν Ἰωσὴφ τὸν Ἀριμαθεῖον, ὅτι (ὅτε) οὐ συμπαρεγένετο (συμπαραγίνεται) τοῖς Ἰουδαίοις, ἡνίκα κατὰ τοῦ Χριστοῦ πονηρὰ ἐβουλεύοντο (-σαντο). Τὸ δὲ ἴδιον τοῦ λόγου μακαρίζει πάντα ἄνθρωπον, τὸν μὴ συνεδριάζοντα ἢ συνευδοκοῦντα (συμπαραινοῦντα) τοῖς κακὰ βουλευομένοις ἢ ἀτάκτως περιπατοῦσιν.*

καὶ ἐν ὁδῷ] ⟨*Ὁδὸν τοῦτον τὸν βίον λέγει, ἐπεὶ καὶ ἡμεῖς εἰς συντέλειαν τοῦ βίου ἐρχόμεθα.*⟩[1]

2. *ἀλλ' ἢ ἐν τῷ νόμῳ*] *Οὔτε γὰρ ἄλλως κατορθοῦται ἀποχὴ κακῶν, εἰ μὴ διὰ μελέτης (τῶν θείων) γραφῶν.*

3. *καὶ ἔσται*] *Ὡς γὰρ τὰ ξύλα, τὰ ἑστῶτα παρὰ τοῖς ὕδασιν, ἀειθαλῆ εἰσιν (ἀεὶ θάλλουσιν), οὕτως ὁ ἀρδευόμενος τῇ τῶν γραφῶν μελέτῃ ἀναθάλλει τὸν νοῦν (ἀεὶ) καὶ ὑγιῆ τὴν διάνοιαν κέκτηται· ξύλον δὲ λέγει τὸν σταυρόν, τοῖς ὕδασι τῆς κολυμβήθρας περιεχόμενον, καὶ θάλλοντα (θάλποντα) τοὺς φωτιζομένους.*

ὁ τὸν καρπόν] *Τῷ γὰρ ἰδίῳ καιρῷ ἐκαρποφόρησε ὁ σταυρὸς τὴν ἡμῶν σωτηρίαν, τουτέστι τὸν βότρυν τῆς ζωῆς.*

καὶ τὸ φύλλον] *Φύλλα τοῦ σταυροῦ οἱ πιστοί, ὡς ὑπ' (ἀπ') αὐτοῦ γεννώμενοι (γενόμενοι) καὶ ἐν αὐτῷ (δι' αὐτοῦ) μένοντες οὐκ ἀπορρίπτονται (ἀπορρυίσκονται).*

καὶ πάντα] *Πάντα γάρ, ὅσα διὰ τοῦ σταυροῦ γίνονται (ἐγένετο), εὐοδοῦται (κατευοδοῦνται).* [*προκόπτει γὰρ καὶ ἐνέστηκε καὶ πέρας οὐκ ἔχει, οἷον ἡ πίστις, ἡ ἐλπίς, ἡ ἀγάπη*].

4. *οὐχ οὕτως*] *Οὐδὲν γὰρ τῶν τοῦ σταυροῦ παρὰ αἱρετικοῖς ἢ Ἰουδαίοις ἢ Ἕλλησι κρατεῖ ἢ καρποφορεῖ, ἀλλ' ὥσπερ ὁ χνοῦς σκορπίζεται* [*ὑπὸ ἀνέμου*], *οὕτως οἱ Ἰουδαῖοι διὰ (ἀπὸ) τῆς ἀνοίας καὶ ἀπιστίας ἀπέστησαν ἀπὸ Χριστοῦ καὶ ἀνερριπίσθησαν πανταχοῦ γῆς (π. ἀπὸ τῆς γῆς).*

5. *διὰ τοῦτο*] *Οἱ γὰρ μὴ γινώσκοντες τὸν θεὸν ἢ σέβας αὐτῷ μὴ προσφέροντες μετὰ τὴν ἀνάστασιν εὐθύνας οὐκ ἀπαιτοῦνται· ἔχουσι*

---

[1] Hic versiculus non nisi in versione slavica legitur, in graecis qui praesto sunt codicibus non occurrit.

γὰρ τὴν ἀπόφασιν αὐθαίρετον. οὐδὲ γὰρ εὑρίσκεται ἐν αὐτοῖς ἔργον δικαιοσύνης.

6. ὅτι γινώσκει] Ἔγνωσται γὰρ [τῷ θεῷ] καὶ ἡ τῶν δικαίων ὁδὸς καὶ ἡ τῶν ἀδίκων, καὶ τὴν μὲν σώζει, τὴν δὲ βδελύττεται καὶ ἀπορρίπτει ὡς ἄχρηστον.

II.

Ψαλμὸς τῷ Δαυίδ] Δαυὶδ ἱκανὸς χειρὶ ἑρμηνεύεται· ἱκανὸς δὲ χειρὶ ὁ Χριστὸς ὡς πάντα ἔσω τῆς χειρὸς ἔχων, τουτέστιν εἰς αὐτὸν ἐλέχθη ἡ προφητεία. λέγει γὰρ τῷ Δαυίδ, ὡς ἐξ αὐτοῦ τὸ κατὰ σάρκα.

1. Ἵνα τί] Τουτέστιν ἵνα τί τὸ ἔθνος τῶν Ἰουδαίων ἐθυμομάχουν καὶ ἔβρυχον κατὰ τοῦ Χριστοῦ, μελετῶντες τὸν θάνατον αὐτοῦ; ἀπέβη δὲ αὐτοῖς εἰς κενόν.

2. παρέστησαν] Ἡρώδης καὶ Πιλᾶτος. καὶ αὐτοὶ γὰρ κατὰ τοῦ Χριστοῦ ὡπλίσθησαν.

κατὰ τοῦ κυρίου] Κατὰ τοῦ κυρίου (θεοῦ) καὶ κατὰ τοῦ κυριακοῦ ἀνθρώπου· θεὸς γὰρ [ἦν τέλειος] καὶ ἄνθρωπός ἐστι [τέλειος] ὁ Χριστός.

3. διαρρήξωμεν] Οὔτε γὰρ ὑπετάγησαν τῷ ζυγῷ τῆς πίστεως [τοῦ Χριστοῦ] ὁ Ἰουδαικὸς λαός· πανταχοῦ δὲ ἀντέστησαν.

4. ὁ κατοικῶν] Πάντες, ὅσοι οὐράνιον φρόνημα διὰ τῆς εἰς Χριστὸν πίστεως ἔσχον, τούτους γελῶσιν καὶ καταπατοῦσιν.

καὶ ὁ κύριος] Ἐξουδενώθησαν γὰρ [ὑπὸ τοῦ θεοῦ] πανταχοῦ γῆς.

5. τότε λαλήσει] Τότε. πότε; ἐν τῇ ἡμέρᾳ τῇ φοβερᾷ, ὅταν ἴδωσι τὸν Χριστόν, ἐρχόμενον μετὰ δόξης καὶ δυνάμεως πολλῆς. τότε ταράσσονται καὶ τῷ φόβῳ στροβοῦνται· αὐστηρὸν γὰρ αὐτὸν ἕξουσιν ⟨καὶ θυμώδη⟩.

6. ἐγὼ δὲ] Λέγει γὰρ καὶ πᾶσαν τὴν ἐξουσίαν ἔδωκεν τῷ υἱῷ αὐτοῦ.

ἐπὶ Σιὼν] Ἐν τῇ ἐκκλησίᾳ, ⟨καθὼς γέγραπται,⟩ ἐπὶ τοὺς πιστούς. [Σιὼν γὰρ ἄρτος ἑρμηνεύεται· ὁ γὰρ οὐράνιος ἄρτος καθεκάστην ἐν τῇ ἐκκλησίᾳ ψάλλεται ὑπὸ τῶν πιστῶν.]

7. διαγγέλλων] Αὐτὸς γὰρ τὴν βουλὴν τοῦ πατρὸς ἐκήρυξε τοῖς ἀνθρώποις καὶ τὴν ζωήν.

κύριος εἶπεν] Ἐν τῷ εἰπεῖν τὸν πατέρα· οὗτός ἐστιν ὁ υἱός μου ὁ ἀγαπητός.

ἐγὼ σήμερον] Τὸ δὲ σήμερον σημαίνει τὸ ἄναρχον καὶ τὸ ἐπὶ συντελείᾳ τῶν αἰώνων φανῆναι.

8. αἴτησαι] Τὸν ἐξ ἐθνῶν λαὸν λέγει, ὃς (ὡς) διὰ τῆς παρουσίας Χριστοῦ ἐσώθη, καθὼς καὶ Παῦλος περὶ αὐτῶν λέγει· τὰ ἔθνη σύσσωμα καὶ συγκληρονόμα.

καὶ τὴν κατάσχεσιν] Αὐτὸς γὰρ πάσης τῆς γῆς (κτίσεως) βασιλεὺς καὶ κηδεμών.

9. ποιμανεῖς] Τοῖς τοῦ νόμου προστάγμασι· πάντα γάρ, ὅσα προσ-

τάσσει ὁ θεός, ἰσχυρά εἰσιν ὡς σίδηρος. μὴ φυλάξαντες δὲ οἱ Ἰουδαῖοι συνετρίβησαν ὡς ὄστρακον (-α) ἄχρηστον (-τα). νόει δὲ ῥάβδον σιδηρᾶν (καὶ) τὸν σταυρὸν ὡς ἰσχυρόν.

10. καὶ νῦν] Τουτέστι μετὰ τὴν ἐκείνων ἔκπτωσιν τοῦ ἑβραικοῦ λαοῦ ὑμεῖς, οἱ ἐξ ἐθνῶν βασιλεύσαντες, σύνετε καλῶς. ἐντέλλεται δὲ ἀρχαῖς καὶ ἐξουσίαις, ὥστε συνιέναι τὰ θαύματα (τοῖς θαύμασι) καὶ παιδεύεσθαι ταῖς ἐντολαῖς τοῦ θεοῦ, ἵνα μὴ κρίνοντες ἀδίκως μέλλητε κρίνεσθαι (δικαίως κριθήσεσθε καὶ κατακριθῆτε).

11. δουλεύσατε] [Μετὰ φόβου τουτέστι δουλεύοντες τῷ κυρίῳ].[1]

καὶ ἀγαλλιᾶσθε] Τουτέστι μετὰ χαρᾶς καὶ εὐφροσύνης τρέμειν τὸν φόβον θεοῦ καὶ μὴ ἐξ (αὐστηρίας ἢ ἐξ) ἀνάγκης ⟨καὶ μὴ ἐξ ὑπερηφανίας⟩.

12. δράξασθε] Δικαίως, φησίν (τουτέστι), κρατεῖτε καὶ διδάσκετε.

καὶ ἀπολεῖσθε] Τουτέστι μὴ ἐκπέσητε (τῆς πίστεως) τῆς ὁδοῦ, τῆς δικαίας ὧδε, κἀκεῖ δὲ πάλιν τοῦ κλήρου τῶν δικαίων.

13. ὅταν ἐκκαυθῇ] Ὅταν γὰρ ἐν τῇ κρίσει ὁ θυμὸς τοῦ θεοῦ ἐκκαυθήσεται (ἐκκαίεται) ἐπὶ τοὺς ἁμαρτωλοὺς ὡς κλίβανος, τότε οἱ δίκαιοι μακαρίζονται, ὡς ἐπὶ τῷ κυρίῳ (θεῷ) πεποιθότες καὶ τὸν μισθὸν λαμβάνοντες.

III.

Ψαλμὸς τῷ Δαυίδ, ὅποτε ἀπεδίδρασκεν ἀπὸ προσώπου Ἀβεσσαλὼμ τοῦ υἱοῦ αὐτοῦ] Ἀβεσσαλὼμ πατὴρ εἰρήνης ἑρμηνεύεται (πατρὸς εἰρήνη ἑρμ.), ὡς Ἀδὰμ φησίν· ἐκρύβη ἀπὸ τῆς εἰρήνης τουτέστιν ἀπὸ προσώπου τοῦ κυρίου. ἐκεῖ (γὰρ) τὴν προφητείαν ἀναφέρει εἰς τὸν Χριστόν, ὡς μέλλοντα ἐγεῖραι τὸν Ἀδάμ.

2. κύριε τί] Ὁ Χριστὸς βοᾷ ἐκ προσώπου τοῦ Ἀδάμ, τουτέστιν ἐκ προσώπου τῆς ἀνθρωπότητος, ἐπειδὴ πολλοὶ καὶ πολλαχοῦ καὶ πανταχοῦ οἱ κατὰ τοῦ ἀνθρώπου ἐχθροὶ στρατευόμενοι, δῆλον (ἤτοι) οἱ δαίμονες, ὡς Ἰουδαίων παῖδες, κατὰ τοῦ Χριστοῦ βουλευόμενοι.

3. πολλοὶ λέγουσιν] Ἔλεγον γὰρ οἱ Ἰουδαῖοι· εἰ ἦν οὗτος ἀπὸ (ἐκ) θεοῦ, οὐκ ἂν ἔλυε τὸ σάββατον. καὶ πάλιν· εἰ υἱός ἐστι τοῦ θεοῦ, σωσάτω αὐτόν, ὅτι (εἰ) θέλει αὐτόν. καὶ ἁπλῶς κατὰ τοῦ Χριστοῦ ἠγωνίζοντο, ὡς οἱ δαίμονες κατὰ τοῦ ἀνθρώπου.

4. σὺ δὲ κύριε] Ὁ Ἀδὰμ πρὸς τὸν Χριστὸν λέγει.

δόξα μου] Ὅταν ὑψώθη ἐπὶ τοῦ σταυροῦ.

5. φωνῇ μου] Ἡνίκα ἀπὸ τοῦ Γολγοθᾶ ἔκραξεν· ἐλωεὶ, ἐλωεὶ, λαμᾶ

[1] Versiculus iste in slavica interpretatione non occurrit, sed in Vat. Ven. legitur.

σαβαχθανεί. ὅρος γὰρ ἅγιον τῷ κυρίῳ ὁ Γολγοθᾶς, ὡς ἐπ' αὐτῷ ἡ σωτηρία τοῦ κόσμου πραχθεῖσα.

Διάψαλμα· μεταβολὴ τῆς προφητείας εἰς τὴν ἀνάσιασιν.

6. ἐγὼ ἐκοιμήθην] Ἐν τῷ τάφῳ τὸ τριήμερον τὸν ζωοποιὸν θάνατον (τὸν τριήμερον καὶ ζωοπ. θαν.).

ἐξηγέρθην] Ἀναστὰς ἐκ τοῦ τάφου (καὶ) συναναστήσας τὸν ἄνθρωπον.

7. οὐ φοβηθήσομαι] Οὔτε (οὐδὲ) γὰρ ἔτι φοβεῖται ὁ ἄνθρωπος τὰ πλήθη τῶν δαιμόνων, τῇ ἀναστάσει τοῦ Χριστοῦ τελειωθείς.

τῷ κύκλῳ] Οὔτε γὰρ παύονται κυκλοῦντες τὸν ἄνθρωπον, εἰ καὶ οὐδὲν ἰσχύουσιν.

8. ἀνάστα κύριε] Τουτέστιν ἀναστὰς ἐκ νεκρῶν, σῶσόν με ἐκ τῆς πληγῆς μου, ἧς ἔπληξάν με οἱ δαίμονες, φησὶν ὁ Ἀδάμ.

ὅτι σὺ ἐπάταξας] Ματαίως γὰρ οἱ Ἰουδαῖοι ἔχθραν κατὰ τοῦ σωτῆρος ἐτέκταινον· ἐπάταξε δὲ (γὰρ) τούτους καὶ (ἡνίκα) ἐσκορπίσθησαν (διεσκ.).

ὀδόντας] Τοὺς τοῦ διαβόλου· ἁμαρτωλὸς γὰρ ὁ διάβολος καὶ οἱ δαίμονες, (οἱ) τὴν ἁμαρτίαν τεκταίνοντες. ὀδόντες δὲ τοῦ διαβόλου εἰσὶν οἱ πονηροὶ λογισμοί.

9. τοῦ κυρίου] Ὑπὲρ (περὶ, ἐπὶ) γὰρ αὐτοῦ εἰργάσατο σωτηρίαν ἐν μέσῳ τῆς γῆς, τουτέστι τὸν σταυρόν, οὗ ἡ σωτηρία καὶ ἡ εὐλογία ἐπὶ τὸν λαὸν τῶν ἐθνῶν ἔφθασεν.

IV.

Εἰς τὸ τέλος] Ἐπὶ συντελείᾳ γὰρ τῶν αἰώνων ἐπεφάνη ὁ κύριος, ὥστε μετὰ τῶν ὕμνων τῶν ἀγγέλων καὶ τοῦ ψαλμοῦ ἡ προφητεία δεχέσθω.

2. ἐν τῷ ἐπικαλεῖσθαι] Ὧδε ἐκ προσώπου τοῦ Ἀδὰμ ὁ Χριστὸς βοᾷ· οὔτε γὰρ ἑκὼν ἥμαρτεν (ὁ Ἀδάμ), ἀλλ' ἐξ ἀκακίας ὡς δίκαιος.

ἐν θλίψει] [Ἐν πολλῇ γὰρ θλίψει καὶ πολλῷ χρόνῳ συνείχετο τῇ ἁμαρτίᾳ· λύσας δὲ ταύτην ὁ Χριστός, πλάτος ἐλευθερίας εὕρατο ὁ ἄνθρωπος].[1]

οἰκτείρησόν με] Τουτέστιν ἠλευθέρωσάς με τῆς ἁμαρτίας καὶ παράσχου μοι σεαυτὸν ἔνδυμα καὶ τροφήν.

3. υἱοὶ ἀνθρώπων] Τουτέστι τί ἔτι σκληρύνεσθε τῇ καρδίᾳ (τὴν καρδίαν) ἀπιστοῦντες καὶ τῇ ματαιότητι κρατεῖσθε; διὰ τοῦτο ἦλθον ζητῆσαι καὶ σῶσαι τὸ ἀπολωλός.

4. καὶ γνῶτε] Μάθετε καὶ πιστεύετε (-σατε) τῷ Χριστῷ λέγοντι· ἐδόθη μοι πᾶσα ἐξουσία ἐν οὐρανῷ καὶ ἐπὶ γῆς.

---

[1] In slavica interpretatione non occurrit, sed in Vat. A. Ven. legitur.

κύριος εἰσακούσεται] *Αὕτη ἡ φωνὴ τοῦ Ἀδάμ· οὔτε γὰρ ἀποστρέφεται τὴν κραυγὴν τῶν ταπεινῶν, βοώντων πρὸς αὐτὸν ἡμέρας καὶ νυκτός.*

5. *ὀργίζεσθε*] *Τουτέστι κἂν ὡς ἄνθρωποι ὀργίζησθε, μὴ τελεῖτε τὸ ἔργον τῆς ὀργῆς, ἀλλὰ δότε τόπον τῇ ὀργῇ, καθὼς γέγραπται.*

ἃ λέγετε] *Τουτέστιν ὅσα λογίζεσθε ἐν τῇ καρδίᾳ ἢ περὶ (κατὰ) ἀδελφοῦ ἢ περὶ ἑτέρου κακοῦ, ἐπὶ τῆς κοίτης συνάξαντες ἑαυτοὺς κατανύγητε, τουτέστι συμπαθήσατε. εὔδηλον δὲ ὡς ἕκαστος, τὴν κοίτην τοῦ τάφου ἐνθυμηθείς, τῷ φόβῳ διορθούσθω.*

Διάψαλμα· μεταβολὴ τῆς προφητείας εἰς παραίνεσιν.

6. *θύσατε*] *Θυσίαν δικαιοσύνης ἐπιζητεῖ ὁ θεός, εὔδηλον τὴν ἐκ καθαρᾶς ψυχῆς εὐχήν, ἐλεημοσύνην, εὐσπλαγχνίαν. ταύτην (ταῦτα) ὁ θύων διηνεκῶς ἐλπίζει ἐπὶ κύριον.*

7. *πολλοὶ λέγουσιν*] *Ἐξ ἀπιστίας οἱ πολλοὶ τοῦτο λέγουσι, μὴ ἐννοοῦντες, ὅτι ἐστὶν ἐλπὶς τῷ δικαίῳ.*

ἐσημειώθη] *Ἡ σφραγὶς τοῦ σταυροῦ, ἣν ἀεὶ φέρομεν (φοροῦμεν) ἐπὶ μετώπου καὶ τὸ λέγεσθαι χριστιανούς.*

8. *ἔδωκας*] *Εὐφροσύνη τοῖς πιστοῖς ἐδόθη ἤγουν ὁ σῖτος, ὁ μυστικὸς ἄρτος, ὅ ἐστι σῶμα τοῦ Χριστοῦ· οἶνος ὁ μυστικός, ὅ ἐστι τὸ αἷμα Χριστοῦ· ἔλαιον τὸ χρῖσμα τοῦ βαπτίσματος. ἐκ τούτων (ἐν τούτοις) γὰρ πληθύνεται τὰ τέκνα τῆς ἐκκλησίας.*

9. *ἐν εἰρήνῃ*] *Ὁ Χριστὸς (κύριος) ἐν τῷ τάφῳ τὸ τριήμερον τὸν ἀοίδιμον θάνατον (ἐκοιμήθη), ἐν ᾧ (δι' οὗ) εἰρήνευσε τὰ ἐπίγεια καὶ ἐπουράνια.*

ὅτι σὺ κύριε] *Οἱ γὰρ τὴν σφραγῖδα ⟨τοῦ βαπτίσματος⟩ λαβόντες, ἀθορύβητον ἔχουσι τὴν ἐν κυρίῳ (Χριστῷ) κατοικίαν. οὐκέτι γὰρ κυριεύονται ὑπὸ τῶν παθῶν.*

V.

Εἰς τὸ τέλος, ὑπὲρ τῆς κληρονομούσης] *Περὶ τῆς ἐκκλησίας ὁ λόγος, αὕτη γὰρ κληρονομεῖ τὰ τοῦ Χριστοῦ. ἡ γὰρ (τῶν Ἰουδαίων) συναγωγὴ ἀποκληρονόμος (γέγονε). ὑπὲρ ταύτης οὖν (τῆς ἐκκλησίας) ἡ προφητεία ἐπὶ τέλει ἐγένετο.*

2. *τὰ ῥήματα*] *Ταῦτα ἡ ἐκκλησία βοᾷ πρὸς τὸν θεόν· οὔπω γὰρ ἦν νυμφευθεῖσα τῷ Χριστῷ.*

3. *πρόσχες*] *Τουτέστι μὴ παρέργως πρόσχῃς, μήποτε πάλιν ὀνειδίσουσί με οἱ δαίμονες, ἀλλὰ πρόσχες τῇ φωνῇ (τῆς δεήσεως) ἐμοῦ, ἵνα μάθωσιν, ὅτι καὶ θεὸς καὶ βασιλεὺς ὁ ἐκλεξάμενός με.*

ὅτι πρὸς σέ] *Δι' ἐμοῦ γὰρ καὶ ἐν ἐμοὶ πᾶσα εὐχὴ προσφέρεταί σοι, τῷ θεῷ, φησὶν ἡ ἐκκλησία.*

4. *τὸ πρωί*] *Τουτέστι τῇ ἀνα-*

στάσει· [ὄρθρου γὰρ γέγονεν ἡ ἀνάστασις.] τότε γὰρ συνήφθην σοι, τῷ Χριστῷ, φησὶν ἡ ἐκκλησία, τότε ἐπιβλέψας ἀνεκαλέσω με.

5ᵃ. ὅτι οὐχὶ θεός] Τουτέστιν ὡς θεὸς παντοδύναμος οὐκ ἀφῆκάς με ἐπὶ πολὺ παρανομεῖσθαι ὑπὸ τῶν δαιμόνων.

5ᵇ—6ᵃ. οὐδὲ παροικήσει — οὐ διαμενοῦσιν] Οὔτε γὰρ οἱ πονηροὶ καὶ ἀσεβεῖς καὶ παράνομοι ἄνθρωποι μετὰ θεοῦ ἢ παρὰ θεῷ μένειν δύνανται· καθαρὸς γὰρ ὢν ὁ θεός, καθαρῶς προσκυνεῖσθαι θέλει.

6ᵇ. ἐμίσησας] Ἰουδαίους μάλιστα, οἳ ἀπὸ τοῦ νόμου ἠμέλουν καὶ εἰδώλοις προσεκύνουν [καὶ κατὰ θεοῦ ὡπλίζοντο].

7. ἀπολεῖς πάντας] Πάντας μὲν τοὺς ψεύστας κατὰ κοινοῦ ἀπώλεια ἐκδέχεται, μάλιστα δὲ Ἰουδαίους, τοὺς κατὰ Χριστοῦ ψευσαμένους.

ἄνδρα αἱμάτων] Σφόδρα γὰρ ἀγανακτεῖ θεὸς ἐπὶ φόνῳ ψυχῆς καὶ αἵματι ἀδίκῳ καὶ δόλῳ (δολίῳ?), ὅτι μισητὰ παρὰ θεῷ ταῦτα, ὡς οἱ Ἰουδαῖοι τὸν κύριον [τῆς δόξης] ἀποκτείναντες.

8. ἐγὼ δὲ ἐν τῷ πλήθει] Ταῦτα ὁ προφήτης βοᾷ, καταφεύγων εἰς τὸ ἔλεος τοῦ θεοῦ ὡς εἰς οἶκον (ἐν οἴκῳ).

προσκυνήσω] Τὸν νοητὸν ναόν, ὃν καταλύειν καὶ οἰκοδομεῖν ἐν τρισὶν ἡμέραις ὁ σωτὴρ (κύριος) ἔλεγε.

9. κύριε ὁδήγησον] Ἵνα ἐν αὐτῇ πορευόμενος εὐαρεστήσω σοι, ὁ πιστὸς λέγει καὶ κατὰ θεὸν ἄνθρωπος.

ἕνεκα τῶν ἐχθρῶν] Τὴν εἰς οὐρανοὺς ἄνοδον, ἵνα ἰδόντες οἱ Ἰουδαῖοι τακήσονται. τὸ δ' αὐτὸ καὶ οἱ δαίμονες, ὁρῶντες τὸν ἄνθρωπον ἐν ὁδῷ δικαιοσύνης πορευόμενον.

10. ὅτι οὐκ ἔστιν] [Δευτέραν γὰρ πλάνην μετὰ τὴν ἀνάστασιν ἐπενόησαν, ἀργύρια τοῖς στρατιώταις δόντες (δώσαντες), ἵνα συκοφαντήσουσι τὴν τοῦ Χριστοῦ ἀνάστασιν].[1]

ἡ καρδία αὐτῶν] Καὶ οὕτως γὰρ διαβουλευσάμενοι ἐματαιώθησαν.

τάφος ἀνεῳγμένος] Οἱ γὰρ τάφοι ἀνεῳγμένοι δυσωδίαν πνέουσι. δυσώδη δὲ καὶ βορβορώδη ἠρεύξαντο, εἰπόντες· δήσωμεν τὸν δίκαιον, ὅτι δύσχρηστος ἡμῖν ἐστιν.

10ᵃ—11ᵃ. ταῖς γλώσσαις — κρῖνον] Λέγοντες τῷ σωτῆρι· ἔξεστι δοῦναι κῆνσον καίσαρι ἢ οὔ; ἔκρινεν δὲ αὐτούς, ἐλέγξας τὸν δόλον αὐτῶν, εἰρηκώς· ὑποκριταί, τί με πειράζετε;

11ᵇ. ἀποπεσάτωσαν] Ἀπέπεσαν γὰρ τῆς ματαίας βουλῆς, μὴ δυνηθέντες λαθεῖν αὐτόν· καὶ γὰρ θεὸς ἦν (λαθεῖν ὡς θεόν).

κατὰ τὸ πλῆθος] Ἐξώσθησαν γὰρ τοῦ νόμου, ἡνίκα ἀπέπεσαν ἀπὸ τῆς (καὶ τῆς) εἰς Χριστὸν πίστεως.

12. Καὶ εὐφρανθήτωσαν] Τὴν μυστικὴν καὶ πνευματικὴν (τοῦ πνεύ-

---

[1] In interpretatione slavica hic versus deest.

ματος) εὐφροσύνην (εὐφρασίαν), ὅσοι ἐξ ἐθνῶν πιστεύσαντες καὶ ἐλπίσαντες ἐπὶ κύριον.

εἰς αἰῶνα] *Ἀτελεύτητον γὰρ ἕξουσι τὴν ἀγαλλίασιν, οἵτινες κατασκηνοῦντα τὸν Χριστὸν ἔχουσιν ἐν ἑαυτοῖς.*

καὶ καυχήσονται] *Ἀπολαμβάνοντες τὸν μισθὸν οἱ δίκαιοι τότε.*

13. ὅτι σὺ εὐλογεῖς] *Ὡς ἀγαπώμενοι οἱ δίκαιοι εὐλογοῦνται, τὸν ἔπαινον λαμβάνοντες ἀπὸ τοῦ θεοῦ.*

κύριε ὡς ὅπλῳ] *Ὅπλον ἀκαταμάχητον ὁ σταυρὸς τοῖς πιστοῖς· τοῦτον ἀεὶ κατὰ κεφαλῆς φέροντες (φοροῦντες) στεφανηφοροῦσι [τουτέστι βασιλεύουσιν].*

VI.

Εἰς τὸ τέλος ἐν ὕμνοις] *Ἐπὶ συντελείᾳ τῶν αἰώνων (τοῦ αἰῶνος) ὑπὲρ τοῦ μέλλοντος αἰῶνος· ἕβδομος (-μη) γὰρ ὁ παρὼν αἰών, ὄγδοος (-δόη) δὲ ὁ μέλλων· περὶ (ὑπὲρ) τούτου ἡ προφητεία ἐρρέθη, τουτέστιν ὑπὲρ τῆς κρίσεως καὶ δηλοῖ ὁ ψαλμός.*

2. κύριε μὴ τῷ θυμῷ] *Τότε (τοῦτο) ἕκαστος τῶν πιστῶν, φόβῳ κατεχόμενος (συνεχ-), παρακαλεῖ καὶ λέγει· κύριε, μὴ ἐν θυμῷ μηδὲ ἐν ὀργῇ ἐρευνήσῃς τὰς πράξεις μου (ἡμῶν), ἀλλ' ὡς ἀγαθὸς θεὸς ἐν εὐσπλαγχνίᾳ ποίησον ἡμῖν (ἡμῶν) τὴν κρίσιν.*

3. ἐλέησόν με] *Οἶδας γὰρ τὴν ἀσθένειαν ἑκάστης ψυχῆς τε καὶ σώματος, ὡς πλάστης ἑκάστου.*

ἴασαί με] *Μετὰ γὰρ τῆς ψυχῆς καὶ τὸ σῶμα συνέτριψεν ἡ ἁμαρτία καὶ σφόδρα τετάραγμαι τῷ φόβῳ, φησὶν ὁ Ἀδάμ, ὅ ἐστιν ὁ ἄνθρωπος.*

4. καὶ ἡ ψυχή μου] [*Ἕως πότε ἀνέχῃ, κύριε, καὶ οὐχ ἁρπάζεις με τοῦ δόμου θηρός*].[1]

5. ἐπίστρεψον] *Ἕως πότε κύριε, (φησί), μακροθυμεῖς καὶ ἀποστρέφῃ ἀπ' ἐμοῦ; τουτέστιν ὁ Ἀδάμ. ἀλλ' ἐπιστράφηθι, τουτέστι μετανόησον ἐπ' ἐμοὶ σπλαγχνισθεὶς καὶ ἐλευθέρωσόν με (ἐκ) τῆς ἁμαρτίας μου καὶ σῶσόν με, ὡς ἐλεήμων θεός.*

6. ὅτι οὐκ ἔστιν] *Τῇ ὥρᾳ γὰρ τοῦ θανάτου ἐκ τῆς συνοχῆς τοῦ φόβου οὔτε θεοῦ, οὔτε γένους (συγγενοῦς), οὔτε φίλου μέμνηται ὁ ἄνθρωπος, ἄλλως τε (ἀλλ' ὅτι) καὶ μετάνοια τότε οὐκ ὠφελεῖ.*

ἐν δὲ τῷ ᾅδῃ] *Μετὰ γὰρ τὴν ἀποδημίαν τὴν ἐντεῦθεν οὔτε μετάνοια, οὔτε ἐξομολόγησις ὠφελεῖ τότε τὸν ἄνθρωπον.*

7. ἐκοπίασα] *Στένων τότε μάταια καὶ ἀνόνητα.*

λούσω] *Κλίνη καὶ στρωμνὴ τὸ*

[1] Neque in Ven. neque in slav. versione legitur, sed in A. et Vat., qui praemittit haec: *Ὁ Ἀδὰμ λέγει.*

αὐτό ἐστι, πλὴν κλίνη λέγεται, ὅταν γυμνή ἐστιν, στρωμνὴ δέ, ὅταν ἔστρωται. ταύτην, φησί, λούσω καὶ βρέξω τοῖς τῆς μετανοίας καὶ ἐξομολογήσεως δάκρυσιν.

8. ἐταράχθη] *Ὁ τῆς διανοίας νοητὸς ὀφθαλμὸς τεθόλωται, ἐξογκούμενος (ἀπὸ) τῆς ἁμαρτίας, ὡς ἀπὸ θυμοῦ.*

ἐπαλαιώθην] *Τουτέστι συνεχρόνισα τοῖς πάθεσι· χαλεποὶ γὰρ ἐχθροὶ τὰ πάθη τῷ ἀνθρώπῳ.*

9ᵃ. ἀπόστητε] *Τοῖς δαίμοσι λέγει ὁ Ἀδάμ, τουτέστιν ὁ ἄνθρωπος· ἀπόστητε ἀπ' ἐμοῦ, μὴ πλανᾶτέ με λοιπόν· ἐγγὺς γὰρ ὁ δικαιῶν με. λέγει δὲ ⟨καὶ⟩ τὴν ἐνανθρώπησιν.*

9ᵇ—10. ὅτι εἰσήκουσεν — ἤκουσεν] *Τὴν φωνὴν τοῦ κλαυθμοῦ μου καὶ τὴν δέησίν μου καὶ τὴν προσευχήν μου εἰσήκουσεν ὁ θεός, καὶ ὡς ἀγαθὸς οὐ παρεῖδέ με, ἀλλ' ἑαυτὸν ἐκαίνωσεν εἰς τὴν ἐμὴν σωτηρίαν, ὥστε τοῦ λοιποῦ ἀπόστητε ἀπ' ἐμοῦ.*

11. αἰσχυνθείησαν] *Ὁρῶντες τὴν ἐμοῦ (ἐμὴν) σωτηρίαν, φησὶν ὁ Ἀδάμ· εἰκότως γὰρ ταράσσονται οἱ δαίμονες αἰσχυνόμενοι.*

ἐπιστραφείησαν] *Μηκέτι χώραν εὑρίσκοντες ἐν τῷ ἀνθρώπῳ, οἱ δαίμονες ὀξέως ἀποστρέφονται, αἰσχυνόμενοι λοιπὸν τὸν ἄνθρωπον ὡς σφραγισθέντα.*

VII.

Ψαλμὸς τῷ Δαυίδ, ὃν ᾖσεν] *Χουσῆ ἑρμηνεύεται αἰθίωψ, ὅ ἐστι διάβολος· μέλας γὰρ ὡς καπνισθεὶς τῇ ὀργῇ τοῦ θεοῦ. οὕτως γὰρ αὐτὸν καὶ ἡ γραφὴ δαλὸν ἐξεσπασμένον ἐκ πυρὸς καλεῖ. δαλὸς δέ ἐστιν ξύλον περικεκαυμένον. υἱὸν δὲ Ἰεμενείου λέγει, ὡς πλάσμα τῆς δεξιᾶς τοῦ θεοῦ γενόμενον· Ἰεμενείας γὰρ δεξιὰ ἑρμηνεύεται. ὑπὲρ ὧν οὖν οὗτος [ἐκπεσὼν τῆς ἄνω δόξης] καταπολεμεῖ τὸν ἄνθρωπον (τῷ ἀνθρώπῳ). ὑπὲρ τούτου τὸν ψαλμὸν τῷ θεῷ προσευχόμενος ἐκ προσώπου τοῦ ἀνθρώπου ἀνέθηκεν.*

2. κύριε, ὁ θεός μου] *Ἐκ τοῦ διαβόλου καὶ τῶν δαιμόνων αὐτοῦ.*

ἐκ πάντων τῶν διωκόντων] *Ἐπέρχεται γὰρ ζητῶν ὑποσκελίσαι με, φησὶν ὁ ἄνθρωπος, ἀλλ' ὡς ἀγαθὸς θεὸς ῥῦσαί με ἀπ' αὐτοῦ.*

3. μή ποτε ἁρπάσῃ] *Ἁρπακτικὸν γὰρ καὶ τυραννικὸν τὸ ζῶον καὶ ἀεὶ βούλεται καταπίνειν (καταπιεῖν) τὸν ἄνθρωπον, νομίζων μὴ εἶναι τὸν ἀντιλαμβανόμενον αὐτοῦ.*

4. κύριε ὁ θεός μου] *Ἀπολογεῖται ὁ προφήτης (ἀπολογία τοῦ προφήτου) πρὸς τὸν θεόν, τουτέστιν ὑπὲρ τοῦ ἀνθρώπου.*

5. εἰ ἀνταπέδωκα] *Πάλιν ὁ Χριστὸς τύπος γινόμενος τῷ ἀνθρώπῳ πρὸς τὸ μὴ ἀνταποδιδόναι κακὸν ἀντὶ κακοῦ, σταυρούμενος ἔλεγεν·*

ἄφες αὐτοῖς, οὐ γὰρ οἴδασι τί ποιοῦσιν.

ἀποπέσοιμι] *Τουτέστιν ἐβουλήθην καὶ ἐχθροὺς ὄντας κερδῆσαι· αὐτοὶ δὲ ἀπέστησαν ἀπ' ἐμοῦ, οἱ Ἰουδαῖοι εὔδηλον.*

6. *καταδιώξαι*] [*Αὐτοὶ δὲ ἐπέθεντο τῷ φθόνῳ καὶ οὐκ ἐπαύσαντο καταδιώκοντες, νομίσαντες καταλαμβάνειν τὸν ἀκατάληπτον*].[1]

καὶ καταπατήσαι] *Μέχρι γὰρ (αὐτοῦ) τοῦ τάφου οὐκ ἐπαύσαντο ὡς δοκοῦντες (ἐδόκουν) καταπατεῖν καὶ ἐμποδίζειν τῇ δόξῃ τοῦ θεοῦ.*

Διάψαλμα· μεταβολὴ τῆς προφητείας ἀπὸ τοῦ πάθους εἰς τὴν ἀνάστασιν.

7. *ἀνάστηθι*] *Μετ' ὀργῆς γὰρ ἀνέβη ὡς ἐκ τοῦ πολέμου τῶν ἐν τῷ ἅδῃ ἀρχόντων, συντρίψας πάντα τὰ ἐν αὐτῷ ἰσχυρὰ καὶ πᾶσαν τὴν δύναμιν αὐτοῦ, εἰς ὕψος ἀκατάληπτον ἔχων τὸ κράτος, συντελέσας τοὺς ἐχθρούς. πέρας γὰρ τέλος ἑρμηνεύεται.*

καὶ ἐξεγέρθητι] [*Τελῶν δ' προέθου μυστήριον· τοῦτο γὰρ πρὸ αἰώνων προσέταξας, ὅπερ ἐκ νεκρῶν ἐγερθεὶς ἐτελείωσας*].[1]

8. *καὶ συναγωγή*] [*Ὁ τῶν Ἑβραίων λαός, τὰ τέκνα τῆς ἀσχήμου συναγωγῆς*].[1]

καὶ ὑπὲρ ταύτης] *Τουτέστιν ἔτι ὕψωσον τὴν ὀργήν σου πρὸς αὐτήν. αἰνίττεται δὲ καὶ τὴν εἰς οὐρανοὺς ἄνοδον.*

9. *κύριος κρινεῖ*] *Αὐτὸς γὰρ ἔρχεται κρῖναι πᾶσαν πνοήν.*

κρῖνόν με] *Πᾶς γὰρ τότε ἐν ἀκακίᾳ πορευόμενος καὶ δικαιοσύνῃ μετὰ παρρησίας βοᾷ* [*πρὸς κύριον*] *καὶ λέγει· κρῖνον, τουτέστι δὸς ἡμῖν τὸν μισθόν.*

10. *συντελεσθήτω*] *Ἡ τῶν δαιμόνων ἐπιβουλὴ καὶ ὅσοι τούτοις συστρατεύονται, φανέντος τοῦ Χριστοῦ.*

καὶ κατευθυνεῖς] *Τότε γὰρ οἱ πιστοὶ κατευθύνονται, ἡνίκα οἱ πλανῶντες παύονται.*

ἐτάζων καρδίας] *Παρὰ γὰρ τῷ θεῷ πᾶσα πρᾶξις ἔγνωσται τῶν ἀνθρώπων.*

11. *ἡ βοήθεια*] *Ὁ προφήτης λέγει, ἃς ἀπεκδεχόμενος τὴν ἀνταπόδοσιν τοῦ θεοῦ.*

12. *ὁ θεὸς κριτής*] *Κριτὴς γὰρ ὑπάρχων ἰσχυρὸς καὶ δίκαιος μακροθυμεῖ (μακροθυμίᾳ χρηστεύεται), ἀπεκδεχόμενος τὴν ἐπιστροφὴν ἑκάστου* [*καὶ διὰ τοῦτο καθ' ἡμέραν οὐ πλήττει, μᾶλλον δὲ οὐδὲ ὅλως πλήττει*].[1]

καὶ μὴ ὀργήν] *Ἀπεκδέχεται γὰρ τὴν ἐπιστροφὴν τοῦ ἁμαρτωλοῦ διὰ παντός.*

13ᵃ. *ἐὰν μὴ ἐπιστραφῆτε*] *Τουτέστι σπεύδετε πρός με· εἰ δὲ μή γε, ἡ ῥομφαία ἠκονημένη ἐκδέχεται τοὺς ἀπειθοῦντας.*

---

[1] Verba uncis inclusa in versione slavica non occurrunt, sed in Ven. Vat. A. suo loco leguntur.

13b—14a. τὸ τόξον — καὶ ἐν αὐτῷ] *Τὸ τόξον δηλαδὴ ἡ ἀπειλὴ τοῦ θεοῦ ἕτοιμος καὶ τὸ βέλος ἐπικείμενον, τουτέστιν ἀπόφασις ἐπὶ τοὺς ἁμαρτωλούς, καὶ φησίν· ἐπιστρέψατε πρός με ἢ πέμπω τὸν θάνατον.*

14b. τὰ βέλη αὐτοῦ] *Ἡ γέενα δηλονότι ἀεὶ καπνίζεται, κατειργασμένη πρὸς ὑποδοχὴν τῶν ἀσεβῶν.*

15. ἰδοὺ ὠδίνησεν] *Ὁ Ἰούδας ὥσπερ ἐν γαστρὶ ἔσχε τὴν ἄδικον ἐνθύμησιν, καὶ τίκτει τὴν ἀνομίαν καὶ τὸν δεσπότην ἀργυρίου ἀπέδοτο.*

16. λάκκον ὤρυξεν] *Τὸν τάφον λέγει τὸν δεσποτικόν, ὃν ὤρυξαν Ἰούδας (οἱ Ἰουδαῖοι) καὶ ὁ διάβολος τῷ σωτῆρι, ὡς ἐδόκουν· ἀνεσκάφη δὲ ἀνοιχθεὶς τῇ ἀναστάσει τοῦ Χριστοῦ.*

καὶ ἐνπεσεῖται] *Διὰ γὰρ τοῦ βόθρου τουτέστι τοῦ μνήματος, οὗ ἡτοίμασε τῷ σωτῆρι, ὡς ἐδόκει, ὁ διάβολος, δι αὐτοῦ συλληφθεὶς κατηργήθη.*

17. ἐπιστρέψει] *Μεταμεληθεὶς γὰρ ὁ Ἰούδας καὶ ἐπιστρέψας ἀπήγξατο κατὰ τῆς κεφαλῆς ἑαυτοῦ τὸ σχοινίον ἐπιβαλών· ἄλλως τε καὶ ἡ ἁμαρτία, ἣν εἰργάσατο εἰς τὸν διδάσκαλον, κατέβη ἐπὶ τὴν κεφαλὴν αὐτοῦ ἐν πόνῳ (ἐμπόνως).*

18. ἐξομολογήσομαι] *Ὁ προφήτης, ἐκπληττόμενος τὸ μυστήριον, ἐξομολογεῖται τῷ θεῷ καὶ δοξάζει τὴν δύναμιν αὐτοῦ.*

καὶ ψαλῶ] *Αὐτῷ, φησί, τὴν δόξαν ἀποδώσω διὰ τῆς ᾠδῆς τῷ ἐντίμῳ καὶ φοβερῷ ὀνόματι.*

VIII.

Εἰς τὸ τέλος ὑπὲρ τῶν ληνῶν] *Τέλειος ὁ λόγος τῆς ᾠδῆς ἐλέχθη ὑπὲρ τῶν θυσιαστηρίων· ληνοὺς γὰρ τὰ θυσιαστήρια λέγει, ἐν οἷς τὸ αἷμα Χριστοῦ ὡς οἶνος ἐκχέεται (χειρίζεται).*

2. κύριε ὁ κύριος ἡμῶν] *Ἐν πάσῃ γὰρ τῇ γῇ τὸ τῆς οἰκονομίας μυστήριον ἐθαυμαστώθη· τῷ γὰρ ὀνόματι τοῦ θεοῦ ὑπετάγη πᾶσα ἡ κτίσις.*

ὅτι ἐπήρθη] *Ἐκεῖ γὰρ ἀπήγαγε (-γες) τὸν ἄνθρωπον, μεγαλοπρεπῆ καταστήσας, τιμήσας αὐτὸν ὑπὲρ τὰς οὐρανίους δυνάμεις· συνήγειρας γὰρ καὶ συνεκάθισας.*

3. ἐκ στόματος] *Τοὺς παῖδας λέγει ἡ προφητεία, τοὺς κράζοντας τῷ σωτῆρι· εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι κυρίου· ὡσαννὰ ἐν τοῖς ὑψίστοις.*

ἕνεκα τῶν ἐχθρῶν] *Ἰουδαῖοι γὰρ ὡς ἐχθροὶ τοῦ κυρίου παρωξύνθησαν ἐπὶ τοῖς παισὶ κράζουσιν, κατελύθη δὲ ὁ διάβολος, νοήσας θεὸν εἶναι τὸν ὑμνούμενον· ἐχθρὸς γὰρ καὶ ἐκδικητὴς γίνεται ὁ διάβολος.*

4. ὅτι ὄψομαι] *Ὁ σαρκωθεὶς λόγος καὶ φαινόμενος ἄνθρωπος· οὗτος καὶ οὐρανὸν καὶ γῆν καὶ τοὺς φωστῆρας ἐποίησεν καὶ τὸν ἄνθρωπον.*

5. τί ἐστιν ἄνθρωπος] *Εἰ μὴ γὰρ μνησθεὶς ἐπεσκέψω τὸν ἄνθρωπον*

καὶ τοῦτον ἀναλαβὼν ἔσωσας ὡς ἀγαθός, ἀπολώλει (ἄν)· μεταφορικῶς γὰρ τὰ πολλὰ ἡ γραφὴ λέγει.

6. ἠλάττωσας] Τουτέστιν ἴσον ἐποίησας ἀγγέλων, εἰ μὴ ὅτι σάρκα αὐτῷ περιέθηκας.

δόξῃ καὶ τιμῇ] Δόξῃ ἀκαταλήπτῳ δοξάσας τὸν ἄνθρωπον, ἀναλαβὼν αὐτὸν τῇ θεότητι, ἐτίμησας δὲ ἀναγαγὼν εἰς οὐρανούς.

7. καὶ κατέστησας] Κύριον γὰρ αὐτὸν ἐποίησας πάντων τῶν γεγονότων καὶ ὄντων ἐπὶ τῆς γῆς.

πάντα ὑπέταξας] Πάντα γὰρ ὑπετάγη αὐτῷ, ὡς τιμηθέντι τοσοῦτον τῷ ἀνθρώπῳ (τιμηθέντος τοσ. τοῦ ἀνθρώπου) ὑπὸ τοῦ θεοῦ.

8—9. Πρόβατα — τὰ πετεινά] Τὰ αἰσθητὰ τῷ ἀνθρώπῳ ὑπέταξε, τὰ νοητὰ τῷ Χριστῷ· πρόβατα τοὺς ἀφελεῖς καὶ πράους ἀνθρώπους, βόας τοὺς τὸν ζυγὸν τῆς πίστεως (ἀνδρείως) βαστάζοντας, κτήνη δὲ τὰ ἔθνη, τὰ ἐπιστρέφειν μέλλοντα, πετεινὰ δὲ τοὺς οὐράνιον βίον μετερχομένους, ἰχθύας δὲ τοὺς ἀλληλοφάγους ἀνθρώπους, ὥστε μεταβάλλειν τὸν βίον· οὗτοι γὰρ ἐν τῇ θαλάσσῃ τοῦ βίου, ὡς ἐν ὕδασι, ταῖς ἡδοναῖς νηχθέντες ἀστάτως (ἄστατοι ἦσαν).

10. κύριε ὁ κύριος ἡμῶν] Θαυμαστὸν γὰρ καὶ ἔνδοξον τὸ ὄνομα τοῦ κυρίου ἐν πάσῃ τῇ γῇ ὡς ὑπὲρ πᾶν ὄνομα.

IX.

Εἰς τὸ τέλος ὑπὲρ τῶν κρυφίων τοῦ υἱοῦ] Ἐν τελειότητι πίστεως ὑπὲρ τῶν κρυπτῶν ἁμαρτημάτων, τῶν κατὰ ψυχὴν τὴν ἐξομολόγησιν ποιουμένων, ὁ προφήτης προσέφερεν τῷ θεῷ διὰ τῆς ψαλμῳδίας.

2. ἐξομολογήσομαί σοι] Τουτέστιν ἀπὸ καρδίας καὶ ἀπὸ πάσης προσφέρω δυνάμεως τὴν ἐξομολόγησιν.

διηγήσομαι] Τουτέστιν ἀπαγγελῶ πάντα, ὅσα μέλλεις ποιεῖν δι' ἐμέ· πῶς τὸν οὐρανὸν κλίνεις, πῶς σύμμορφος γίνῃ, ἵνα σώσῃς τὸν ἄνθρωπον.

3. εὐφρανθήσομαι] Ἐν (ἐπὶ) τῷ θανάτῳ σου καὶ τῇ ἀναστάσει, φησὶν ὁ ἄνθρωπος.

ψαλῶ] Ἐπὶ τῇ χαρᾷ τῆς σῆς παρουσίας· οἱ χαίροντες γὰρ ἀεὶ ψάλλουσιν.

4. ἐν τῷ ἀποστραφῆναι] Ἐν οἷς γὰρ ἐπεχείρησε, συνελήφθη· ἐχθροῦ γὰρ πεσόντος οἱ αἰχμάλωτοι χαίρουσιν (-ρονται).

ἀσθενήσουσιν] Οἱ τῷ σωτῆρι ἐπαναστάντες· ἠσθένησαν γὰρ ἐν τῇ ματαιότητι αὐτῶν.

5. ὅτι ἐποίησας] Καταργήσας τοὺς δαίμονας καὶ ἐλευθερώσας τὸν ἄνθρωπον.

ἐκάθισας] Ἐπὶ τοῦ θρόνου ἐκάθισας τὸν κυριακὸν ἄνθρωπον, νικήσας τὸν διάβολον.

6. ἐπετίμησας] Ἀφ' οὗ γὰρ κατ-

ηργήθη τὰ τῶν δαιμόνων ἔθνη, ὁ διάβολος τὴν ἰσχὺν ἀπώλεσεν.

τὸ ὄνομα αὐτῶν] Καὶ γὰρ καὶ τὸν τόπον καὶ τὸ ὄνομα τοῦ ἀρχαγγέλου ἀπώλεσεν εἰς τὸν αἰῶνα· κληθῆναι γάρ ἐστι ἀδύνατον.

7. τοῦ ἐχθροῦ ἐξέλιπον] Ἀφ᾽ οὗ γὰρ ὁ Χριστὸς ἐφάνη, κατηργήθησαν τοῦ διαβόλου αἱ δυνάμεις· ῥομφαία γὰρ δύναμις ἑρμηνεύεται.

καὶ πόλεις καθεῖλες] Τὰ τοῦ θανάτου καὶ τοῦ ᾅδου βασίλεια.

ἀπώλετο] Τοῦ θανάτου εὔδηλον καὶ τοῦ διαβόλου· ἦχος γὰρ μέγας καὶ θόρυβος ἐγένετο ἐν τῷ συντριβῆναι πύλας χαλκείας καὶ μοχλοὺς σιδηροῦς καὶ τείχη καθαιρεθῆναι ἀδαμάντινα.

8. καὶ ὁ κύριος] Ὡς ἀτελεύτητος καὶ ἀδιάδοχος βασιλεύς.

ἡτοίμασεν] Ἐπὶ τῆς συντελείας εὔδηλον, ὅταν μέλλῃ κρίνειν πάντα τὰ ἔθνη.

9. καὶ αὐτὸς κρινεῖ] Δικαιοσύνη γὰρ καὶ εὐθύτης παρ᾽ αὐτῷ· ἀπροσωπολήπτως γὰρ κρινεῖ τότε ὁ θεός.

10. καὶ ἐγένετο] Καταφυγὴ καὶ βοήθεια τῶν δικαίων τότε ὁ θεὸς γίνεται (γενήσεται), τῶν ἐν πενίᾳ καὶ πτωχείᾳ ἐνταῦθα βιωσάντων ἐν ὑπομονῇ. ἔγνωμεν δὲ τοῦτο ἐκ τοῦ Λαζάρου καὶ τοῦ πλουσίου.

11. καὶ ἐλπισάτωσαν] Τοῖς γὰρ ἐν ἀληθείᾳ ἐγνωκόσι τὸ ὄνομα τοῦ κυρίου ἐλπὶς ἀληθῶς ἀψευδὴς καὶ καταφυγή ἐστιν ὁ θεός.

12. ψάλατε τῷ κυρίῳ] Τουιέστιν ἐν ψαλμοῖς δοξάσατε τὸν θεὸν ἐν τῇ ἐκκλησίᾳ· ἐν αὐτῇ γὰρ καιοικεῖ ὁ θεός.

ἀναγγείλατε] Εἴπατε, φησί, τοῖς ἔθνεσι τὰ ἔργα αὐτοῦ καὶ τὰ θαυμάσια αὐτοῦ κηρύξατε αὐτοῖς, ὅτι ἦλθεν ὁ ζητῶν τὸ ἀπολωλὸς καὶ σώζων τὸ πλανώμενον, ὅπως προτραπῶσιν εἰς τὴν κλῆσιν τῆς πίστεως.

13. ὅτι ἐκζητῶν] Ἐκδίκησιν γὰρ ποιεῖ (ποιήσει) ὁ θεὸς ἐν τοῖς αἱμάξασι τὰς χεῖρας τῶν ἐθνῶν ἐν ταῖς εἰδωλικαῖς θυσίαις.

οὐκ ἐπελάθετο] Οὐ γὰρ ἠμέλησε τῶν πενομένων τῇ πίστει, τῶν ἐθνῶν εὔδηλον, ἀλλ᾽ ἐπιστρέψας ἔσωσε πλουτίσας αὐτοὺς τῇ χάριτι.

14. ἐλέησόν με] Ταῦτα ἡ ἐκκλησία βοᾷ, ὅτι πολὺ ἐταπείνωσαν αὐτὴν οἱ δαίμονες.

ὁ ὑψῶν με] Ἔγγιστα γὰρ τῶν πυλῶν τοῦ θανάτου ὑπῆρχεν ἡ ἐκκλησία, δουλεύουσα τοῖς εἰδώλοις· φανέντος δὲ τοῦ Χριστοῦ, ἐπιστρέψασα ἐδοξάσθη καὶ ὑψώθη.

15. ὅπως ἂν ἐξαγγείλω] Διὰ γὰρ τῆς ἐκκλησίας πᾶσαι αἱ αἰνέσεις καὶ ἐξομολογήσεις προσφέρονται τῷ Χριστῷ· θυγάτηρ γὰρ τῆς Σιὼν ἡ ἐκκλησία, Σιὼν δὲ οἶκος ἄρτου[1] ἑρμηνεύεται, ὅ ἐστιν ὁ Χριστός. πύλαι δὲ τῆς ἐκκλησίας δικαιοσύνη καὶ εἰρήνη καὶ ἀλήθεια.

ἀγαλλιάσομαι] Ἐπὶ τῷ σταυρῷ· σωτηρία γὰρ τῆς ἐκκλησίας καὶ πάν-

[1] Interpres slavicus αὐτοῦ pro ἄρτου legerat.

των τῶν πιστῶν ἐν ὅλῳ τῷ κόσμῳ ὁ σταυρὸς ἐγένετο.

16. ἐνεπάγησαν ἔθνη] *Τὸ τῶν Ἰουδαίων ἔθνος, ὡς ἐνόμισαν (-ζον) παγιδεύειν τὸν σωτῆρα, διεφθάρησαν ἐν ἀπιστίᾳ καὶ ἐν αὐτῇ συνελήφθησαν· προσκόψαντες γὰρ τῷ λίθῳ, συνετρίβησαν.*

17. γινώσκεται κύριος] *Οἱ γὰρ ἐξ αὐτῶν πιστεύσαντες ἔγνωσαν, ὅτι αὐτός ἐστι κριτὴς πάντων.*

ἐν τοῖς ἔργοις] *Ὁ γὰρ διάβολος ἐτεκτήνατο (-κταινε) τὸν σταυρὸν καὶ ἐν αὐτῷ συνελήφθη καὶ [δι' αὐτοῦ] ἀπώλετο.*

ᾠδὴ διαψάλματος] *Διάστασις τοῦ λόγου σὺν προσευχῇ.*

18. ἀποστραφήτωσαν] *Οἱ δαίμονες καὶ ὅσοι τούτοις ἐδούλευσαν [μὴ πιστεύσαντες τῷ Χριστῷ].*

πάντα τὰ ἔθνη] *Ἕλληνες, αἱρετικοὶ καὶ οἱ Ἰουδαῖοι [καὶ οἱ ὅμοιοι αὐτοῖς].*

19. ὅτι οὐκ εἰς τέλος] *Οἱ πτωχοὶ τῷ πνεύματι οὐκ ἐπελήσθησαν παρὰ τῷ θεῷ. περὶ γὰρ αὐτῶν λέγει· μακάριοι οἱ πτωχοὶ τῷ πνεύματι, ὅτι αὐτῶν ἐστιν ἡ βασιλεία τῶν οὐρανῶν.*

ἡ ὑπομονή] *Τῶν ἀποστόλων καὶ ὅσοι τούτοις ἐξηκολούθησαν· οὗτοι γὰρ πρὸς ἀλήθειαν πένητες, ὡς μηδὲν ἐπὶ γῆς κτησάμενοι.*

20. ἀνάστηθι] *Περὶ τοῦ Χριστοῦ καὶ τῆς ἀναστάσεως αὐτοῦ ὁ προφήτης λέγει· ἀνάστηθι, κύριε ὁ θεός, διασκόρπισον τοὺς ἐχθρούς σου, μή ποτε καυχήσωνται ὡς νικήσαντες.*

κριθήτωσαν] *Τουτέστιν ἐντιμωθήτωσαν [τὰ ἔθνη] ἐνώπιόν σου· αὐτὰ γὰρ ἐν τῇ πίστει προκόπτουσιν.*

21. κατάστησον] *[Τὸν Χριστὸν καὶ τὸ εὐαγγέλιον δός, ὦ πάτερ, αὐτοῖς]. μαθέτωσαν (-θωσιν), ὅτι τοῦ τελείου καὶ κατὰ θεὸν ἀνθρώπου ἀπέλαβον τὸ ἀξίωμα.*

22. ἵνα τί, κύριε] *Τῇ γὰρ μακροθυμίᾳ καὶ τῇ ἀνοχῇ τοῦ θεοῦ προσέχοντες, ἐνόμισαν μακρὰν εἶναι ἀπ' αὐτῶν τὸν θεόν.*

ὑπερορᾷς] *Τουτέστιν ἐν καιρῷ θλίψεως μὴ ὑπερίδῃς τὸν ἄνθρωπον.*

23. ἐν τῷ ὑπερηφανεύεσθαι] *Ἐν τῷ γὰρ τοὺς ὑπερηφάνους ἀλαζονεύεσθαι καὶ ἐπαίρεσθαι οἱ πτωχοὶ καίονται τῇ θλίψει ὡς ἀπὸ πυρός, ὡς καὶ οἱ Ἰουδαῖοι κατὰ Χριστοῦ ὡς πτωχεύσαντος ἐπανέστησαν.*

συνλαμβάνονται] *Οἱ γὰρ ὑπερήφανοι καὶ ἀλαζόνες ἐν ταῖς ἑαυτῶν βουλαῖς ἐμπίπτουσιν· ὁ γὰρ θεὸς τοῖς ὑπερηφάνοις ἀντιτάσσεται.*

24. ὅτι ἐπαινεῖται] *Ἐπὶ πᾶσι γὰρ τοῖς κακοῖς, οἷς πράττει ὁ διάβολος, τέρπεται. πανταχοῦ γὰρ ἡ γραφὴ ἁμαρτωλὸν τὸν διάβολον λέγει.*

καὶ ὁ ἀδικῶν] *Ἔθος γάρ (ἐστι) τοῖς προσωπολήπταις ἀνθρώποις τοὺς ἀδικοῦντας ἐπαινεῖν καὶ ἀλείφειν ἐπὶ τῷ κακῷ (ἐπὶ τὸ κακόν).*

25. παρώξυνεν] *Ὡς μὴ ἐπιστρέφων, ἀλλ' ἐπιμένων τῇ ἁμαρτίᾳ.*

κατὰ τὸ πλῆθος] *Οὔτε γὰρ τὸ πλῆθος τῆς ὀργῆς τοῦ θεοῦ δειλιᾷ καὶ ἐπιστρέφει ὁ ἁμαρτωλός.*

οὐκ ἔστιν ὁ θεός] *Ὁ ἄπιστος καὶ ὁ ἁμαρτωλὸς οὐδέποτε τίθεται τὸν θεὸν πρὸ ὀφθαλμῶν (αὐτοῦ),*

26. *βεβηλοῦνται*] *ἀλλ' ἑκάστης ἡμέρας καὶ ἐν παντὶ καιρῷ μιαίνει καὶ ῥυποῖ τὰς ὁδοὺς αὐτοῦ, μὴ πιστεύων, ὅτι ἐστὶ ⟨ἔσται⟩ κρίσις.*

ἀνταναιρεῖται] *Σμικρύνει γὰρ καὶ κατευτελίζει (ἀεὶ) τὰς ἐντολὰς τοῦ θεοῦ ὁ ἄπιστος.*

πάντων τῶν ἐχθρῶν] *Πάντας γὰρ τοὺς εὐσεβοῦντας ἐχθροὺς ἡγεῖται ὁ ὑπερήφανος (ὁ ἀλαζὼν) καὶ πάντων βούλεται κατακυριεύειν.*

27. *εἶπεν γάρ*] *Κατὰ (ἐπὶ) γενεὰν γὰρ καὶ γενεὰν πᾶσι τοῖς δικαίοις ἐπολέμησεν ὁ διάβολος καὶ πολεμῶν οὐ παύεται. περὶ γὰρ αὐτοῦ Ἠσαίας λέγει· εἶπεν ὁ διάβολος ἐν τῇ καρδίᾳ αὐτοῦ· ἀναβήσομαι εἰς τὸν οὐρανὸν καὶ ἐν μέσῳ τῶν ἀστέρων θήσω τὸν θρόνον μου.*

28. *οὗ ἀρᾶς τὸ στόμα*] *Περὶ τοῦ διαβόλου λέγει ὁ προφήτης· ἐπειδὴ διὰ παντὸς ὁ λάρυγξ αὐτοῦ πεπλήρωται ἀρᾶς (ἀνομίας) καὶ δόλου [δι' οὗ πικρία τοῖς συνθεμένοις (πικραίνει τοὺς συντιθεμένους) αὐτῷ].*

ὑπὸ τὴν γλῶσσαν] *Κόπος ἀνόνητος καὶ μόχθος (πόνος) ἀκερδής· δίχα δὲ τούτου (τούτων) τὴν γλῶσσαν (οὐ κινεῖ καὶ) σαλεύει.*

29. *ἐγκάθηται*] *Οἱ πλουτοῦντες τὴν ἀσέβειαν (τῇ ἀσεβείᾳ) διὰ παντὸς τῇ εἰρωνείᾳ συζῶσιν· ἐνεδρεύουσι γὰρ ⟨οἱ δαίμονες⟩ τοὺς ἀκάκους, ἄλλως τε καὶ οἱ πλούσιοι ἐνεδρεύουσι τοὺς πένητας.*

ἐν ἀποκρύφοις] *Ὁ διάβολος· λεληθότως γὰρ τὸν Χριστὸν ἐζήτησεν ἀποκτεῖναι. ἀθῷος γὰρ ταῖς χερσὶ καὶ καθαρὸς τῇ καρδίᾳ μόνος ὁ Χριστός (θεός).*

οἱ ὀφθαλμοὶ αὐτοῦ] *Οἱ τοῦ διαβόλου εἰς τὸν Χριστόν· πένης γάρ, ὡς δι' ἡμᾶς πτωχεύσας.*

30. *ἐνεδρεύει*] *Ὁ λέων ἀεὶ ἐν τῷ σπηλαίῳ τῷ ἰδίῳ ἐνεδρεύει ἅρπαγμα (ἁρπαγήν)· οὕτως καὶ ὁ διάβολος ἐν τῇ συναγωγῇ τῶν Ἰουδαίων, ὡς ἐν μάνδρᾳ, ἐθήρευε τὸν Χριστόν, νομίσας αὐτὸν ψιλὸν ἄνθρωπον εἶναι.*

ἁρπάσαι πτωχόν] *Τὸν Χριστόν, τὸν δι' ἡμᾶς πτωχεύσαντα, ὡς ἐδόκουν, ἁρπάσαντες εἷλκον.*

ἐν τῇ παγίδι] *Τὸν διάβολον ὁ Χριστός· ἐν τῇ παγίδι γάρ, ᾗ ἔστησεν, ἐν αὐτῇ συλληφθεὶς ἐταπεινώθη.*

31. *ταπεινώσει*] *Ἐνόμισε γὰρ ὁ ἐχθρὸς καὶ αὐτῶν τῶν ἀποστόλων κατακυριεύειν, ἀλλὰ καὶ τῶν μαρτύρων· ὅταν οὖν ἔδοξε πάντων κεκρατηκέναι, τότε συντριβεὶς ἔπεσε. [τὸ γὰρ κύψαι συντριβῆναι δηλοῦται].*

32. *εἶπεν γὰρ ἐν τῇ καρδίᾳ*] *Ἐνόμιζε γὰρ ὁ διάβολος λήθῃ παραδεδωκέναι τὸν θεὸν τὰ περὶ αὐτοῦ καὶ οὐχ ἑώρα τὰ παρ' αὐτοῦ τεκταινόμενα εἰς αὐτόν.*

33. *ἀνάστηθι κύριε*] *Ἀναστὰς γὰρ ἐκ τῶν νεκρῶν ὑψώθη πάλιν*

εἰς οὐρανούς, οὓς οὐκ ἦν καταλιπών· ἐν δὲ τῷ ὑψοῦσθαι (αὐτὸν) μετὰ δόξης ἐπῆρε τὴν χεῖρα αὐτοῦ ἐπὶ τοὺς ἐχθροὺς καὶ ἐσκόρπισεν αὐτοὺς ἐπὶ (εἰς) πᾶσαν τὴν γῆν.

μὴ ἐπιλάθῃ] *Τουτέστι μὴ ἐπιλάθῃ τοῦ ἀνθρώπου, τοῦ πτωχεύσαντος τοσοῦτον, ὡς τὰ κεράτια ἐσθίοντος.*

34. *ἕνεκεν τίνος*] *Ἕνεκεν τοῦ ἀνθρώπου παρώργισεν ὁ διάβολος τὸν θεόν, σκελίσας αὐτὸν τῇ πλάνῃ τῶν εἰδώλων.*

εἶπεν γὰρ ἐν καρδίᾳ] *Τουτέστιν ὅσον ἂν καταπίω τὸν ἄνθρωπον, οὐκ ἔστιν ὁ ζητῶν αὐτόν, φησὶ διάβολος.*

35. *βλέπεις*] *Ὁ θεὸς πρὸς τὸν διάβολον λέγει· βλέπεις, ὅτι σὺ εἶ ὁ βλάπτων τὸν ἄνθρωπόν (μου).*

τοῦ παραδοῦναι] *Πάντα γὰρ ποιεῖς, ὥστε ἐν χερσί σου κατέχεσθαι τὸν ἄνθρωπον.*

σοὶ οὖν] *Τῷ θεῷ, εὔδηλον, ἐβόησαν οἱ πτωχοὶ τῷ πνεύματι καὶ οἱ ἀπορφανισθέντες τοῦ κόσμου, ὥστε παρ᾽ αὐτοῦ φρουρεῖσθαι.*

36. *σύντριψον*] *Τοῦ διαβόλου, εὔδηλον· οὗτος γὰρ καὶ ἁμαρτωλὸς καὶ πονηρός. τούτου τὸν βραχίονα, τουτέστιν τὴν ἰσχύν, κατάργησον, ἵνα μὴ λυμαίνηται τὸν ἄνθρωπον.*

ζητηθήσεται] *Τουτέστι ζητηθέντος τοῦ τέλους (ζητουμένης τέλος) αὐτῆς, οὐχ εὑρίσκεται· πολλὴ γάρ ἐστιν.*

37. *βασιλεύσει*] *Ἡ γὰρ βασιλεία τοῦ Χριστοῦ καὶ θεοῦ βασιλεία αἰώνιος, ἀδιάδοχος καὶ ἀτελεύτητος.*

ἀπολεῖσθε] *Οἱ δαίμονες ἐκ τοῦ ἀνθρώπου· γῆ γὰρ νοητὴ ὁ ἄνθρωπος.*

38. *τὴν ἐπιθυμίαν*] *Τὴν θέλησιν τῶν δικαίων (χειλέων) καὶ τὴν ἑτοιμασίαν τῆς καρδίας αὐτῶν. λέγει δὲ τὰς πράξεις τὰς ἀγαθὰς καὶ εἰσακούει καὶ ἐπιβλέπει ὁ θεὸς καὶ χαίρει ἐπ᾽ αὐτοῖς.*

39. *κρῖναι*] *Τῶν γὰρ ὀρφανῶν καὶ τῶν ταπεινῶν ἔκδικος ὁ θεὸς καὶ βοηθός, δι᾽ οὗ τῶν μεγαλαυχούντων τὸ θράσος πίπτει καὶ εἰς οὐδὲν λογίζεται ⟨τὸ φρύαγμα ἐπὶ γῆς εἰς οὐδ. λογ.⟩.*

X.

Εἰς τὸ τέλος] *Περὶ γὰρ τῶν μελλόντων ἐπὶ (ἐν) συντελείᾳ τῶν αἰώνων τελεῖσθαι ἡ προφητεία τῷ (τοῦ) Δαυὶδ ἐφανέρωσεν (-ρωθη).*

1. *ἐπὶ τῷ κυρίῳ*] *Ὁ κατὰ θεὸν (ἄνθρωπος) πολιτευόμενος καὶ εἰς ὕψος ἀρετῆς ἀνελθὼν λέγει πρὸς τοὺς δαίμονας· τί ἔχετε (λοιπὸν) λέγειν περὶ ἐμοῦ; ὅλον δέ ἐστιν εἰς τὸν Χριστόν.*

μεταναστεύου] *Ἐπὶ γὰρ τὰ δόγματα τῶν προφητῶν, ὡς ἐν ὄρεσι στρουθίου δίκην, οἱ καθάραντες τὸν βίον πέτονται ταῖς ἀρεταῖς. λέγει*

δὲ τὸν σωτῆρα, ὡς ἀεὶ ἐν ταῖς ἐρήμοις αὐλιζόμενον.

2. ὅτι ἰδοὺ οἱ ἁμαρτωλοί] Οὐ παύονται γὰρ οἱ δαίμονες τοξεύοντες τὸν ἄνθρωπον λεληθότως.

ἡτοίμασαν] Φαρέτρα ἐστὶ βελοθήκη. ἀεὶ δὲ τούτοις τοῖς βέλεσι πεπλήρωται ἡ διάνοια τῶν δαιμόνων.

τοῦ κατατοξεῦσαι] Ἐπιτηροῦσι γὰρ οἱ δαίμονες καὶ ὅταν εὕρωσι τὸν ἄνθρωπον τῇ ἀκηδίᾳ βαρυνόμενον καὶ ὥσπερ ἐσκοτισμένον, τότε καὶ αὐτοὶ ἐπεμβαίνουσι, τοξεύοντες (ἐπιλαμβάνοντες τοξεύουσιν) τὸν ἄνθρωπον τοῖς λογισμοῖς.

3. ὅτι ἃ κατηρτίσω] Τὴν ψυχὴν γὰρ ἡμῖν ὁ θεὸς κατήρτισε καθαράν, αὐτοὶ δὲ διὰ τῶν ῥυπαρῶν λογισμῶν καθαιροῦσιν.

ὁ δὲ δίκαιος] Οἱ γὰρ δίκαιοι διὰ τῆς καθαρᾶς πολιτείας,

4. κύριος ἐν ναῷ] τὸν ναὸν φυλάττουσι ἅγιον τῷ θεῷ καὶ ἐν οὐρανῷ τὸν θρόνον ἀπολαμβάνουσιν· ἑκάτερα δέ ἐστιν ὁ Χριστός.

οἱ ὀφθαλμοὶ αὐτοῦ] Ἐπιτηρεῖ γὰρ ἀεὶ τὸν βίον (τῶν ἀνθρώπων), τῶν κατὰ θεὸν πενήτων, ὁ κύριος ἀρεσκόμενος αὐτοῖς.

τὰ βλέφαρα αὐτοῦ] Νεύματι γὰρ σταθμίζει τὰ ἐν ἡμῖν.

5. κύριος ἐξετάζει] Τουτέστιν ἐρευνᾷ ἑκάτερον, ἵνα τῷ μὲν δικαίῳ ἀποδώσει τὸν μισθόν, τῷ δὲ ἀσεβεῖ τὴν κόλασιν, ὡς δίκαιος κριτής (δικαιοκρίτης).

ὁ δὲ ἀγαπῶν] Ὁ διάβολος· ἀγαπῶν (-ήσας) γὰρ τὴν ἀδικίαν, τὴν ἀξίαν ἀπώλεσεν·[1] οὕτως πᾶς ὁ τὸ ἄδικον φιλῶν ζημιοῦται τὴν ἑαυτοῦ ψυχήν.

6. ἐπιβρέξει] Τοὺς δαίμονας (τοῖς δαίμοσι) καὶ ὅσοι τούτοις ἐξακολουθοῦσιν· παγιδεύεσθαι γὰρ αὐτοὺς συγχωρεῖ ὁ θεὸς τοῖς ἰδίοις ἐπιτηδεύμασιν.

πῦρ καὶ θεῖον] Καὶ ταῦτα τοῖς δαίμοσι καὶ τῷ διαβόλῳ· περὶ γὰρ αὐτοῦ εἴρηται· ἔχεις ἄνθρακας πυρός, κάθισαι ἐπ' αὐτούς.

7. ὅτι δίκαιος κύριος] Δικαίαν γὰρ τὴν κρίσιν ἐπάξει τότε τοῖς πᾶσιν, ὡς θεὸς ἀληθινός.

εὐθύτητα] Οὐδὲν γὰρ σκολιὸν ἢ διεστραμμένον ἢ ψευδὲς παρ' αὐτῷ.

XI.

Εἰς τὸ τέλος, ὑπὲρ τῆς ὀγδόης] Ἐπὶ συντελείᾳ τῶν αἰώνων ὑπὲρ τοῦ μέλλοντος αἰῶνος ἡ προφητεία τῷ Δαυὶδ ἐφανερώθη (ἐφανέρωσε τὴν ᾠδήν), ἵνα ἕκαστος ἑτοιμάζηται πρὸς τὸ μέλλον· ἕβδομος γὰρ ὁ παρών, ὄγδοος δὲ ὁ μέλλων. ἀλλὰ δὲ καὶ περὶ τῆς ἀναστάσεως τοῦ Χριστοῦ·

[1] V. Ὁ διάβ. ἀγαπῶν τὴν ἀδικ. μισεῖ τὴν ἑαυτοῦ ψυχήν, τὴν ἀξίαν ἀπώλεσεν. κτλ.

ὀγδόη γὰρ τυγχάνει ἡμέρα, καὶ ὀγδόη καὶ πρώτη.

2. σῶσόν με, κύριε] Ὁ Χριστὸς περὶ τοῦ λαοῦ τῶν Ἰουδαίων βοᾷ, ὅτι οὐκ ἦν ἐν αὐτοῖς ὁ συνίων ἐπὶ τὸν θεόν· αἰνίττεται δὲ καὶ τὸν ἀοίδιμον θάνατον τοῦ κυρίου (τοῦ θεοῦ) ἡμῶν.

ὅτι ὠλιγώθησαν] Ἀφέντες γὰρ τὴν ἀλήθειαν οἱ Ἰουδαῖοι ψευδῆ κατὰ τοῦ Χριστοῦ ἐμελέτησαν.

3. μάταια ἐλάλησεν] Τουτέστιν μάταια πρὸς ἀλλήλους ἐβουλεύσαντο (ἐλάλησαν) κατὰ τοῦ Χριστοῦ, [βλάψαι τὴν ἀλήθειαν σπεύδοντες].

χείλη δόλια] Καὶ πρὸς ἀλλήλους [γὰρ] δολίως ἐλάλουν· ἕκαστος δὲ ἐν ἑαυτῷ ἐτέκταινε τὸ κακόν.

4. ἐξολεθρεύσει] Ἐδογμάτιζε γὰρ αὐτῶν τοὺς λογισμούς, τὰς ἐνθυμήσεις αὐτῶν ἐμβατεύων ὡς θεός.[1]

καὶ γλῶσσαν] Τουτέστιν μεγαλαυχοῦσαν· κατὰ τοῦ θεοῦ γὰρ αὐτὴν ἐκίνουν.

5. τοὺς εἰπόντας] Τουτέστιν εἰς ὕψος ἐπάρωμεν.[2]

τὰ χείλη ἡμῶν] Μέμφεται ἐνταῦθα τοὺς ἅρπαγας καὶ τοὺς πλεονέκτας, οἵτινες μήτε τῶν πτωχῶν τὴν πτῶσιν,[3] μήτε τῶν πενήτων τὸν στεναγμὸν οἰκτείρουσιν (οἰκτείροντες).

6. ἀπὸ τῆς ταλαιπωρίας] Λέγει μὲν τὴν ἀνάστασιν τοῦ Χριστοῦ, ὅτι μετ' ὀργῆς ἐξανίσταται ἐπὶ τοὺς ἐχθρούς· τὸ δὲ θήσομαι ἐν σωτηρίῳ λέγει τὸν σταυρόν, ὡς ἐν αὐτῷ τὴν νίκην ἀράμενος ὁ κύριος.

7. τὰ λόγια] Οὐ γάρ ἐστι προσωποληψία παρὰ τῷ θεῷ, ἀλλ' εὐθύτης καὶ δικαιοσύνη· ὁ γὰρ λόγος αὐτοῦ ὡς πῦρ καίεται.

κεκαθαρισμένον] Τουτέστιν εἰς τέλος καθαίρων πάντα, ὡς θεοῦ λόγος ἀπροσωπόληπτος.

8. σὺ κύριε] Ὁ προφήτης ἐκ προσώπου τοῦ ἀνθρώπου εὔχεται φυλαχθῆναι ἀπὸ τῆς γενεᾶς τῆς σκολιᾶς καὶ διεστραμμένης. αἰνίττεται δὲ καὶ τὸ γένος τῶν Ἰουδαίων εἰς πρόσωπον τοῦ Χριστοῦ.

9. κύκλῳ οἱ ἀσεβεῖς] Κυκλοῦντες γὰρ οἱ Ἰουδαῖοι τὸν Χριστὸν οὐκ ἐπαύσαντο ἄλλος πρὸς ἄλλον μελετῶντες τὸ ψεῦδος· ἀλλὰ γὰρ καὶ οἱ δαίμονες κυκλοῦντες τὸν ἄνθρωπον οὐ παύονται.

κατὰ τὸ ὕψος] Κατὰ γὰρ τὴν δόξαν καὶ τὴν δύναμίν σου, ὁ θεός, περιεποιήσω τὸ γένος τῶν ἀνθρώπων.[4]

---

[1] In slavica interpretatione hic versiculus abest.

[2] V. hoc loco sic habet: *Τουτέστιν ἐν ἡμῖν ἐστι τὸ λαλεῖν καὶ τὸ μὴ λαλεῖν.*

[3] V.: *Μεμφ. ἐνταῦθα τοῖς ἅρπαξι καὶ τοῖς πλεονέκταις, οἵτινες μήτε τῶν πτωχῶν τῆς πτωχείας καὶ τὴν πτῶσιν κτλ.*

[4] V.: *Τουτέστιν ἐγὼ εἶπα· θεοί ἐστε καὶ υἱοὶ ὑψίστου πάντες. ἐπολυώρησε τὸν Μωυσῆν, τὸν Ἰησοῦν τὸν τοῦ Ναυῆ. ὁ μὲν θάλασσαν ἔτεμεν, ὁ δὲ τὸν ἥλιον καὶ τὴν σελήνην ἔστησεν. ὁ δὲ Ἠλίας νεκρὸν ἀνέστησεν. ὁμοίως καὶ ἑτέρους, οὓς ἐδωρήσατο κύριος ἐργάσασθαι ἔργον θεικόν.*

XII.

Εἰς τὸ τέλος] *Ἐπὶ τέλει γὰρ τοῦ αἰῶνος οἱ προφῆται ἐλάμβανον τὴν προφητείαν περὶ τοῦ μυστηρίου, τοῦ μέλλοντος ἐπὶ τέλει φαίνεσθαι.*

2. *ἕως πότε*] *Ὁ Χριστὸς ἀπὸ (ἐκ) προσώπου τοῦ Ἀδὰμ βοᾷ· διὰ τί, κύριε, τοσοῦτον χρόνον ἀφῆκάς με τῇ ἁμαρτίᾳ φθείρεσθαι (φέρεσθαι).*

ἕως πότε ἀποστρέψεις] *Βδελυσσόμενός με διὰ τὴν παράβασιν [μοῦ], φησὶν ὁ Ἀδάμ.*

3. *ἕως τίνος θήσομαι*] [*Ἕως πότε ἀφῆκάς με, φησί, λογίζεσθαι περὶ τῆς σῆς παρουσίας;*]

ὀδύνας] *Ἀνέκδοτος γὰρ ἡ ὀδύνη μου ἑκάστης ἡμέρας σοῦ βραδύνοντος πρὸς (εἰς) τὸ σῶσαί με.*

ἕως πότε ὑψωθήσεται] *Τῆς γὰρ σῆς παρουσίας, δέσποτα, χρονιζούσης ἐπιμένων ὁ ἐχθρὸς [καὶ βιάζων] οὐ παύεται.*

4. *ἐπίβλεψον*] *Τουτέστιν ἐν τάχει ἐλθὲ καὶ ποίησον τὴν ἐκδίκησίν μου, φησὶν ὁ Ἀδάμ.*

φώτισον] *Φώτισον τοὺς ὀφθαλμοὺς τῆς διανοίας μου, ἕως πότε βαρὺν ὕπνον καθεύδω τῆς ἁμαρτίας;*

5. *μή ποτε εἴπῃ*] *Ὁ διάβολος φησίν· μὴ καυχήσηται εἰς ἐμὲ εἰς τέλος κυριεύων μου.*

οἱ θλίβοντες] *Ἐν γὰρ τῷ σαλευθῆναι τῇ παραβάσει τὸν ἄνθρωπον οἱ δαίμονες ἐχάρησαν.*

6. *ἐγὼ δὲ ἐπὶ τῷ ἐλέει*] *Ἔγνων γάρ, ὅτι οὐ μὴ παρίδῃς τὸ πλάσμα σου, ὃ ἐποίησας.*

ἀγαλλιάσεται] *Ἠγαλλιάσατο γὰρ ὁ Ἀδὰμ ἐπὶ τῇ σωτηρίᾳ, γενομένῃ διὰ τῆς ἐνσάρκου παρουσίας τοῦ Χριστοῦ.*

ᾄσω] *Ὅτι ἐλέησέ με, φησὶν ὁ Ἀδάμ, καὶ ἐκούφισέ με ἐκ τῶν κακῶν, ὧν παρέσχε μοι ἡ παράβασις.*

XIII.

Εἰς τὸ τέλος] *Ἐπὶ τέλει (ὑπὲρ τέλους) γὰρ τῶν καιρῶν ἡ προφητεία ἐπλήσθη τοῦ μυστηρίου.*

1. *εἶπεν ἄφρων*] *Ἄφρων ὁ διάβολος, ὡς καὶ τὴν ἀξίαν ἀπολέσας καὶ φαντασθεὶς τοιαῦτα περὶ θεοῦ. λέγει γάρ· θήσομαι τὸν θρόνον μου ἐπὶ τῶν νεφελῶν καὶ ἔσομαι θεός. τὸ δ' αὐτὸ καὶ οἱ Ἕλληνες λογίζονται (ἐλογίζοντο) τῇ αὐτῶν ἀφροσύνῃ (τὴν αὐτῶν ἀφροσύνην).*

διέφθειραν] *Τοιαῦτα γὰρ διανοηθεὶς ὁ διάβολος καὶ οἱ δαίμονες, βδελυκτοὶ ἐγένοντο καὶ διεφθάρησαν, τουτέστιν ἐξέπεσαν ἐκ τῆς δόξης αὐτῶν, ἧς εἶχον παρὰ θεοῦ (παρὰ θεῷ).*

οὐκ ἔστιν ποιῶν] *Πάντες γὰρ οἱ δαίμονες κακὰ ἐνενόησαν καὶ περὶ τοῦ θεοῦ καὶ περὶ (κατὰ) τοῦ ἀνθρώπου, ὡς ἀντίπαλοι καὶ μηκέτι χρηστόν τι λογιζόμενοι.*

2. κύριος ἐκ τοῦ οὐρανοῦ] Λέγει τὴν παρουσίαν τοῦ Χριστοῦ, τὴν μετὰ σαρκός, ἣν ἐποιήσατο διὰ τὸν ἄνθρωπον.

τοῦ ἰδεῖν] Πάντες γὰρ ἦσαν τῇ πλάνῃ αἰχμάλωτοι καὶ οὐδεὶς ἦν ὁ περὶ θεοῦ συνίων· διὸ καὶ παρεγένετο σπλαγχνισθεὶς ἐπὶ τῆς γῆς.

3. πάντες ἐξέκλιναν] Μετὰ γὰρ τὴν πλάνην καὶ ἄχρηστοι πρὸς ἐπιστροφὴν παντελῶς ἦσαν.

οὐκ ἔστιν ποιῶν] Ἐκ δευτέρου πάλιν μαρτύρεται τὸ πνεῦμα τὸ ἅγιον, ὅτι πονηρὰ ἦν ἡ πληγή, ἣν ἔπληξαν οἱ δαίμονες τὸν ἄνθρωπον καὶ οὐχ ὑπελείφθη ἕως ἑνὸς ποιῶν (ποιοῦντος) ἀγαθόν.

4. οὐχὶ γνώσονται] Μαθήσονται (μνησθήσονται) γὰρ οἱ δαίμονες τὴν ἀντίληψιν τοῦ ἀνθρώπου ἐν τῇ παρουσίᾳ τοῦ κυρίου (Χριστοῦ) καὶ πενθήσουσιν.

οἱ κατέσθοντες] Ἐν αὐτῷ γὰρ τῷ φάρυγγι οἱ δαίμονες ὥσπερ βρῶσιν εἶχον ἄνθρωπον, μὴ ἐννοοῦντες, ὅτι ὁ θεὸς ἐπιλαθέσθαι τοῦ πλάσματος αὐτοῦ οὐ δύναται.

5. ἐκεῖ ἐδειλίασαν] Ὅταν ὁ θεὸς εἰς ἀναζήτησιν τοῦ ἀνθρώπου παρεγένετο, οἱ δαίμονες φόβῳ μεγάλῳ κατεπλάγησαν· οὐκ ἦν δὲ τοῖς σωζομένοις φόβος, ἀλλὰ σωτηρία.

ὅτι ὁ θεός] Ἐν γὰρ τοῖς δικαίοις κατοικεῖ ὁ θεός, οὓς συνεστήσατο τὸ γένος ἑαυτῷ, ἀναλαβὼν (ἐν τῷ ἀναλαμβάνειν) τὸν ἄνθρωπον.[1]

6. βουλὴν πτωχοῦ] Διαφθονούμενοι οἱ δαίμονες, οἱ (ὅτι) διὰ Χριστὸν πτωχεύσαντες, ἐλπίδα ἔχουσι τὸν κύριον· φαυλίζοντες τούτους οὐ παύονται, οὐ φοβοῦνται δὲ τῷ θεῷ ἀνακείμενοι.

7. τίς δώσει] Ὁ Χριστός· ἐν γὰρ τῇ Σιὼν ἐνομοθέτησε τὴν σωτηρίαν τῶν πιστῶν, ὅ ἐστι τὰ μυστήρια. Ἰσραὴλ γὰρ καὶ οἱ λοιποὶ (λοιπὸν) ὁ πιστὸς λαὸς ὡς ὁρατὸς ὑπὸ θεοῦ.

ἐν τῷ ἐπιστρέψαι] Τουτέστιν ἐν τῷ σωθῆναι τὸν λαόν, τὸν ἐξ ἐθνῶν, αἰχμάλωτον ὄντα τοῖς δαίμοσι.

ἀγαλλιάσθω] Ἑκάτερα ὁ Χριστός, καὶ Ἰακὼβ καὶ Ἰσραήλ· αὐτὸς γὰρ μόνος χαρὰν ἡγήσατο τὴν ἐπιστροφὴν τοῦ ἀνθρώπου (λαοῦ).

XIV.

Εἰς τὸ τέλος] Τελείωσιν τοῦ μυστηρίου τοῦ Χριστοῦ σημαίνει ἡ προφητεία τοῦ ψαλμοῦ τούτου.

1. κύριε, τίς παροικήσει] Τουτέστιν (καὶ) τίς ἄρα ἀξιωθήσεται συνοικῆσαι ταῖς ἐντολαῖς σου, πιστεύσας εἰλικρινῶς τῇ ἐπιφανείᾳ σου, τῇ μετὰ σαρκὸς (σαρκώσει), ἧς (ᾗ) ἐσκήνωσας ἐν ἡμῖν.[2]

---

[1] In versione slavica abest.

[2] V.: Τουτέστιν τίς ἄξιος ἄρα, ἵνα ἀξιωθήσεται ταῖς ἐντολαῖς σου, πιστεύσας εἰλικρινῶς τὴν ἐπιφάνειάν σου, τὴν μετὰ σαρκός, ἣ ἐσκήνωσεν ἐν ἡμῖν.

καὶ τίς κατασκηνώσει] Τίς, φησί, ἐντρυφήσει τῇ πίστει τῇ σῇ; ὅρος γὰρ ἡ γραφὴ τὴν πίστιν καλεῖ. νόει δὲ καὶ τὸν Γολγοθᾶ καὶ τὰ πεπραγμένα ἐν αὐτῷ μυστήρια.

2. πορευόμενος] Ὁ Χριστὸς πρὸς ἀλήθειαν ἄμωμος καὶ δίκαιος, καὶ πᾶς ὁ μὴ διδοὺς μῶμον τοῖς ἔργοις αὐτοῦ, ἀλλ' ἀεὶ δικαίως πράττων τὰ πάντα.

λαλῶν ἀλήθειαν] Ὁ τῷ ψεύδει ἀποταξάμενος καὶ ἀεὶ κρατῶν τὴν ἀλήθειαν ἀκλινῶς. ἑκάτερα δὲ ὁ Χριστός ἐστιν.

3. ὃς οὐκ ἐδόλωσεν] [Ὁ Χριστός, περὶ οὗ φησί· καὶ οὐχ εὑρέθη δόλος ἐν τῷ στόματι αὐτοῦ. τοῦτο δὲ καὶ ὁ κατὰ θεὸν ἄνθρωπος καὶ τελείως ἀγωνιζόμενος (ἀγωνίζεται).]

οὐδὲ ἐποίησεν] Ὁ πρὸς ἀλήθειαν ἀγαθὸς κύριος, ὃς κακὸν ἀντὶ κακοῦ οὐκ ἀπέδωκε (ἀνταπέδωκε) τοῖς ἀθετοῦσιν.

καὶ ὀνειδισμόν] Ὁ Χριστός, περὶ οὗ ἡ γραφή· ὁ διδοὺς καὶ μὴ ὀνειδίζων. τοῦτο δὲ ποιοῦσι καὶ οἱ κατὰ θεὸν ζῶντες.

4. ἐξουδένωται] Ἰούδας πονηρευθεὶς ἐξουδενώθη, τουτέστιν ἀπερρίφη (ἐξ-) τῆς ἀξίας. τὸ αὐτὸ καὶ οἱ πονηροὶ πάσχουσιν.

τοὺς δὲ φοβουμένους] Τοὺς ἀποστόλους λέγει, οἵτινες τῷ φόβῳ τοῦ θεοῦ (θανάτου) καὶ τῇ ἀγάπῃ ἀκλινεῖς ἔμειναν· οὗτοι (ἔτι δὲ) ἐδοξάσθησαν ἀκούσαντες, ὅτι καθίσεσθε ἐπὶ δώδεκα θρόνοις. τὸ δ' αὐτὸ καὶ πάντες οἱ ἐν ἀληθείᾳ τὸν θεὸν φοβούμενοι ὡς ἀπόστολοι.

ὁ ὀμνύων] Καὶ τοῦτο ὁ Χριστός, περὶ οὗ ὤμοσε κύριος καὶ οὐ μεταμεληθήσεται. μακάριος δὲ καὶ ὁ ἄνθρωπος ἐκεῖνος, ὁ φυλάσσων ταῦτα.

5. τὸ ἀργύριον] Δώσας γὰρ ὁ κύριος τῷ ἀνθρώπῳ ἑκάτερα καὶ τὰ ἄλλα πάντα τὰ ἀγαθὰ τῆς γῆς, τόκον οὐκ ἐπιζητεῖ, ἀλλὰ προαίρεσιν ἀγαθήν. μακάριοι δὲ καὶ ὅσοι τῶν ἀνθρώπων φυλάττουσι τὸ ῥῆμα τοῦτο τοῦ προφήτου.

καὶ δῶρα] Ἐνταῦθα μακαρίζει, ὅσοι τὰς χεῖρας ἀπὸ δώρων καθαρὰς φυλάττουσιν. Χριστοῦ δὲ μόνου ἡ δεξιὰ καθαρὰ πρὸς ἀλήθειαν.

ὁ ποιῶν ταῦτα] Ὁ Χριστός, ὡς θεὸς γὰρ μόνος ἀσάλευτος καὶ ἀμετακίνητος καὶ ὅσοι δὲ φυλάττουσι ⟨τὰς ἐντολὰς αὐτοῦ⟩ καὶ οὐ σαλεύονται τῇ ἀπιστίᾳ.

XV.

Στηλογραφία] Τουτέστι φανεροῖ καὶ διαγράφει ἡ προφητεία τῷ Δαυὶδ τὰ ἐσόμενα ἐπ' ἐσχάτων, τὴν ἐκλογὴν τῆς ἐκκλησίας καὶ ἀνάστασιν τοῦ σώματος τοῦ Χριστοῦ.

1. Φύλαξόν με] Ὁ υἱὸς πρὸς τὸν πατέρα λέγει ἐκ προσώπου τοῦ ἀνθρώπου καὶ βεβαιῶν ἅμα τὴν οἰκονομίαν τῆς σαρκός (τὴν σαρκικήν).

2. εἶπα τῷ κυρίῳ] Χαρισάμενος γὰρ ὁ θεὸς τὴν τοσαύτην δωρεὰν τῷ ἀνθρώπῳ οὐδὲν χρῄζει τῶν τοῦ ἀνθρώπου· οὔτε γὰρ ἐπιδέεταί τινος, μόνην δὲ ἐπιζητεῖ τὴν προαίρεσιν τοῦ ἀνθρώπου.

3. τοῖς ἁγίοις] Τοῖς ἀποστόλοις, τοῖς πρὸς ἀλήθειαν ἁγίοις· αὐτοῖς γὰρ ἐγνώρισε τὰ μυστήρια τῆς βασιλείας τῶν οὐρανῶν καὶ τὸ ἑαυτοῦ θέλημα καὶ δι' αὐτῶν πᾶσι τοῖς ἁγίοις, ὅσοι τῇ διδαχῇ τῶν ἀποστόλων ἐξηκολούθησαν.

4. ἐπληθύνθησαν] Πολλαὶ γὰρ αἱ θλίψεις τῶν ἀποστόλων καὶ αἱ ἀσθένειαι, ὑστερούμενοι, κακουχούμενοι, ἀλλὰ μετὰ ταῦτα ἀνδρειότεροι τῷ κηρύγματι γεγόνασι.

οὐ μὴ συναγάγω] Οὔτε γὰρ δι' αἵματος ἢ πολέμου ἢ δυναστείᾳ τινὶ τὴν κλῆσιν τῶν ἐθνῶν ἐποιοῦντο, ἀλλὰ πίστει καὶ ἀγάπῃ ἐπισυνήγαγον πάντας.

οὐδὲ μὴ μνησθῶ] Περὶ Ἰουδαίων ὁ λόγος καὶ Ἑλλήνων καὶ κακοπίστων πάντων, ὅσοι τῷ κηρύγματι τῶν ἀποστόλων οὐκ ἐπίστευσαν· τούτων ὁ θεὸς μνήμην οὐ ποιεῖται.

5. κύριος ἡ μερίς] Κληρονομία θεοῦ τὰ ἔθνη ἐπιστρέψαντα ἐκλήθη, σοῦ δὲ μερὶς ὁ κύριος, μυσταγωγοῦνται (-γοῦντες) δὲ ποτηρίῳ τοῦ αἵματος (τῷ αἵματι) τοῦ Χριστοῦ.[1]

σὺ εἶ ὁ ἀποκαθιστῶν] Ὁ υἱὸς πρὸς τὸν πατέρα λέγει, ὅτι πᾶσαν τὴν ἐξουσίαν δέδωκε τῷ υἱῷ ἐπουρανίων (ὑπουρανίων) καὶ ἐπιγείων καὶ καταχθονίων καὶ τὴν τῶν ἐθνῶν κληρονομίαν.

6. σχοινία ἐπέπεσαν] Ὥσπερ γὰρ σχοινίῳ, οὕτως σφίγγεται τῇ ἀγάπῃ καὶ πίστει ὁ προσερχόμενος (προστρεχόμενος) θεῷ.

καὶ γὰρ ἡ κληρονομία] Προσηνής μοί ἐστιν, τουτέστιν, καὶ ἐκραταιώθη ἐν ἐμοὶ ἡ τῶν ἐθνῶν κλῆσις καὶ οὐδεὶς δύναται ἆραι αὐτὴν ἀπ' ἐμοῦ.

7. εὐλογήσω] Ὁ υἱὸς πρὸς τὸν πατέρα ἐκ προσώπου τοῦ ἀνθρώπου, ὅτι ἐκ τοῦ πνεύματος τοῦ ἁγίου ἐπλήσθη ὁ ἄνθρωπος συνέσεως.[2]

ἔτι δὲ καί] Λέγει περὶ τοῦ πάθους· νυκτὸς γὰρ κρατήσαντες αὐτὸν ἀπήγαγον εἰς τὸ κριτήριον. νεφροὺς δὲ λέγει τοὺς Ἰουδαίους, ὡς γένος αὐτοῦ ὄντας ⟨ἢ λογισμοὺς καρδίας⟩.

8. προορώμην] Οὔτε γὰρ ἐχωρίσθη τοῦ πατρὸς [αὐτοῦ] τὸ τυχόν, οὔτε τῆς ἐκ δεξιῶν [αὐτοῦ] καθέδρας ἐσαλεύθη τὸ παράπαν.

9. διὰ τοῦτο] Τουτέστιν ηὐφράνθη ἡ θεότης διὰ τὸν ἄνθρωπον, ὅτι ἔσωσεν αὐτόν· ἠγαλλιάσαντο δὲ καὶ οἱ ἀπόστολοι τῷ κηρύγματι. γλῶσσα γὰρ τοῦ Χριστοῦ οἱ ἀπόστολοι.

---

[1] Auctor codicis Ambrosiani emendare voluit: *μυσταγωγουμένου τῷ ποτηρίῳ τοῦ αἵματος.*

[2] Ven. add. *τουτέστιν ὅτι ἔπλησεν συνέσεως.*

ἔτι δὲ καί] *Λέγει τὴν ἀνάστασιν τοῦ κυριακοῦ σώματος καὶ τὴν ἀνάληψιν, τὴν εἰς οὐρανούς, ὅτι σὰρξ οὖσα ἐν οὐρανοῖς (εἰς οὐρανοὺς) κατεσκήνωσεν.*

10. ὅτι οὐκ ἐγκαταλείψεις] *Πῶς γὰρ ὁ ἀκράτητος ἔμελλε κρατεῖσθαι εἰς τὸν ᾅδην, αὐτὸς σκυλεύων τὸν ᾅδην; καὶ περὶ τῆς ψυχῆς δὲ τοῦ Ἀδὰμ ἡ προφητεία.*

οὐδὲ δώσεις] *Πῶς γὰρ σάρξ, ἡ ἄφθαρτος καὶ ἀμιγὴς ἁμαρτίας, ἠδύνατο διαφθαρῆναι;*

11. ἐγνώρισάς μοι] *Τῷ ἀνθρώπῳ τὴν εἰς οὐρανοὺς ἄνοδον.*

πληρώσεις] *Τὸν κυριακὸν ἄνθρωπον συνεγείρας καὶ συγκαθίσας τῇ θεότητι, ὅ ἐστι μετὰ τοῦ προσώπου σου.*

τερπνότητες] *Ἐν τῇ δεξιᾷ, ἐν ᾗ τὸν οὐρανὸν ἐστερέωσε καὶ τὴν γῆν ἐθεμελίωσε καὶ τὸν ἄνθρωπον ἔπλασεν καὶ πάντα τὸν κόσμον παρήγαγε. τούτων γὰρ τερπνότερον οὐδὲν εὑρίσκεται.*

XVI.

Προσευχή] *Τουτέστιν προσευχὴ τοῦ Χριστοῦ ἐκ προσώπου τοῦ Ἀδὰμ ἐφανερώθη τῷ Δαυίδ.*

1. Εἰσάκουσον] *Ταῦτα ὁ Ἀδὰμ ὀδυρόμενος λέγει· εἰσάκουσόν μου, κύριε, καὶ μὴ παρίδῃς, ἀλλὰ πρόσχες εἰς ἐμὲ καὶ ἀνάστησόν με, πεσόντα τῇ παραβάσει.*

ἐνώτισαι] *Τουτέστι μὴ παρέργως τῇ προσευχῇ (τὴν προσευχήν) μου πρόσσχῃς· οὔτε γὰρ δολίοις οὔτε δισσοῖς χείλεσι κράζω, ἀλλὰ πόνῳ ψυχῆς συνεχόμενος.*

2. ἐκ προσώπου] *Τουτέστιν αὐτὸς κρῖνον τὴν κρίσιν μου, τὴν μεταξὺ ἐμοῦ καὶ τῶν ἐμὲ σκελισάντων δαιμόνων, τουτέστιν ὁ Ἀδάμ.*

οἱ ὀφθαλμοί μου] *Εὐθύτης γὰρ παρὰ τῷ θεῷ ὡς κριτῇ (τῷ κριτῇ ὡς θεῷ).*

3. ἐδοκίμασας] *Κύριε, οἶδας τὸν πόνον τῆς καρδίας μου, πῶς τῇ νυκτὶ τῶν ἁμαρτιῶν ἐζόφωται· διὸ ἐπίσκεψαι τὸν ἐν σκότει ὄντα.*

ἐπύρωσάς με] *Ὅταν, φησί, πυρώσῃς με τῷ πυρὶ τοῦ πνεύματος καὶ ἀναχωνεύσῃς τὸ ἐμὸν σκεῦος, σὸν δὲ πλάσμα, τότε οὐ μὴ εὑρήσῃς ἐν ἐμοὶ ἀδικίαν· ἠπάτημαι γὰρ ὑπὸ τῶν δαιμόνων.*

4. ὅπως ἂν μὴ λαλήσῃ] *Αὐτὸς γὰρ ὁ Χριστὸς φησίν, ἅπερ ἐγὼ λέγω· οὐκ ἐξισοῦται τοῖς ἐμοῖς ῥήμασιν τὰ ἔργα τῶν ἀνθρώπων.*[1] *ὑπὲρ ἄνθρωπον γάρ εἰσιν.*

διὰ τοὺς λόγους] *Ὁ κατὰ θεὸν ἄνθρωπος, ὁ τέλειος, λέγει· κύριε, διὰ τὰς ἐντολάς σου ἐγὼ ἐσκλήρυνα τὰς ὁδούς μου. νηστείᾳ (-είαις) καὶ ἀγρυπνίᾳ (-ίαις) καὶ πάσῃ κακοπα-*

[1] *τοῖς ἐμοῖς ῥήμασι* ad fidem cod. A. et slavicae versionis, quae ꙗкоѫ гдаголѣхъ praebet, V. legit *τοῖς ἐμοῖς κρίμασιν*, quod slavico сѫдъ respondet.

θείᾳ ἐμαυτὸν ὑπέβαλον, ἵνα φυλάξω τοὺς λόγους σου (τὰς ὁδούς σου).

5. *κατάρτισαι*] *Τουτέστιν ἔμβαλε τοὺς πόδας μου εἰς τὴν ὁδὸν τῆς ἀληθείας, ἵνα μὴ ἐκκλίνω εἰς τὰ δεξιὰ ἢ εἰς τὰ ἀριστερά.*

ἵνα μὴ σαλευθῇ] *Τουτέστιν ἵνα μὴ παντὶ ἀνέμῳ περιφέρωμαι διδαχαῖς καιναῖς (κεναῖς) καὶ ἀπάταις.*

6. *ἐγὼ ἐκέκραξα*] *Πάλιν γὰρ*[1] *ὅτι οὐ μὴ παρίδῃς τὸ πλάσμα τὸ σόν· διὰ τοῦτο κράζων οὐκ ἐπαυσάμην.*

κλῖνον] *Τουτέστιν μὴ παρέργως μου ἀκούσῃς ὡς ῥυπωθέντος, ἀλλὰ θέλησον σῶσαί με.*

7. *θαυμάστωσαν*] *Θαῦμα γὰρ μέγα καὶ*[2] *ὑπὲρ πᾶσαν τὴν κτίσιν, ὅτι θεὸς ὤν, ἐπὶ γῆς ἦλθες, ἵνα τὸν ἄνθρωπον σώσῃς.*[3]

ἐκ τῶν ἀνθεστηκότων] *Ἐκ τῶν δαιμόνων· αὐτοὶ γὰρ ἀνθεστήκασι τῷ ἀνθρώπῳ.*

8. *φύλαξόν με*] *Ἐξ αὐτῶν με φύλαξον, φησὶν ὁ ἄνθρωπος, ἵνα μὴ πάλιν κυριεύσωσίν μου.*

ἐν σκέπῃ] *Τῶν δαιμόνων, τουτέστιν γυμνόν με κατέστησαν.*

9. *ἀπὸ προσώπου*] *Τῶν σῶν ἐντολῶν ἐξαπατήσαντές με, φησὶν ὁ Ἀδάμ.*

οἱ ἐχθροί μου] *Τὸν Χριστὸν οἱ Ἰουδαῖοι, ὡς ἐδόκουν, περιέσχον.*[4] *περὶ Χριστοῦ γὰρ νῦν ὁ προφήτης διαλέγεται καὶ τοῦ λαοῦ τῶν Ἰουδαίων.*

10. *τὸ στέαρ*] *Ἐν καρδίᾳ γὰρ ἐτέκταινον τὰ κακά, ὡς [στέατι] ἡ ζύμη φυσᾷ (οὖσα) καὶ τῷ στόματι ἐλάλουν κατὰ τοῦ Χριστοῦ.*

11. *ἐκβάλλοντές με*] [*Ἔξω γὰρ τῆς πόλεως ἐσταύρωσαν αὐτὸν καὶ κυκλώσαντες ἐξεδέχοντο ἰδεῖν τὸ τέλος.*]

τοὺς ὀφθαλμούς] *Γήϊνα φρονοῦντες περὶ τοῦ Χριστοῦ καὶ οὐράνιον οὐδέν.*

12. *ὑπέλαβόν με*] *Ἐνόμισαν γὰρ οἱ Ἰουδαῖοι, ὡς κύνες ἄγραν, κρατεῖν τὸν Χριστόν, ὡς τὸν Ἀδὰμ οἱ δαίμονες.*

καὶ ὡσεὶ σκύμνος] *Ὁ γὰρ διάβολος, ὡς ἐδόκει, κρύψας ἑαυτὸν ἐν Ἰουδαίοις, ἐπολέμει τῷ σωτῆρι.*

13. *ἀνάστηθι κύριε*] *Λέγει τὴν ἀνάστασιν τοῦ Χριστοῦ· αὐτοῦ γὰρ ἀναστάντος (ἐγερθέντος) ἐκ νεκρῶν, ἐφθάρησαν (ἐφθάσθησαν) καὶ οἱ Ἰουδαῖοι καὶ οἱ δαίμονες πανταχοῦ, καὶ οὐκέτι ἔστιν αὐτοῖς τόπος. πεπτώκασι γὰρ σκελισθέντες τῇ ἀναστάσει καὶ τῇ δυνάμει τοῦ Χριστοῦ.*

ῥῦσαι τὴν ψυχήν μου] *Τοῦ διαβόλου τὸν ἄνθρωπον (τὸν ἄνθρωπον ἀπὸ διαβόλου)· ἀσεβὴς γὰρ πρὸς ἀλήθειαν ὁ διάβολος καὶ ὅσοι τοῦτον ζητοῦσι καὶ ζηλοῦσιν.*

---

[1] Versio slavica postulat *πάνυ γὰρ οἶδα.*
[2] V.: *Θαυμαστὰ γὰρ τὰ ἐλέη σου ὑπὲρ . . .*
[3] V.: *ἵνα καὶ τὸν ἀνάξιον σώσῃς.*
[4] V. add. *τουτέστιν ἐκύκλωσαν καὶ ἐκράτησαν.*

14. ῥομφαίαν σου] Ῥομφαία γὰρ τοῦ θεοῦ (κυρίου) οἱ δαίμονες ἐπὶ τοὺς ἀπειθεῖς (ἀσεβεῖς)· συγχωρεῖ γὰρ αὐτοῖς ὁ θεὸς πρὸς ὀλίγον παιδεύειν τοὺς τοιούτους, ἵνα μαθόντες προσδράμωσιν τῷ θεῷ.

κύριε ἀπολύων] Τουτέστιν ὀλίγος ἐστὶν ὁ ἄνθρωπος, ἀλλὰ καὶ ἐκ τοῦ ὀλίγου τούτου ἀποδίωξον τοὺς δαίμονας τῆς γῆς, τοῦ ἀνθρώπου, τουτέστι. γῆν γὰρ πανταχοῦ ἡ γραφὴ τὸν ἄνθρωπον λέγει. τὸ δὲ διαμέρισον· χώρισον αὐτοὺς τῆς ζωῆς τῶν ἀνθρώπων.

καὶ τῶν κεκρυμμένων] Ὅσοι γὰρ ἀπὸ θεοῦ ἀποκρύπτονται, τουτέστιν χωρίζονται, οὗτοι εἰς τὴν γαστέρα τῶν δαιμόνων χωροῦσι, κατὰ τὴν γραφήν· καὶ κατέσθιεν (κατέπιεν) ὁ ᾅδης ἰσχύσας.

ἐχορτάσθησαν] Ἔθυσαν γὰρ τὰ τέκνα τοῖς δαίμοσιν, εἰδώλοις προσχωρήσαντες. ἡ δὲ ἁμαρτία αὐτῶν ἔφθασεν ἐπὶ τὰ τέκνα αὐτῶν. διὸ λέγει· τὰ κατάλοιπα τοῖς νηπίοις.

15. ἐγὼ δὲ ἐν δικαιοσύνῃ] Ὁ Χριστὸς πρὸς τὸν πατέρα τελέσας ἐν δικαιοσύνῃ, διὸ ἦλθεν ἐπὶ τῆς γῆς σῶσαι τὸν ἄνθρωπον ἐκ τῆς πλάνης.

χορτασθήσομαι] Ἀπολαμβάνοντες οἱ δίκαιοι τότε τὸν μισθόν. λέγει δὲ τὸν κυριακὸν ἄνθρωπον, ὅτι ἀπήλαυσε θεότητος.

XVII.

Εἰς τὸ τέλος] Τῷ παιδὶ κυρίου τῷ Δαυίδ, ἃ ἐλάλησε τῷ κυρίῳ, τοὺς λόγους τῆς ᾠδῆς ταύτης ἐν ἡμέρᾳ, ᾗ ἐρρύσατο αὐτὸν κύριος ἐκ χειρὸς πάντων τῶν ἐχθρῶν αὐτοῦ καὶ ἐκ χειρὸς Σαούλ, καὶ εἶπεν· ἡ προφητεία τὰ μέλλοντα ἐπὶ τέλει πληροῦσθαι φανεροῖ. διὸ λέγει τῷ παιδὶ κυρίου τῷ Δαυίδ. ἑρμηνεύεται δὲ Δαυὶδ ἱκανὸς χειρί, ἱκανὸς δὲ χειρὶ ὁ Χριστός· ἐλάλησε τὰ μέλλοντα ἐπ' ἐσχάτων πληροῦσθαι περὶ πάντων τῶν ἐχθρῶν καὶ τῆς ἀναστάσεως, νικήσας τὸν διάβολον.

2. ἀγαπήσω] Ὁ υἱὸς πρὸς τὸν πατέρα· δύναμις γὰρ τοῦ Χριστοῦ ὁ πατήρ, ὡς Παῦλος λέγει θεοῦ δύναμιν καὶ θεοῦ σοφίαν τὸν υἱόν.

3. κύριος στερέωμα] Τοῦ πιστοῦ καὶ κατὰ θεὸν ἀνθρώπου δύναμις καὶ καταφυγὴ καὶ ῥύστης ὁ θεός.

ὁ θεός μου] Ὁ κυριακὸς ἄνθρωπος λέγει, δοξασθεὶς τῇ θεότητι, καὶ πᾶς δὲ ὁ ἔχων ἐλπίδα ζωῆς (ζωῇ).

ὑπερασπιστής] Τοῦ κατὰ θεὸν σωζομένου ἀνθρώπου· ἑκάτερα δὲ ὁ Χριστὸς ὑπάρχει.

4. αἰνῶν ἐπικαλέσομαι] Ὁ Χριστὸς ἐκ προσώπου τοῦ ἀνθρώπου ταῦτα πρὸς τὸν πατέρα ⟨λέγει⟩, ὡς προσευχόμενος.

5. περιέσχον ὠδῖνες] Ὠδινεν γάρ, τουτέστι ἐπόνει ὁ θάνατος

καταπιεῖν ⟨μέλλων⟩ τὸν Χριστόν, ὡς ψιλὸν ἄνθρωπον.

καὶ χείμαρροι] Ὡς χείμαρροι ῥοιζηδὸν καὶ τεταραγμένοι φερόμενοι, οὕτως οἱ Ἰουδαῖοι μετὰ θράσους τὸν Χριστὸν ἐκύκλουν μετὰ ψεύδους.

6. ὠδῖνες ᾅδου] Αἰνίττεται τὴν ἐν τῷ ᾅδῃ κατάβασιν καὶ ὅτι οἱ Ἰουδαῖοι ὠδίνουν (ὤδινον), τουτέστιν ἔτικτον κατὰ Χριστοῦ (τοῦ κυρίου) ψευδεῖς μαρτυρίας.

προέφθασάν με] Αἰνίττεται τὸν ζωοποιὸν θάνατον, ὃν ἔμελλεν ὑπομένειν, καὶ τὸ σωτήριον πάθος· ἑκάστη γὰρ τῶν Ἰουδαίων παγὶς θανατηφόρος ἦν, κυκλοῦσα τὸν Χριστόν.

7. καὶ πρὸς τὸν θεόν] Ὅτε ἐπὶ τοῦ σταυροῦ ἔκραξεν· ἐλωεὶ ἐλωεί, ἵνα βεβαιώσῃ τὴν σάρκα.

ἤκουσεν] Ὁ ναὸς ὁ ἅγιος τὸ σῶμα τοῦ Χριστοῦ, ἐν ᾧ κατοικεῖ πᾶν τὸ πλήρωμα τῆς θεότητος. ὁ οὖν ναός, τουτέστιν ὁ κυριακὸς ἄνθρωπος, ἐβόα καὶ ἡ θεότης ἐπήκουσεν (ὑπήκουεν).

καὶ ἡ κραυγή μου] Εἰς τὰ ὦτα τοῦ πατρὸς ἡ κραυγὴ τοῦ υἱοῦ, ὡς γνησίου παιδός (υἱοῦ).

8. καὶ ἐσαλεύθη] Ὅταν ἐπὶ τοῦ σταυροῦ κράξας ἀπέδωκε τὸ πνεῦμα, τότε ἡ γῆ ἐσείσθη καὶ αἱ πέτραι ἐσχίσθησαν ἐπὶ τῇ ὑπερενδόξῳ (παραδόξῳ) δυνάμει.

καὶ τὰ θεμέλια] Ἐκ θεμελίων αὐτῶν ἡ γῆ ἀνεβράσσετο (-άζετο). θεὸς γὰρ συνῆν τῷ ἀνθρώπῳ ἐπὶ τῷ σταυρῷ (τοῦ σταυροῦ) κρεμαμένῳ, οὐκ ἔπασχεν δέ.[1]

καὶ ἐσαλεύθησαν] Τίνες ἐσαλεύθησαν; οἱ πυλωροῖ τοῦ ᾅδου· μετ' ὀργῆς γὰρ κατέβη (ἀνέβη) πρὸς αὐτοὺς ὁ θεὸς λόγος.

9. ἀνέβη καπνός] Ἐκάπνιζε γὰρ ἡ ὀργὴ κυρίου ἐπὶ τὸν ᾅδην καὶ τὸν θάνατον.

καὶ πῦρ] Ὥσπερ γὰρ πῦρ φλέγει καλάμην, οὕτως ἔφλεξε τὰ θεμέλια τοῦ ᾅδου καὶ τὰ βασίλεια τοῦ θανάτου ἡ ὀργὴ τοῦ θεοῦ.

ἄνθρακες] Ἐκαπνίσθη γὰρ ὁ διάβολος, καθὼς φησὶν ἡ γραφή· καὶ ἐγένετο ὡς δαλὸς ἐξεσπασμένος ἐκ πυρός, ὅ ἐστιν ἀπόκαυμα ξύλου.

10. καὶ ἔκλινεν] Λέγει τὴν ἐπὶ τῆς γῆς ἄφιξιν αὐτοῦ. ὥσπερ γὰρ ἐν γνόφῳ οὐκ ἔστιν ὁρᾶν, οὕτω τὸ μυστήριον τῆς καταβάσεως αὐτοῦ οὐκ ἐγνώσθη ταῖς οὐρανίαις δυνάμεσιν.

11. καὶ ἐπέβη] Λέγει πάλιν τὴν εἰς οὐρανοὺς ἄνοδον αὐτοῦ μετὰ σαρκός.

---

[1] V. continuat sic.: θεὸς λόγος ἐν σταυρῷ καὶ ψυχὴ λογικὴ καὶ σῶμα. πέντε τινὰ ὑπῆρχεν ἐν τῷ σταυρῷ, προσηλουμένου τοῦ Χριστοῦ ἐν αὐτῷ. ἦν ὁ ἥλιος, ὅστις καὶ πρῶτος τοὺς ἥλους καὶ τὴν λόγχην ἐδέξατο καὶ ἔμεινεν ἀχώριστος τοῦ σταυροῦ καὶ ἀπαθὴς ἐκ τῶν ἥλων. ἦν καὶ τὸ πανάγιον Χριστοῦ σῶμα, ἦν καὶ ἡ ἁγία αὐτοῦ ψυχή, ἦν καὶ ὁ θεὸς ὁ λόγος, ἦν καὶ τὸ ξύλον τοῦ σταυροῦ. τὰ ∴ τούτων κτιστά, ὁ δὲ θεὸς λόγος ἄκτιστος καὶ κτίστης αὐτῶν διεφυλάχθη. τὰ δύο κτίσματα ἀπαθῆ, λέγω δὴ ὁ ἥλιος καὶ ἡ παναγία αὐτοῦ ψυχή.

ἐπετάσθη] Τουτέστιν μετὰ σαρκός· ὡς θεῷ δὲ καὶ οἱ ἄνεμοι διηκόνουν καὶ οἱ ἄγγελοι ταῖς πτέρυξιν ὑπούργουν.

12. καὶ ἔθετο] Ὥσπερ γὰρ ἐν σκότει οὐκ ἔστι γνῶναί τι, οὕτως ἀκατάληπτον τὸ μυστήριον τῆς ἐνανθρωπήσεως τοῦ κυρίου. οὔτε γὰρ ἔτι ἐν σαρκὶ ὡράθη (ἐφάνη) ἀνθρώποις μετὰ τὴν εἰς οὐρανοὺς ἄνοδον.

κύκλῳ] Ἡ σὰρξ ἡ δεσποτική· σὺν αὐτῇ γὰρ ἀνέβη.

σκοτινὸν ὕδωρ] Ἀθεώρητον, τουτέστιν ἀκατάληπτον, τὸ τελούμενον μυστήριον ἐν τοῖς ὕδασι τοῦ βαπτίσματος διὰ τῶν σωμάτων. νεφέλαι γὰρ τὰ σώματα τῶν φωτιζομένων.

13. ἀπὸ τῆς τηλαυγήσεως] Ἀπὸ γὰρ τοῦ φωτὸς τῆς δόξης αὐτοῦ ἐνώπιον αὐτοῦ οἱ ἀπόστολοι πλήρεις γενόμενοι, ἀπεστάλησαν εἰς τὸ κήρυγμα. νεφέλας γὰρ ἡ γραφὴ τοὺς ἀποστόλους λέγει ἀεί. ὡς γὰρ αἱ νεφέλαι τὸν ὑετὸν λαμβάνουσαι (-ουσι καὶ) ἐκχέουσιν ἐπὶ τὴν γῆν (τῆς γῆς), οὕτως οἱ ἀπόστολοι τὸν λόγον τοῦ κηρύγματος εἰς πᾶσαν τὴν γῆν ἐξέχεαν.

χάλαζα] Τὰ εὐαγγέλια στερεὰ ὡς χάλαζα· αὐτὰ ἀπεστάλησαν ἄνθρακες, τὸ πῦρ τοῦ πνεύματος, περὶ οὗ φησί· γλῶσσαι πυρός.

14. καὶ ἐβρόντησεν] Ὅταν ὁ πατὴρ τῷ υἱῷ αὐτοῦ ἐξ οὐρανοῦ ἐλάλησεν· οὗτός ἐστιν ὁ υἱός μου ὁ ἀγαπητός. λέγεται δὲ καὶ τὸ κήρυγμα βροντή.

15. καὶ ἐξαπέστειλεν] Τὰς γλώσσας λέγει τῶν ἀποστόλων· αὗται γὰρ ὡς βέλη πυριφόρα, διαδραμοῦσαι πανταχοῦ, ἐσκόρπισαν τοὺς δαίμονας, ἐπιστρέψαντες τὰ ἔθνη.

καὶ ἀστραπάς] Ἀστράψαντες γὰρ οἱ ἀπόστολοι τὸν λόγον τοῦ εὐαγγελίου ἐπὶ τὰ ἔθνη, ἐτάραξαν αὐτούς, τουτέστιν ἐθορύβησαν. ἔσπευσαν γὰρ πρὸς ἐπιστροφήν.

16. καὶ ὤφθησαν] Τὰ τοῦ βαπτίσματος ὕδατα· ταῦτα γὰρ πηγαὶ ζωῆς αἰωνίου ἐφανερώθησαν.

καὶ ἀνεκαλύφθη] Ὁ στερεὸς θεμέλιος [καὶ ἀσάλευτος] ἐφανερώθη διὰ τοῦ βαπτίσματος, ὅ ἐστιν ἡ πίστις, δι' ἧς κρατεῖται ἡ οἰκουμένη.

ἀπὸ ἐπιτιμήσεως] Ἐπετίμησε γὰρ πανταχοῦ τοῖς δαίμοσιν, ἐμφυσήσας αὐτοὺς μετ' ὀργῆς καὶ χωρίσας τοὺς ἀνθρώπους (τοῦ ἀνθρώπου) διὰ τοῦ βαπτίσματος.

17. ἐξαπέστειλεν] Ἐξαποστείλας ὁ πατὴρ τὸν υἱὸν ἐπὶ σωτηρίᾳ τοῦ ἀνθρώπου, ἀναλαβὼν ἀνήγαγεν εἰς οὐρανούς.

προσέλαβε] Τῶν ῥευμάτων τῆς ἁμαρτίας· ὥσπερ γὰρ ὕδωρ ἐπέκλυζε τὴν ἀνθρωπότητα, ὕδωρ δὲ ὡς ἀνυπόστατον.

18. ῥύσεται] Τοῦ διαβόλου καὶ τῶν δαιμόνων αὐτοῦ. εἰ γὰρ καὶ ἀσθενεῖς, ἀλλ' ὅμως κακοί.

καὶ ἐκ τῶν μισούντων] Ἀφ' οὗ γὰρ ἐσκέλισαν τὸν ἄνθρωπον, κατεκράτησαν αὐτοῦ δυνάμει καὶ ἐκυρίευσαν.

19. προέφθασάν με] Ἀφ' οὗ γὰρ ἐκάκωσαν τὸν ἄνθρωπον, σκελίσαντες προετρέποντο καὶ προηγοῦντο εἰς πᾶσαν κακίαν.

καὶ ἐγένετο] Ἀφ' οὗ γὰρ παρεγένετο ὁ κύριος, ἐστήριξε τῇ πίστει τὸν ἄνθρωπον, ὥστε μὴ σαλεύεσθαι αὐτόν.

20. καὶ ἐξήγαγεν] Ἐπλάτυνε γὰρ τὸν ἄνθρωπον δώσας ⟨δοὺς⟩ αὐτῷ ἐξουσίαν πατεῖν ὑπάνω πάσης δυνάμεως τοῦ ἐχθροῦ.

ῥύσεταί με] Θελήσας γὰρ παρεγένετο ἐξ οὐρανῶν, ἀγαπήσας τὸν ἄνθρωπον καὶ ἐρρύσατο αὐτὸν ἐκ τῆς αἰχμαλωσίας τῶν δαιμόνων· δυνατοὶ γὰρ ἐχθροὶ οὗτοι κατὰ τοῦ ἀνθρώπου.

21. καὶ ἀνταποδώσει] Τοῖς γὰρ δικαίοις, [τοῖς] ἑτοίμως ὑπακούουσι ταῖς ἐντολαῖς τοῦ θεοῦ, ἀποδίδωσι τὸν μισθόν, ὡς δίκαιος κριτής.

καὶ κατὰ τὴν καθαριότητα] Τούτοις (τουτέστιν), ὅσοι τὰς χεῖρας ἀπὸ δώρων καὶ ἁρπαγῆς [καθαρὰς] ἐφύλαξαν· ἔστι δὲ ὁ Χριστός.

22. ὅτι ἐφύλαξα] Οὗτοι καυχήσονται ἐν τῇ δόξῃ τοῦ θεοῦ, ὅσοι ἐφύλαξαν τὰς ὁδοὺς κυρίου καὶ ἀκλινεῖς ἔμειναν ἐν τῇ πίστει.

23. ὅτι πάντα τὰ κρίματα] Διὰ παντὸς γὰρ ὁ κατὰ θεὸν ἄνθρωπος, τὸν φόβον τοῦ θεοῦ πρὸ ὀφθαλμῶν ἔχων, παρρησιάζεται ἐνώπιον (ὑπὸ) τοῦ θεοῦ.

καὶ τὰ δικαιώματα] Νυκτὸς γὰρ καὶ ἡμέρας οἱ τῇ πολιτείᾳ ὑπάρχοντες οὐράνιοι τῇ δικαιοσύνῃ τοῦ θεοῦ κατεκοσμήθησαν.

24. καὶ ἔσομαι] Ὁ υἱὸς μετὰ τοῦ πατρός· κατελθὼν γὰρ ἐπὶ γῆς οὐκ ἐμιάνθη, ἀλλ' ὡς κατῆλθε καὶ ἀνῆλθε.

καὶ φυλάξομαι] Ἀναγαγὼν γὰρ τὸν ἄνθρωπον εἰς οὐρανοὺς (ἐπὶ τὴν εἰς οὐρανοὺς ἄνοδον) ἀμιγής ἐστι λοιπὸν πάσης ἀνομίας.

25. καὶ ἀνταποδώσει] Δικαιοσύνης γὰρ πλήρης ὁ κυριακὸς ἄνθρωπος· τὸ δ' αὐτὸ καὶ οἱ δίκαιοι ἀπολήψονται.

καὶ κατὰ τὴν καθαριότητα] Τὸ εἰπεῖν ἐνώπιον τῶν ὀφθαλμῶν αὐτοῦ λέγει ἐπὶ τοῦ βήματος τοῦ κατὰ ἄνθρωπον. ἔστι δὲ περὶ Χριστοῦ. αὐτοῦ γὰρ αἱ χεῖρες καθαραὶ πρὸς ἀλήθειαν ἀπὸ παντὸς μολυσμοῦ.

26. μετὰ ὁσίου] Μεθ' οὗ γάρ τις ἀναστρέφεται, τούτου καὶ τὸν βίον μιμεῖται, καθάπερ οἱ τῷ Χριστῷ ζῶντες χριστιανοὶ λέγονται.

καὶ μετὰ ἀνδρός] Ἀθῷος [καθὼς] καὶ ὅσιος ὁ Χριστὸς καὶ οἱ ἐν Χριστῷ ζῶντες μετέχουσι τῆς δόξης αὐτοῦ.

27. καὶ μετὰ ἐκλεκτοῦ] Καὶ τοῦτο ὁ Χριστὸς καὶ οἱ τοῦ Χριστοῦ ἐκλεκτοί· εἰσὶ δὲ οἱ ἀπόστολοι, ὡς ἐκλεκτοὶ τοῦ θεοῦ.

καὶ μετὰ στρεβλοῦ] Στρεβλὸς ὁ διάβολος, ὡς διαστραφεὶς ἀπὸ τῆς ἀξίας αὐτοῦ· τούτῳ ὑπακούσας, Ἰούδας μετεστράφη (διεστ-) καὶ ἀπώλεσε τὴν ἀξίαν.

28. ὅτι σὺ λαόν] Τὸν ἐξ ἐθνῶν ταπεινωθέντα τῇ πλάνῃ τῶν εἰδώλων.[1]

καὶ ὀφθαλμούς] Τῶν ἰουδαικῶν ἀρχόντων καὶ τῶν δαιμόνων.[2]

29. ὅτι σὺ φωτιεῖς] Ὁ Χριστὸς πρὸς τὸν πατέρα βοᾷ ἐκ προσώπου τοῦ ἀνθρώπου.

ὁ θεός μου] Ὡς ἐν νυκτὶ γὰρ κατέκειτο ζοφερᾷ ὁ ἄνθρωπος, ἐφωταγώγησε δὲ αὐτὸν ἀναλαβὼν τῇ θεότητι.

30. ὅτι ἐν σοὶ ῥυσθήσομαι] [Λέγει περὶ τοῦ λαοῦ τῶν Ἰουδαίων· αὐτοὶ γὰρ ἐπείραζον τὸν Χριστόν.]

καὶ ἐν τῷ θεῷ] Ἅπερ ᾠκοδόμησεν ἡ ἁμαρτία, τὰ τοῦ ᾅδου τὰ ἀδαμάντινα, ταῦτα ὁ Χριστὸς συνέτριψεν.

31. ὁ θεός μου] Τοῦ Χριστοῦ καὶ θεοῦ· αὐτοῦ γὰρ ἡ ὁδὸς ἄμωμος πρὸς ἀλήθειαν, ὡς θεοῦ.

τὰ λόγια κυρίου] Πυρὸς γάρ εἰσιν ἐνεργέστερα τοῖς προσέχουσι τῷ θεῷ μετὰ (διὰ) πίστεως.

ὑπερασπιστής] Ὡς θεὸς ἐλεήμων, ὡς θεὸς συμπαθής.[3]

32. Ὅτι τίς θεός] Οὔτε γάρ ἐστι ἄλλος θεὸς πλὴν αὐτοῦ. λέγει γὰρ ἐν Ἠσαίᾳ· ἐγώ εἰμι καὶ οὐκ ἔστιν ἄλλος πλὴν ἐμοῦ.

33. ὁ θεὸς ὁ περιζωννύων] Ὁ πατὴρ τὸν υἱόν. λέγει γάρ· καὶ ἔδωκε πάντα τῷ υἱῷ ὡς γνησίῳ.

καὶ ἔθετο] Τοῦ κυριακοῦ ἀνθρώπου, ὃς ἁμαρτίαν οὐκ ἐποίησε καὶ οὐχ εὑρέθη δόλος ἐν τῷ στόματι αὐτοῦ.

34. ὁ καταρτιζόμενος] Οἱ γὰρ ἔλαφοι τοῖς ὄρεσι καὶ ταῖς πέτραις χαίρουσιν· οὕτως καὶ ὁ Χριστὸς τῷ ὄρει τοῦ Γολγοθᾶ· ἐπὶ τῆς πέτρας ἀναβάς, ἐπὶ τοῦ σταυροῦ (εἰς τὸν σταυρὸν) ἔστη ἐν ὑψηλοῖς.

35. διδάσκων] Εἰς τὸν κατὰ τοῦ διαβόλου πόλεμον, ὅθεν καὶ τὰς χεῖρας ἐπὶ τοῦ σταυροῦ ἐξέτεινεν ὁ Χριστός.

καὶ ἔθου τόξον] Λέγει τόξον χαλκοῦν τὸν σταυρὸν διὰ τὸ ἰσχυρόν· καὶ τοῦτον γὰρ ἐπὶ τῶν ὤμων ἄρας, ἐν αὐτῷ τὸν διάβολον κατεκέντησε.

36. καὶ ἔδωκάς μοι] Οὐκέτι γὰρ κυριεύειν ὁ διάβολος [κατὰ] τοῦ ἀνθρώπου δύναται, ἀφ' οὗπερ τῷ εὐαγγελίῳ (τὸ εὐαγγέλιον) ἠσφαλίσθη.

καὶ ἡ δεξιά σου] Κρατήσας τουτέστιν τὸν Ἀδὰμ τῇ χειρὶ καὶ ἀναστήσας αὐτὸν κείμενον.

καὶ ἡ παιδία] Διδάξας τὸν ἄνθρωπον τὸν νόμον (τῷ νόμῳ) τῆς χάριτος.

καὶ ἡ παιδία] Παιδευθεὶς γὰρ ὁ ἄνθρωπος τῇ χάριτι τοῦ Χριστοῦ ἔμαθε [καὶ] τὰ μυστήρια τῆς χάριτος.

---

[1] V.: Ὅτι σὺ κύριε Ἰησοῦ Χριστὲ λαὸν τὸν — — — σώσεις.

[2] In slavica interpretatione praesumitur haec lectio: Τοὺς ἰουδαικοὺς ἄρχοντας σημαίνει καὶ τοὺς δαίμονας.

[3] Slavica interpretatio legisse videtur ἐλεήμων καὶ παράκλητος.

37. ἐπλάτυνας] Δώσας (δοὺς) ἐξουσίαν τῷ ἀνθρώπῳ πατεῖν ἐπάνω ὄφεων καὶ σκορπίων καὶ ἐπὶ πᾶσαν τὴν δύναμιν τοῦ ἐχθροῦ.

καὶ οὐκ ἠσθένησαν] Οὐκέτι γὰρ ὑπὸ ἐχθροῦ κλέπτεσθαι (βλάπτεσθαι) δύναται ἔτι.

38. καταδιώξω] Ὁ Χριστὸς μετὰ τὴν ἀνάστασιν σκορπίσας τοὺς Ἰουδαίους.[1]

καὶ οὐκ ἀποστραφήσομαι] Οὔτε γὰρ [ἔτι] συνεχωρήθησαν εἰς τὸ ἀρχαῖον παρελθεῖν (ἐπανελθεῖν) ἀξίωμα οὔτε Ἰουδαῖοι οὔτε οἱ δαίμονες.

39. ἐκθλίψω] Τοὺς δαίμονας ὁ Χριστός· ἀφ' οὗ γὰρ κατηργήθησαν, στάσιν (σύστασιν) οὐκ ἔχουσιν.

πεσοῦνται] Τὰ τῶν δαιμόνων πλήθη καὶ οἱ Ἰουδαίων παῖδες, ὡς ἐχθροὶ ⟨πεσοῦνται⟩ ὑπὸ τοὺς πόδας τοῦ Χριστοῦ καὶ θεοῦ.

40. καὶ περιέζωσας] Ἐκραταίωσε γὰρ τὸν πρὸς αὐτοὺς πόλεμον ἐπὶ τοῦ σταυροῦ ὁ Χριστός.

συνεπόδισας] Δήσας (δείσας, πείσας) γὰρ τὸν ἐχθρὸν ὁ Χριστὸς καὶ τοὺς δαίμονας ἔδωκεν ὑπὸ τοὺς πόδας τῶν ἀνθρώπων.

41. καὶ τοὺς ἐχθρούς] Φεύγουσι γὰρ πανταχοῦ ὡς ἐχθροὶ οἱ δαίμονες, ὅταν ἴδωσι τὸ σημεῖον τοῦ σταυροῦ καὶ Χριστὸν ὀνομαζόμενον.

καὶ τοὺς μισοῦντας] Τοὺς Ἰουδαίους· μισήσαντες γὰρ τὸν Χριστὸν ἐξέπεσαν καὶ [τὰ] τοῦ νόμου καὶ τοῦ τόπου καὶ τῆς χάριτος καὶ τὸ (τοῦ) εἶναι λαὸν (-ὸς) θεοῦ.

42. ἐκέκραξαν] Μετὰ γὰρ τὸ πεσεῖν ἀναστῆναι οὐκ ἴσχυσαν· οὐ γὰρ ἠκούσθησαν ἔτι προσευχόμενοι. μάτην γὰρ εὔχονται τῷ πατρί, τὸν υἱὸν μὴ ἔχοντες.[2]

43. καὶ λεπτυνῶ] Σποδὸς γάρ, τουτέστιν κονιορτός, ἀνέβη (ἀπέβη) αὐτοῖς τὰ τοῦ νόμου καὶ τόπου λικμηθέντα, ὡσεὶ χνοῦς κατὰ πρόσωπον ἀνέμου.

ὡς πηλόν] Ὥσπερ γὰρ πηλός, πόλεως ἐν πλατέαις πατούμενος, ἀφανὴς γίνεται, οὕτως οἱ Ἰουδαῖοι πανταχόθεν ἀπώλοντο.[3]

44. ῥῦσαί με] Τοῦ λαοῦ τῶν Ἰουδαίων κραζόντων· αἶρε αἶρε (ἆρον ἆρον), σταύρωσον αὐτόν.

καταστήσεις με] Ἀφ' οὗ γὰρ Ἰουδαῖοι[4] ἠρνήσαντο λέγοντες· οὐκ ἔχομεν βασιλέα, ἐβασίλευσεν ἐπὶ τὰ ἔθνη ὁ κύριος, δεξάμενα τὴν χάριν τῆς πίστεως (τοῦ πνεύματος).

λαὸς ὅν] Ὁ ἐξ ἐθνῶν λαός, μὴ εἰδότες τὸν Χριστόν· αὐτοὶ ἐδέξαντο αὐτὸν καὶ δουλεύουσιν ἐν φόβῳ (ἐδούλευσαν φόβῳ).

45. εἰς ἀκοήν] Μετὰ φόβου γὰρ

---

[1] V.: Ὁ Χρ. μ. τ. ἀναστ. καταδιώξας διὰ τῆς ὀργῆς αὐτοῦ τοὺς Ἰουδ., Nan. ad. κατέλιπεν εἰς τὰ ἔθνη, Ven. σκορπίσας ἐπὶ πᾶν πρόσωπον τῆς γῆς.

[2] Slavica versio postulat μὴ τιμῶντες vel ἐντίμως ἔχοντες.

[3] V. add. καὶ ἐκ τοῦ νόμου καὶ ἐκ τῆς χάριτος καὶ ἐκ τῆς συγγενείας τοῦ θεοῦ.

[4] V. ad. μὴ δεξάμενοι τὸν σωτῆρα ἀλλ' . . .

καὶ σπουδῆς ἐδέξαντο τὰ ἔθνη τὸν λόγον τοῦ κηρύγματος [τῆς θεότητος].[1]

υἱοὶ ἀλλότριοι] Υἱοὶ γὰρ τὸ κατὰ σάρκα ἐτύγχανον τοῦ Χριστοῦ, ἀρνησάμενοι δὲ ἀπηλλοτριώθησαν.

46. υἱοὶ ἀλλότριοι] Ὡς ἀρχαῖοι καὶ παλαιωθέντες τῇ κακίᾳ ἐβδελύχθησαν· ἐχώλαναν δέ, ὅτι τῇ ὁδῷ τῆς ἀληθείας οὐκ ἔστησαν, ἀλλ' ἐξέκλιναν.

47. ζῇ κύριος] Ὁ Χριστός, ἀναστὰς ἐκ νεκρῶν, ὡς θεὸς οὗτος (οὕτω) εὐλογημένος ὑπὸ πάντων.

καὶ ὑψωθήτω] Σώσας γὰρ τὸ γένος, τὸ ἀνθρώπινον, ὑψώθη ἀναληφθεὶς εἰς οὐρανούς.

48. ὁ θεὸς ὁ διδούς] Ὁ πατὴρ τῷ υἱῷ δώσας (δοὺς) τὴν νίκην πάντων· πάντα γὰρ τὰ ἔθνη ὑπετάγησαν τῇ πίστει τοῦ Χριστοῦ ⟨καὶ θεοῦ⟩.

49. ὁ ῥύστης] Τοῦ ἰουδαικοῦ λαοῦ· ἔβρυχον (ἐβρύχοντο) γὰρ μετ' ὀργῆς μεγάλης κατὰ τοῦ Χριστοῦ.

ἀπὸ τῶν ἐπανιστανομένων] Περὶ[2] *τοῦ Ἀδὰμ ὁ λόγος· ὕψωσε γὰρ αὐτὸν ἐκ τῶν δαιμόνων, ἀναγαγὼν εἰς οὐρανὸν τὸν ἄνθρωπον. καὶ ὁ Χριστὸς κατ' ὀφθαλμοὺς τῶν ἐχθρῶν αὐτοῦ ἀνέβη εἰς οὐρανούς.*

ἀπὸ ἀνδρός] Τὸν Δαυὶδ ἐκ (ἀπὸ) τοῦ Γολιάθ, τὸν Χριστὸν ἐκ τοῦ Ἰούδα. λέγει δὲ καὶ τὸν ἄνθρωπον ἐκ τοῦ διαβόλου.

50. διὰ τοῦτο] Τουτέστιν ὅτι (ὅτε) τὰ ἔθνη ἐν ἐξομολογήσει τῷ θεῷ προσέδραμον.

50ᵇ—51. καὶ τῷ ὀνόματι — μεγαλύνων] Μετὰ ὕμνων καὶ ψαλμῶν δοξάζοντες τὸν Χριστὸν [οἱ πιστοί]· αὐτὸς γὰρ βασιλεὺς τῶν αἰώνων καὶ σωτὴρ πάντων.[3]

καὶ ποιῶν] Λέγει δὲ τῷ Δαυὶδ [τὸ ἰδικόν], ὡς ἐξ αὐτοῦ τὸ κατὰ σάρκα ὁ Χριστός· σπορὰ δὲ τοῦ Χριστοῦ ὁ πιστὸς λαός, τουτέστιν ποίημα Χριστοῦ· ἐπ' αὐτοὺς οὖν τὸ ἔλεος τοῦ Χριστοῦ αὐλίζεται.

XVIII.

Εἰς τὸ τέλος] Τὰ ἐπὶ τέλει μέλλοντα τελεῖσθαι μυστήρια προηγόρευσεν ἡ προφητεία τοῦ ἁγίου πνεύματος.

2. Οἱ οὐρανοί] Οἱ ἀπόστολοι οὐρανοί, ὡς τὸν Χριστὸν περιφέροντες καὶ ὡς τὸ φρόνημα οὐράνιον ἔχοντες καὶ ὡς βροντὴ κληθέντες· αὐτοὶ διηγήσαντο τῇ οἰκουμένῃ τὰ ἔνδοξα μυστήρια τοῦ Χριστοῦ καὶ θεοῦ. καὶ ἄλλως τε καὶ (ἀλλ' ὥστε καὶ) οἱ οὐρανοὶ τῷ κάλλει καὶ τῷ μεγέθει δεικνύουσι τὴν δόξαν τοῦ θεοῦ.

---

[1] V. ad.: *καὶ μετὰ πόθου ἐβαπτίσθησαν καὶ ἔλαβον τὴν χάριν τοῦ ἁγίου πνεύματος.*

[2] In slavica versione praecedit: *καὶ πάλιν.*

[3] Ven. ad. *καὶ ποιῶν ἔλεος τῷ Χριστῷ αὐτοῦ;* sed Nan. sine hoc additamento.

ποίησιν] *Στερέωμα λέγει (καλεῖ) τὴν σάρκα τὴν ἁγίαν. τὰ γὰρ ἐν αὐτῇ μυστήρια δείκνυσι τὴν δύναμιν (δόξαν) τοῦ Χριστοῦ· ἀλλὰ καὶ ὁ αἰσθητὸς οὗτος ὁ οὐρανὸς τῶν χειρῶν τοῦ θεοῦ ἀναγγέλλει τὴν δύναμιν τῇ θεωρίᾳ.*

3. *ἡμέρα*] *Ἡ παρθένος ἡ θεοτόκος τὴν Ἐλισάβετ ἀσπαζομένη· ἡμέραν γὰρ αὐτὴν ἡ γραφὴ (προφητεία) καλεῖ ὡς φωστῆρας βαστάζουσαν.*

καὶ νὺξ νυκτί] *Ὁ ἐν γαστρὶ τὸν ἐν γαστρὶ αἰσθανόμενος (αἰσθόμενος)· ὡς ἐν νυκτὶ γὰρ ἐν τῇ γαστρὶ συνείχοντο, εἰ καὶ φωστῆρες ἦσαν.*

4. *οὐκ εἰσὶν λαλιαί*] *Οὔτε γὰρ ἐκεῖνος οὔτε οὗτος τὸ λαλεῖν εἶχον, τέως καὶ σαλπίγγων ὑψηλότερα (-ον) ἐν πάσῃ τῇ οἰκουμένῃ (τὴν οἰκουμένην) ἤχησαν τὰ τούτου θαύματα, ἐκείνου δὲ τὰ κηρύγματα.*

5. *εἰς πᾶσαν τὴν γῆν*] *Τῶν ἀποστόλων εὔδηλον· πανταχοῦ γὰρ τῆς γῆς ἐκύλισαν (βολίσαντες) τὸν τροχὸν τοῦ κηρύγματος.*

καὶ εἰς τὰ πέρατα] *Εἰς πᾶσαν γὰρ τὴν οἰκουμένην τὰ ῥήματα τῶν εὐαγγελίων ἀκουστὰ ἐποίησαν οἱ ἀπόστολοι.*

6. *ἐν τῷ ἡλίῳ*] *Λέγει τὴν ὁμοιότητα τῆς λαμπρότητος· καὶ γὰρ ἐν τῷ ἡλίῳ κατασκηνοῖ ὡς θεός· αὐτὸς γὰρ ἔδωκε τῷ ἡλίῳ τὸ φαίνειν.*

καὶ αὐτός] *Ὥσπερ γὰρ ὁ νυμφίος ἐστολισμένος (ἐκπορευόμενος) ἐκ τοῦ παστοῦ ἐξέρχεται, οὕτως καὶ ὁ ἥλιος ἐστολισμένος ταῖς ἀκτῖσιν (ἀκτίναις) ἐκ τοῦ ἄκρου τοῦ οὐρανοῦ προέρχεται (ἐξέρχεται)· καὶ οὕτως ὁ Χριστὸς ἐστολισμένος τὸ φῶς ἐκ τῶν νεκρῶν ἀνέρχεται.*

ἀγαλλιάσεται] *Ὡς γίγας διὰ τὸ ἰσχυρόν· χαίρων γὰρ καὶ μετὰ δυνάμεως κατῆλθεν εἰς τὸν ᾅδην, ἵνα συντρίψῃ τὴν ἐν αὐτῷ δύναμιν (δυναστείαν).*

7. *ἀπ᾽ ἄκρου*] *Καὶ τοῦτο ὁ Χριστός· ἐκ τοῦ οὐρανοῦ γὰρ ἐλθὼν πάλιν εἰς οὐρανοὺς ἀνῆλθεν ἐν τοῖς πατρῴοις.*

καὶ οὐκ ἔστιν] *Ὥσπερ γὰρ ὁ ἥλιος πάντα τόπον [τῆς γῆς] φωτίζει, οὕτως καὶ ὁ Χριστὸς ἐπὶ πᾶσαν ψυχὴν τῶν πιστῶν τὸ θερμὸν τῆς πίστεως καὶ τὸ πῦρ τὸ τοῦ πνεύματος μετέδωκεν.*

8. *ὁ νόμος*] *Ὁ νόμος τῆς χάριτος, ὃν αὐτὸς ὁ Χριστὸς ἐκήρυξε· μετανοεῖτε, ἤγγικε γὰρ ἡ βασιλεία τῶν οὐρανῶν.*

ἡ μαρτυρία] *Ἣν αὐτὸς μαρτύρεται λέγων· δεῦτε πρός με πάντες οἱ κοπιῶντες καὶ πεφορτισμένοι, κἀγὼ ἀναπαύσω ὑμᾶς. ἐν τούτῳ γὰρ ὁ νηπιώδης λαὸς ἀνδρεῖον φρόνημα ἀναλαμβάνει.*

9. *τὰ δικαιώματα*] *Πάντα γὰρ τὰ μυστήρια, ὅσα παρέδωκε τοῖς πιστοῖς ὁ Χριστός, δικαιώματα τυγχάνουσιν· ἐν αὐτοῖς γὰρ (δὲ) αἱ καρδίαι εὐφραίνονται τῶν κατὰ θεὸν ἀγωνιζομένων.*

ἡ ἐντολή] Ἡ λέγουσα· οὐ μοιχεύσεις, οὐ κλέψεις καὶ τὰ ἑξῆς· αὕτη γὰρ φανερῶς ἐλέχθη καὶ φωτίζει τοὺς ὑπακούοντας.

10. ὁ φόβος] Πάντες γάρ, ὅσοι φόβῳ θεοῦ ἄγονται, τούτων ὁ μισθὸς μένει εἰς τὸν αἰῶνα. ὁ γὰρ φόβος τοῦ θεοῦ σώζει τὸν ἄνθρωπον.[1]

τὰ κρίματα] Πάντες γὰρ οἱ λόγοι κυρίου ἀληθινοὶ καὶ δίκαιοι· οὐδὲν γὰρ ἄκριτον παρὰ τῷ θεῷ ὡς δικαιοῦντι.

11. ἐπιθυμητά] Οὐδὲν γὰρ χρυσὸς ἢ λίθοι τίμιοι ὠφελοῦσι τὸν ἄνθρωπον, ὡς οἱ λόγοι τοῦ θεοῦ καὶ αἱ ἐντολαί. τούτων δὲ ἕκαστος τῶν πιστῶν ἐπιθυμεῖ καὶ σπεύδει ἀξιωθῆναι.

καὶ γλυκύτερα] Τοῦ γὰρ μέλιτος ἡ γλυκύτης πρόσκαιρος, ἡ δὲ τῶν λόγων τοῦ θεοῦ αἰώνιος.

12. καὶ γὰρ ὁ δοῦλος] Πάντες γὰρ οἱ ἐν ἀληθείᾳ δουλεύοντες τῷ θεῷ φυλάττουσι τὰς ἐντολὰς αὐτοῦ, ὡς ὁ Χριστὸς ὡς υἱὸς τοῦ πατρὸς τὰς ἐντολάς· οὐκ ἦλθον γάρ, φησίν, ἵνα ποιῶ τὸ θέλημα τὸ ἐμόν, ἀλλὰ τὸ θέλημα τοῦ πέμψαντός με πατρός.

ἐν τῷ φυλάσσειν] Οὐδὲ γὰρ μέτρῳ ὑποβάλλεται, ὅσα ἡτοίμασεν ὁ θεὸς τοῖς φυλάσσουσι τὰς ἐντολὰς αὐτοῦ.

13. παραπτώματα] Ὅσα γὰρ ἁμαρτάνει ὁ ἄνθρωπος, τίς γινώσκει, εἰ μὴ μόνος ὁ θεὸς ὡς καρδιογνώστης.

ἐκ τῶν κρυφίων] Ἐκ πάντων, φησίν, ὧν ἡ καρδία τίκτει καὶ οἱ λογισμοί· αὐτὸς γὰρ γινώσκεις, ἐκ τούτων με καθάρισον.

14. καὶ ἀπὸ ἀλλοτρίων] Τῶν ἐξ ἁρπαγῆς καὶ πλεονεξίας· ταῦτα γὰρ ἀλλότρια τυγχάνουσι. ταῦτα δὲ μισεῖ ὁ θεός [καὶ οἱ τῷ θεῷ δουλεύοντες].

ἐὰν μή μου] Ὁ κατὰ θεὸν ἄνθρωπος φησίν· ὅταν αὐτά με μὴ νικήσωσι, τότε ἐλπίδα ζωῆς ἀπεκδέχομαι.

καὶ καθαρισθήσομαι] Οὔτε γάρ ἐστιν ἁμαρτία ἄλλη τοιαύτη, ὡς τὸ τῶν ἀλλοτρίων ἐρᾶν.

15. καὶ ἔσονται] Ὅταν γὰρ τούτων καθαρεύῃ ὁ ἄνθρωπος, τότε ἀκουστὴ τῷ θεῷ γίνεται ἡ εὐχὴ αὐτοῦ.

καὶ ἡ μελέτη] Ὁ γὰρ οὕτως ἀγωνιζόμενος, τούτου ἕτοιμος ἡ καρδία ἐνώπιον τοῦ θεοῦ τῇ μελέτῃ τοῦ νόμου.

κύριε, βοηθέ μου] Ὅταν γὰρ πάντων τῶν ἀτόπων καθαρισθῇ (καθαρεύῃ) ὁ ἄνθρωπος, τότε καὶ βοηθείας καὶ λυτρώσεως ἀξιοῦται.

XIX.

Εἰς τὸ τέλος] Ἐλέχθη ἡ προφητεία περὶ τῶν μυστηρίων τοῦ Χριστοῦ, τῶν μελλόντων ἐπιτελεῖσθαι.

2. ἐπακούσαι] Λέγει περὶ τοῦ

[1] Hic versiculus abest in Ven. N., et in slav. interpretatione; in A. concord. cum V.

Ἀδάμ, ὅτι ἔθλιψαν αὐτὸν οἱ δαίμονες· πληροῖ δὲ ταῦτα (αὐτὰ, αὐτοὺς) ὁ Χριστὸς ἐπὶ τοῦ σταυροῦ.

ὑπερασπίσαι] Καὶ τοῦτο ὁ Χριστός, ὡς ὁ παῖς Ἰακώβου λεγόμενος· αὐτὸς γὰρ μόνος ὑπερασπιστὴρ ὡς θεὸς τοῦ ἀνθρώπου γεγένηται.

3. ἐξαποστείλαι] Ὁ πατὴρ τὸν υἱὸν ἐξ οὐρανῶν ἐξ ἁγίων κατοικητηρίων πέμψας βοήθειαν τῷ γένει τῶν ἀνθρώπων.

καὶ ἐκ Σιών] Ἐξ οὐρανοῦ τουτέστιν.

4. μνησθείη] Τὴν θυσίαν λέγει, ἣν ἐν τῷ σταυρῷ ὡλοκαύτωσεν ὁ κύριος [ὑπὲρ τοῦ ἀνθρώπου, ἐπιάνθη δέ], τουτέστιν τῷ αἵματι τοῦ Χριστοῦ πολλῶν σωζομένων.

Διάψαλμα· ἐναλλαγὴ τῆς προφητείας.

5. δώη σοι] Τῷ κυριακῷ ἀνθρώπῳ ἡ θεότης, [τοῖς πιστοῖς ἡ χάρις τοῦ ἁγίου πνεύματος].

καὶ πᾶσαν τὴν βουλήν] Ἣν ἐβουλεύσατο ὁ θεὸς λόγος περὶ τοῦ ἀνθρώπου.

6. ἀγαλλιασώμεθα] Οἱ ἄνθρωποι ἐπὶ τῇ σωτηρίᾳ, τῇ πραχθείσῃ ἐπὶ τοῦ σταυροῦ.

καὶ ἐν ὀνόματι] Ἡ ἀνθρωπότης, μεγαλοποιηθεῖσα κατὰ πάσης δυνάμεως τοῦ ἐχθροῦ, καὶ τὴν ἀπαρχὴν εἰς οὐρανοὺς πέμψασα.

πληρώσαι] Τοῦ κατὰ θεὸν ἀγωνιζομένου· θέλημα γὰρ [κύριος] τῶν φοβουμένων αὐτὸν ποιήσει.

7. νῦν ἔγνων] Χριστὸν λέγει, ὅτι ἔχρισε τῷ πνεύματι τῷ ἁγίῳ· τὸ αὐτὸ δὲ καὶ ὁ ἄνθρωπος χριόμενος (κεχρισμένος) τῷ χρίσματι [τῆς ἁγίας τουτέστι] τοῦ βαπτίσματος σώζεται.

ἐπακούσεται] Ὁ οὐρανὸς τὸ σῶμα τὸ δεσποτικόν, ὡς ἐν αὐτῷ οἰκούσης τῆς θεότητος. διὰ γὰρ τῆς ἐνσάρκου παρουσίας ἐπακούσας ἔσωσε τὸν ἄνθρωπον.

ἐν δυναστείαις] Μετὰ γὰρ δυνάμεως πολλῆς τῆς δεξιᾶς αὐτοῦ εἰργάσατο τὴν σωτηρίαν τοῦ ἀνθρώπου.

8. οὗτοι ἐν ἅρμασιν] Οἱ δαίμονες ἐν ἅρμασι, ὡς μετάρσιοι ὄντες· οἱ Ἰουδαῖοι πάλιν καὶ αὐτοὶ ἐν ἵπποις διὰ τὸ ἀκατάσχετον τῆς γνώμης· ὡς ἵπποι γὰρ ἐμμανεῖς ἐχρεμέτιζον κατὰ τοῦ σωτῆρος.

ἡμεῖς δὲ ἐν ὀνόματι] Πάντες, ὅσοι τῷ ὀνόματι Χριστοῦ καὶ θεοῦ ἐσφραγίσθημεν, ἐπικαλούμεθα ἐν ἀληθείᾳ.

9. αὐτοὶ συνεποδίσθησαν] Οἱ δαίμονες καὶ ὅσοι τούτοις ὑπακούουσιν.

ἡμεῖς δὲ ἀνέστημεν] Ὅσοι τῷ θεῷ (Χριστῷ) συνετάξαντο καὶ ἀπετάξαντο τοῖς δαίμοσιν.

10. κύριε, σῶσον] Τουτέστιν σῶσον ἡμῖν τὸ ἀξίωμα τοῦ βασιλέως Χριστοῦ τὸ λέγεσθαι χριστιανούς.

XX.

Εἰς τὸ τέλος] *Τῶν ἐπὶ τέλει μυστηρίων μελλόντων τελεῖσθαι εἰς τὸν ἄνθρωπον ἀπὸ (ὑπὸ) τοῦ Χριστοῦ ἡ προφητεία τοῦ ψαλμοῦ προεκηρύχθη.*

2. *κύριε, ἐν τῇ δυνάμει*] *Ὁ Χριστὸς ἐν τῇ δυνάμει τοῦ πατρός· Χριστὸς γὰρ θεοῦ δύναμις καὶ θεοῦ σοφία, φησὶν ὁ ἀπόστολος. εὐφραίνονται δὲ καὶ οἱ ἐπὶ γῆς βασιλεῖς, ὅταν δυνάμει Χριστοῦ κατορθῶσι τὰ τῆς βασιλείας.*

καὶ ἐπὶ τῷ σωτηρίῳ] *Ὁ Χριστὸς καὶ τοῦτο· σφόδρα γὰρ ἠγαλλιάσατο ἐπὶ τῇ σωτηρίᾳ, τῇ γενομένῃ τοῦ ἀνθρώπου, ἣν ἔπραξεν αὐτὸς θελήσας.*

3. *τὴν ἐπιθυμίαν*] *Τῷ Χριστῷ καὶ τοῦτο· θελήματι γὰρ τῷ ἰδίῳ καὶ ὡς εἰπεῖν ἐπιθυμίᾳ ἔσπευσεν εἰς ἀναζήτησιν τοῦ ἀνθρώπου.*

καὶ τὴν δέησιν] *Καὶ τοῦτο ὁ Χριστός· ἡνίκα περὶ τῶν ἀποστόλων ηὔχετο πρὸς τὸν πατέρα λέγων· πάτερ, ἁγίασον αὐτοὺς ἐν τῷ ὀνόματί σου.*

4. *ὅτι προέφθασας*] *Πρὸ γὰρ πάντων τῶν αἰώνων ἦν ὁ υἱός, ἐν τῇ δόξῃ τοῦ πατρὸς ἡγιασμένος.*

ἔθηκας] *Καὶ τοῦτο ὁ Χριστός· δόξῃ καὶ τιμῇ ἐστεφάνωσας (-σεν) αὐτόν. λέγει δὲ καὶ τὸν ἄνθρωπον τὸν κυριακόν, ἐστεφανωμένον τῇ θεότητι [ὅ ἐστι ὁ τίμιος λίθος].*

5. *ζωὴν ᾐτήσατο*] *Συνήγειρε γὰρ καὶ συνεκάθισεν ἐν τοῖς ἐπουρανίοις τὸν ἄνθρωπον, ὥστε λοιπὸν ζῆν εἰς αἰῶνα αἰῶνος.*

6. *μεγάλη ἡ δόξα*] [*Τοῦ ἀνθρώπου τοῦ κυριακοῦ*]· *μεγάλῃ γὰρ δόξῃ ἐδοξάσθη τῷ (τὸ) συγκαθῆσθαι τῷ θεῷ.*

δόξαν] *Τὴν χάριν καὶ τὴν σφραγῖδα τοῦ βαπτίσματος·*[1] *οὕτως γὰρ μεγαλοπρεπὴς ἐπὶ πάσῃ τῇ κτίσει [ἀνεδείχθη] ὁ ἄνθρωπος.*

7. *ὅτι δώσεις*] *Τὸ σῶμα καὶ τὸ αἷμα Χριστοῦ, δι' οὗ τρέφεται καὶ σώζεται ὁ πιστὸς ἄνθρωπος εἰς τὸν αἰῶνα.*

εὐφρανεῖς] *Εὐφροσύνη γὰρ μεγάλη τῷ ἀνθρώπῳ τὸ συνεῖναι θεῷ.*

8. *ὅτι ὁ βασιλεύς*] *Ὁ Χριστός, ὡς βασιλεὺς πρὸς ἀλήθειαν, τῆς πρὸς τὸν πατέρα ἀγάπης ἀχώριστος ὤν, οὐκ ἐσαλεύθη.*

ἐν τῷ ἐλέει] *Τουτέστιν οὐ μετεμελήθη ἐλεήσας (-ῆσαι) τὸν ἄνθρωπον.*

9. *εὑρεθείη*] *Τοῖς Ἰουδαίοις εὔδηλον· οὗτοι γὰρ ἐχθροὶ τοῦ Χριστοῦ, οὗτοι (αὐτοὶ) δὲ ἔπεσαν ὑπὸ τὴν ἀπόφασιν, ὅ ἐστι χεὶρ θεοῦ.*

ἡ δεξιά σου] *Ἰουδαίων παῖδες ὡσαύτως· καταφρονήσαντες γὰρ τῆς δεξιᾶς τοῦ Χριστοῦ, ὑπὸ ταύτης ἐλικμήθησαν.*

10. *θήσεις αὐτούς*] *Ἐν τῷ καιρῷ γὰρ τῶν σημείων τοῦ Χριστοῦ οἱ*

---

[1] V.: *Τὴν δόξαν καὶ τὴν χαρὰν καὶ τὴν σφραγῖδα τοῦ βαπτ.*

Ἰουδαῖοι τῷ φθόνῳ καὶ τῷ ζήλῳ ὡς κλίβανος ἀνήφθησαν. λέγει δὲ καὶ τὸν καιρὸν τῆς συντελείας.

κύριε, ἐν ὀργῇ] Τὸ πῦρ γὰρ αὐτῶν οὐ σβεσθήσεται, φησὶν Ἠσαίας. τότε γὰρ μετ' ὀργῆς πρὸς αὐτοὺς ἐλεύσεται. τότε. πότε; ἐν τῇ συντελείᾳ.

11. τὸν καρπόν] Διὰ γὰρ τῆς ἀναστάσεως ὁ Χριστὸς κατήργησεν ἀπ' αὐτῶν ἀπαρχὰς καὶ προσφορὰς καὶ νεομηνίας καὶ θυσίας.

καὶ τὸ σπέρμα] Ἀπὸ πάντων γὰρ υἱῶν ἀνθρώπων βδελυκτοὶ καὶ μισητοὶ γεγόνασιν οἱ Ἰουδαῖοι, ἐπειδὴ κατὰ θεοῦ τὰς χεῖρας ἐπῆραν.

12. ὅτι ἔκλιναν] Πονηρὰ λογισάμενοι (πονηρὸν λογισμὸν λογισάμενοι) κατὰ τοῦ Χριστοῦ καὶ θεοῦ αὐτῶν· πότε γὰρ κατὰ θεοῦ βουλευόμενός τις ὑποστῆναι δύναται (δυνήσεται);

διελογίσαντο] ὡς Ἰουδαῖοι ἐβουλεύσαντο θανατῶσαι τὸν ἀθάνατον· ἡ δὲ βουλὴ αὐτῶν οὐχ ὑπέστη.

13. ὅτι θήσεις] Ὥστε διώκεσθαι ὑπὸ πάντων.

ἐν τοῖς περιλοίποις] Ὥστε κατὰ γενεὰν καὶ γενεὰν τοῖς γεννωμένοις (γενομένοις) τὰ πρόσωπα αὐτῶν πλήρη ἀτιμίας θεωρεῖσθαι.

14. ὑψώθητι] Λέγει τὴν εἰς οὐρανοὺς αὐτοῦ ἀνάληψιν.

ᾄσομεν] Ἀφ' οὗ γὰρ ἀνέστη καὶ εἰς οὐρανοὺς ἀνέβη, οὐ παύονται οἱ πιστοὶ ᾄδειν καὶ δοξάζειν τὰς δυναστείας τοῦ Χριστοῦ καὶ τὰ μεγαλεῖα, ἃ ἐποίησεν ἡμῖν.

XXI.

Εἰς τὸ τέλος ὑπὲρ τῆς ἀντιλήψεως (ἀναλήψεως)] Περὶ τῆς ἀναστάσεως τοῦ Χριστοῦ ἡ ἐπιγραφὴ τοῦ ψαλμοῦ σημαίνει· ὄρθρου γὰρ ἡ ἀνάστασις τοῦ Χριστοῦ καὶ ἡ ἀντίληψις ἐγένετο τῆς τῶν ἀνθρώπων φύσεως. ὅλος γὰρ ὁ ψαλμὸς περὶ παθῶν Χριστοῦ καὶ τῆς ἐκλογῆς ἐθνῶν κεῖται.

2. ὁ θεὸς ὁ θεός μου] Ὁ Χριστὸς ἐπὶ τοῦ σταυροῦ οὕτως ἀνεφώνησεν διὰ τὴν τοῦ ἀνθρώπου σωτηρίαν καὶ ἵνα βεβαιώσῃ τὴν ἐνανθρώπησιν.

μακρὰν ἀπὸ τῆς σωτηρίας] Ὡς γὰρ ἐν παραπτώματι ὤν, ἀνέβη ἐπὶ τοῦ σταυροῦ (τὸν σταυρὸν) διὰ τὴν σωτηρίαν τοῦ ἀνθρώπου. καὶ ἐφθεγγόμην ταπεινά, φησὶν ὁ Χριστός, ἀλλ' οἱ λόγοι τῆς ταπεινώσεως μακρὰν ἦσαν τῆς περιφανεστάτης θεότητος.

3. ὁ θεός μου] Ἕκτῃ γὰρ ὥρᾳ ἀνέβη ἐπὶ τοῦ σταυροῦ ὁ σωτὴρ καὶ ἐβόησεν· ἐλωεί, ἐλωεί. τὸ δὲ ‚οὐκ εἰσακούσῃ', ὅτι οὐκ ἠδύνατο μὴ ταραχθῆναι τὸ μυστήριον.

καὶ νυκτός] Νυκτὸς γὰρ ἐπὶ τοῦ Πιλάτου κατεκρίθη· ἀνάγκη γὰρ ἦν τὰ ἔργα σκότους ἐν σκότει

πράττειν.[1] τὸ δὲ ‚οὐκ εἰς ἄνοιαν ἐμοί', ὅτι, φησί, τὰ ἐν ἐμοὶ πραττόμενα οὐκ ἠδύνατο πράττεσθαι ἐν ἄλλῳ τινί.

4. σὺ δὲ ἐν ἁγίοις] Τουτέστιν εἰ καὶ κάτω διὰ τὴν πρὸς ἡμᾶς συγκατάβασιν ἐθεωρεῖτο, ἀλλὰ τῶν κόλπων τοῦ πατρὸς ἀχώριστος ἦν καὶ τοῦ θρόνου οὐκ ἀπελείφθη· τύπος δὲ ἦν τοῦ σωζομένου λαοῦ, ὅ ἐστιν Ἰσραήλ.

5. ἐπὶ σοὶ ἤλπισαν] Οἱ περὶ τῶν Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακὼβ ὡς θεοῦ ὑπάρχοντες ἄνθρωποι.

ἤλπισαν] Οὗτοι γὰρ ὁλοψύχως ἔχοντες τὴν ἐλπίδα πρὸς θεὸν ἐρρύσθησαν τῆς πρὸς θεὸν ἀντιλογίας.

6. πρὸς σὲ ἐκέκραξαν] Ἐν πάσῃ γὰρ δεήσει αὐτῶν οὐ παρήκουσεν αὐτῶν ὁ θεός.

ἐπὶ σοὶ ἤλπισαν] Τὰ ἔθνη γὰρ ἐπιστρέψαντα τῆς αἰσχύνης τῶν εἰδώλων ἀπηλλάγησαν.

7. ἐγὼ δέ εἰμι] Ὁ Χριστὸς ὡς δίχα σπορᾶς γεννηθείς· ὁ (ὡς) σκώληξ γὰρ δίχα σπορᾶς αὐτοφυὴς τίκτεται. ἄλλως τε δὲ καὶ τὸ ῥυπαρόν, ὅτι τὸν Ἀδὰμ ῥυπωθέντα [ἀνεδέξατο καὶ] ἐνεδύσατο.

ὄνειδος ἀνθρώπου] Ὠνείδιζον γὰρ αὐτὸν οἱ ὄχλοι λέγοντες· ἄλλους ἔσωσεν, ἑαυτὸν οὐ δύναται σῶσαι. ἐξουδένουν δὲ λέγοντες· ἄφες ἴδωμεν, εἰ ἔρχεται Ἠλίας σώσων αὐτόν.

8. πάντες οἱ θεωροῦντες] Οἱ Ἰουδαῖοι λέγοντες· ὁ καταλύων τὸν ναὸν καὶ ἐν τρισὶν ἡμέραις οἰκοδομῶν, σῶσον σεαυτόν.

ἐλάλησαν] Οὐ μόνον τοῖς χείλεσιν ἐλοιδόρουν, ἀλλὰ καὶ τὰς κεφαλὰς ἔσειον, σφοδροτέραν (-ον) δεικνύοντες τὴν βλασφημίαν.

9. ἤλπισεν] Κατεγέλων γὰρ αὐτοῦ (-τόν), ὅτι ἔλεγεν, ὅτι υἱὸς θεοῦ εἰμι (ἑαυτὸν υἱὸν θεοῦ).

10. ὅτι σὺ εἶ] Εὐδοκίᾳ γὰρ πατρὸς ἐν γαστρὶ γυναικὸς ἐγένετο ὁ υἱός.

ἡ ἐλπίς μου] Ἐθήλασε γὰρ μασθοὺς ὁ τὰς πηγὰς τοῦ γάλακτος τεκταινόμενος.

11. ἐπὶ σὲ ἐπερίφην] Καὶ γὰρ ἐν τῇ μήτρᾳ ὢν τῆς παρθένου (τῆς γυναικός), τοῦ πατρὸς ἀχώριστος ἦν.

ἐκ κοιλίας] Ἐν τῇ κοιλίᾳ γὰρ τῆς παρθένου οἰκήσας ηὐδόκησεν (εὐδοκήσας οἰκῆσαι) ὁ θεὸς λόγος· πατὴρ αὐτοῦ ἐπὶ γῇ (γῆς) οὐχ εὑρίσκετο, ἀλλ' ὁ πατὴρ ἦν ἐν οὐρανοῖς.

μὴ ἀποστῇς] Τουτέστιν ἐγγίζουσιν τὰ πάθη.

12. ὅτι οὐκ ἔστιν] Οὔτε γὰρ ἔχρῃζε βοηθείας ὡς θεὸς καὶ πάντων βοηθός.[2]

13. περιεκύκλωσαν] Οἱ Ἰουδαίων παῖδες· μόσχοι δὲ, ὡς νεωτερικὸν φρόνημα ἀναλαβόντες, τουτέστιν ἀσύνετον.

---

[1] Codex V. praebet haec: ἀνάγκη γὰρ ὢν τὰ ἔργα σκότος ἐν σκότει πράττειν, sed lectio recepta slavicam versionem prae se fert.

[2] Ven.: τίς γὰρ βοηθήσει τῷ βοηθοῦντι πᾶσι θεῷ; sed. Nan. A. conv. cum V.

ταῦροι πίονες] *Οἱ τῶν Ἰουδαίων ἄρχοντες, πίονες ὡς πλούσιοι καὶ δυνατοί.*

14. ἤνοιξαν] *Καλοῦντες (λαλοῦντες) κατὰ τοῦ Χριστοῦ ψευδῆ.*

ὡς λέων] *Ἔβρυχον γὰρ τοὺς ὀδόντας αὐτῶν κατὰ τοῦ Χριστοῦ (κυρίου) καὶ ὠρύοντο, τουτέστιν μεγάλα (μεγάλῃ φωνῇ) κράζοντες.*

15. ὡσεὶ ὕδωρ] *Ὅταν γὰρ ὕδωρ ἐκχυθῇ, συναχθῆναι οὐκέτι δύναται. οὕτως οἱ Ἰουδαῖοι ἐσκορπίσθησαν ἐκ (ἀπὸ) προσώπου Χριστοῦ (κυρίου)· ὀστᾶ γὰρ θεοῦ οὗτοι. λέγει γὰρ πρὸς αὐτούς· σὰρξ μού ἐστε ὑμεῖς.*

ἐγενήθη ἡ καρδία] *Καὶ τοῦτο οἱ Ἰουδαῖοι· ὡς σὰρξ γὰρ καὶ καρδία πάντων (πάντως) ἐτύγχανον. ἐτάκησαν δὲ οὗτοι τῷ φθόνῳ ὡς κηρὸς ἀπὸ προσώπου πυρός.*

16. ἐξηράνθη] *Καὶ τοῦτο Ἰουδαῖοι, ὡς λαὸς θεοῦ ὄντες καὶ ἰσχύς· ἐξηράνθησαν δὲ ὡς ὄστρακον, μὴ πιανθέντες [τῇ χάριτι ἤγουν] τῷ ὕδατι (τοῦ ὕδατος) τοῦ βαπτίσματος [διὰ ἀπιστίαν].*

καὶ ἡ γλῶσσα] *Ἐρωτώμενος γὰρ ὁ κύριος ὑπὸ τοῦ Πιλάτου οὐκ ἀπεκρίνατο, ἀλλ' ἐσιώπα.*

καὶ εἰς χοῦν] *Ἐλογίσατο γὰρ αὐτὸν ὁ Πιλᾶτος, ὡς θνητὸν ἄνθρωπον. διὸ λέγει· ἐξουσίαν ἔχω σταυρῶσαί σε καὶ ἐξουσίαν ἔχω ἀπολῦσαί σε.*

17. ὅτι ἐκύκλωσαν] *Ὡς κύνες γὰρ ἐχάλασαν Ἰουδαῖοι τὰς γλώσσας αὐτῶν κατὰ τοῦ Χριστοῦ.*

συναγωγή] *Ἡ ἄθεσμος ἰουδαικὴ ἀπιστία.*

ὤρυξαν] *Ὅταν τοῖς ἥλοις [ἐπὶ τοῦ σταυροῦ] κατεκέντησαν τὰς χεῖρας καὶ τοὺς πόδας τοῦ Χριστοῦ (κυρίου).*

18. ἐξηρίθμησαν] *Δῆλον σὺν τῇ σαρκὶ καὶ τὰ ὀστᾶ συμπερονήσαντες.*

αὐτοὶ δέ] *Ἵσταντο (ἦσαν) γὰρ θεωροῦντες αὐτὸν ἐπὶ τοῦ σταυροῦ, τί ἂν γένοιτο.*

19. διεμερίσαντο] *Οἱ στρατιῶται, ὅταν ἐποίησαν αὐτὰ τέσσαρα μέρη, ἑκάστῳ στρατιώτῃ μέρος.*

καὶ ἐπὶ τὸν ἱματισμόν] *Σχίσαι γὰρ τὸν χιτῶνα οὐκ ἤθελον, ἀλλὰ κλῆρον ἐπέβαλον, τίνα (τίνι) λάχοι.*

20. σὺ δέ, κύριε] *Οὔτε γὰρ μακράν, ἐγγὺς δὲ ἐγένετο ἀνάστασις· αὕτη γὰρ βοήθεια ἐγένετο τῶν πιστῶν.*

εἰς τὴν ἀντίληψιν] *Περὶ τοῦ κυριακοῦ ἀνθρώπου λέγει, ὅτι ἀνέστη σὺν τῇ θεότητι.*

21. ῥῦσαι ἀπὸ ῥομφαίας] *Ὁ Ἀδὰμ φησί· ῥῦσαί με ἀπὸ τῆς δυνάμεως (δυναστείας) τοῦ ἐχθροῦ· ῥομφαία γὰρ δύναμις ἑρμηνεύεται.*

καὶ ἐκ χειρός] *Κύνα λέγει (καλεῖ) τὸν διάβολον, ὡς ἀναιδῆ, ὡς βδελυκτόν· μονογενῆ δὲ λέγει τὴν ψυχήν. χεὶρ δὲ τοῦ διαβόλου ἐστὶν ἡ ἁμαρτία.*

22. σῶσόν με] *Λέοντα καλεῖ τὸν θάνατον, ὡς κατὰ πάντα (πάντων) δυναστεύοντα· ἐδόκει γὰρ ὡς ἄνθρωπον θνητὸν καταπιεῖν (-πίνειν) τὸν Χριστόν.*

καὶ ἀπὸ κεράτων] Τὰ βασίλεια λέγει τοῦ ᾅδου· κέρας γὰρ πανταχοῦ ἡ γραφὴ τὰ βασίλεια καλεῖ. μονόκερως δὲ ὡς μονοειδὴς ὁ ᾅδης. εἰς οὖν (ὡς οὖν εἰς) τὸ στόμα τοῦ ᾅδου (θανάτου) εἰσελθὼν καὶ εἰς τὰ βασίλεια τοῦ ᾅδου χωρήσας καὶ ταῦτα καταργήσας, διὰ τοῦτο εἶπε· κεράτων μονοκερώτων.

23. διηγήσομαι] Ὅταν τὰ τοῦ πατρὸς τοῖς ἀποστόλοις ἐξηγήσατο (ἐξηγεῖτο) μυστήρια.

ἐν μέσῳ ἐκκλησίας] Ὡς αὐτὸς τὴν ἐκκλησίαν οἰκοδομήσας καὶ ἐν αὐτῇ δοξαζόμενος.

24. οἱ φοβούμενοι] Λέγει τοὺς ἀποστόλους καὶ ὅσοι δι' αὐτῶν ἐσώθησαν.

ἅπαν τὸ σπέρμα] Ὁ πιστὸς λαός, ὡς ἐξ ἐθνῶν, ὡς τέκνα Χριστοῦ γενόμενοι· Ἰακὼβ γὰρ πανταχοῦ ὁ Χριστὸς ἑρμηνεύεται.

φωβηθήτωσαν] Ὁμοίως ὁ πιστὸς λαός· Ἰσραὴλ γὰρ ὁρατὸς θεοῦ ἑρμηνεύεται. οἱ πιστοὶ δὲ ὁρῶσι τὸν θεὸν διὰ μυσταγωγίας.

25. ὅτι οὐκ ἐξουδένωσεν] Οὔτε γὰρ ἐβδελύξατο οὔτε ἐμίσησε τὸν ἐξ ἐθνῶν λαόν, ὡς πτωχεύσαντα (πτωχοὺς) ἀπὸ θεογνωσίας ἢ ῥυπαινόμενον (ῥυπαίνοντα) ἀπὸ τῶν εἰδώλων, ἀλλὰ προσεκαλέσατο.[1]

οὐδὲ ἀπέστρεψεν] Τοῦ λαοῦ, τοῦ ἐξ ἐθνῶν (τῶν ἐθνῶν)· θέλων γὰρ αὐτὸν καὶ προώρισε καὶ ἐξελέξατο (προεξελέξατο) ἑαυτῷ (αὐτόν).

καὶ ἐν τῷ κεκραγέναι] Πρὸς αὐτὸν γὰρ εἴρηται· ἔτι λαλοῦντός σου πρός με πάρειμι.

26. παρὰ σοῦ ὁ ἔπαινος] Ἐν τῇ ἡμέρᾳ ἐκείνῃ· μεγάλη γὰρ καὶ παγκόσμιος τότε ἐκκλησία, ἐν ᾗ τὸν ἔπαινον ἀπολαμβάνουσιν οἱ καλῶς βεβιωκότες.

τὰς εὐχάς μου] Ἡνίκα τοὺς ἀποστόλους ἐδίδασκε ὁ Χριστὸς λέγων· ὅταν προσεύχησθε, οὕτως λέγετε.

27. φάγονται πένητες] Τὸν μυστικὸν ἄρτον οἱ πιστοί.

καὶ αἰνέσουσιν] Μετὰ γὰρ αἰνέσεως καὶ εὐχῆς ἐσθίονται (-ετε) τὰ μυστήρια (μυστικά).

ζήσονται] Οἱ γὰρ ἐξ αὐτῶν τρεφόμενοι τῶν μυστικῶν εἰς αἰῶνας ζῶσιν.

28. μνησθήσονται] Ἐν ὑπομονῇ (ὑπομνήσει) γὰρ καὶ ἐν ἀκοῇ (-αῖς) λαμβάνοντα τὰ ἔθνη τὸ πάθος καὶ τὴν ἀνάστασιν τοῦ Χριστοῦ σπεύδουσι πρὸς ἐπιστροφήν.

καὶ προσκυνήσουσι] Ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως· τότε γὰρ πᾶν γένος ἐθνῶν, καὶ σεβομένων καὶ μὴ σεβομένων, ὑποτάσσεται καὶ προσκυνεῖ καὶ προσανάκειται (πρὸς ἀνάγκην).

29. ὅτι τοῦ κυρίου] Τότε γὰρ παρὰ πάσης πνοῆς γνωρίζεται ὑπὸ πάντων καὶ βασιλεὺς καὶ δεσπότης.

30. ἔφαγον καὶ προσεκύνησαν] Πάντες γὰρ οἱ βασιλεῖς καὶ αἱ ἐξουσίαι καὶ οἱ ἐν δυναστείᾳ· οὗτοι

[1] V. ad. καὶ οὐκ ἀπέστρεψε τὸ πρόσωπον αὐτοῦ; A. add. etiam ἀπ' ἐμοῦ. Totum hoc additamentum abest in Ven. Nan.

γάρ εἰσιν οἱ πίονες, καὶ ἀπολαύουσι τῶν μυστικῶν προσκυνοῦντες.

ἐνώπιον αὐτοῦ] *Οἱ θνήσκοντες δηλαδή.*

καὶ ἡ ψυχή μου] *Ἡ τοῦ Χριστοῦ (κυρίου)· αὕτη γὰρ ζῶσα καὶ νικήσασα ἀνέβαινεν ἐκ τῶν νεκρῶν καὶ αἱ λοιπαὶ ψυχαὶ ἠκολούθουν αὐτῇ (αὐτῷ).*

31. καὶ τὸ σπέρμα] *Σπέρμα γὰρ θεοῦ ἡ διαθήκη (διδαχὴ) τοῦ θεοῦ, τουτέστιν ὁ λόγος τοῦ θεοῦ.*

ἀναγγελήσεται] *ἡ μέλλουσα, ἡ τῶν δικαίων.*

32. καὶ ἀναγγελοῦσιν] *Ἕκαστος τότε τῶν δικαίων ἀναγγελοῦσι, τουτέστιν ἐπιδείξουσι τὰ τῆς δικαιοσύνης ἔργα, παρρησιαζόμενοι ἐπὶ τοῦ θεοῦ.*

λαῷ] *Ὁ λαὸς γὰρ ἐκεῖνος, ὁ τῶν δικαίων, μετὰ τῶν ἀγγέλων (δικαίων) ὑμνοῦσιν εἰς αἰῶνα αἰῶνος.*

XXII.

Ψαλμὸς τῷ Δαυὶδ πρὸς νέου λαοῦ εἰσαγωγήν] *Ἡ προφητεία τοῦ ψαλμοῦ τούτου σημαίνει νέου λαοῦ εἰσαναγωγὴν διὰ τοῦ βαπτίσματος.*

1. Κύριος ποιμαίνει] *Τὸν πιστὸν λαὸν (ἄνθρωπον) λέγει· οὐχ ὑστέρησε γὰρ ὁ θεὸς τοὺς φοβουμένους αὐτὸν παντὸς ἀγαθοῦ. ἔστι δὲ ὁ ἐξ ἐθνῶν λαός.*

2. εἰς τόπον χλόης] *Εἰς τὰ τῶν [προφητῶν καὶ] εὐαγγελίων ῥήματα καὶ δόγματα προφητῶν καὶ ἀποστόλων· ἡ γὰρ ἀληθινὴ νομὴ τῶν πιστῶν αὕτη ἐστίν.*

ἐπὶ ὕδατος] *Ἐν τοῖς πνευματικοῖς ὕδασι τοῦ βαπτίσματος καὶ τοῖς δάκρυσι τῆς μετανοίας.*

3. τὴν ψυχήν] *Διὰ τῆς μετανοίας [καὶ] τοῦ βαπτίσματος.*

ὡδήγησέν με] *Ὥστε πορεύεσθαι ὁδοὺς εὐθείας καὶ μηκέτι τῇ πλάνῃ τῶν εἰδώλων ἐκπορνεύειν.*

ἕνεκεν τοῦ ὀνόματος] *Τουτέστιν ἐν τῷ ὀνόματι αὐτοῦ.*

4. ἐὰν γὰρ καὶ πορευθῶ] *Τουτέστιν εἰ καὶ ὁ θάνατος ἐπιλάβηται, οὐκ ἔστι φόβος.*

οὐ φοβηθήσομαι] *Ἡ γὰρ ἐλπὶς ἡμᾶς σώζει τῆς ἀναστάσεως.*

ἡ ῥάβδος] *Καὶ ῥάβδος καὶ βακτηρία τῶν πιστῶν ὁ σταυρός· δι' αὐτοῦ γὰρ στηρίζονται καὶ σώζονται.*[1]

5. ἡτοίμασας] *Τὴν μυστικὴν τράπεζαν δώσας (δηλώσας) ἐσθίειν τὸν ἄνθρωπον (τῷ ἀνθρώπῳ), ἵνα οἱ ἐχθροὶ ὁρῶντες τήκωνται.*

ἐλίπανας] *Τῷ χρίσματι (τὸ χρίσμα) τοῦ βαπτίσματος ἀσφαλισάμενος.*

---

[1] V.: *Ἐπειδὴ ὠλίσθησεν ὁ Ἀδὰμ τῆς ἁμαρτίας, δίκην ῥάβδου ἐπαιδεύθη καὶ ἀπέθανε. ἐπεὶ δὲ νεκρωθέντα τοῦτον ἐθεάσατο βακτηρία, δι' αὐτοῦ ἀνέστησε. τὸ γὰρ παρεκάλεσεν ἐσυμπάθησε λέγει. καὶ ἴδε τὴν φιλανθρωπίαν τοῦ δεσπότου· οὐ μόνον παρεκάλεσεν, ἀλλὰ καὶ τράπεζαν ἡτοίμασε τὸ σῶμα αὐτοῦ καὶ τὸ θεῖον αἷμα πρὸς ἔκπληξιν τῶν θλιψάντων αὐτοῦ τὸ πλάσμα. καὶ ῥάβδος κτλ.*

καὶ τὸ ποτήριον] Τὸ μυστικόν, ἐν ᾧ τὸ αἷμα τοῦ Χριστοῦ κιρνᾶται· μεθύσκον δέ, τουτέστιν εὐφραῖνον κραταιῶς.

6. καὶ τὸ ἔλεος] Ἀφ' οὗ γὰρ ἠλεήθη ὁ ἄνθρωπος, σφραγισθεὶς τῇ χάριτι, ἀφαιρεθῆναι ἀπ' αὐτοῦ οὐκέτι δύναται.

καὶ τὸ κατοικεῖν] Λέγει τὴν ἐκκλησίαν· ὁ γὰρ ἅπαξ σφραγισθεὶς ἐν αὐτῇ, μένει εἰς τὸν αἰῶνα.

XXIII.

Ψαλμὸς τῷ Δαυὶδ εἰς μίαν τῶν σαββάτων] Περὶ τῆς ἀναστάσεως λέγει ἡ προφητεία. τῇ γὰρ μιᾷ τῶν σαββάτων ἀνέστη ὁ κύριος [καὶ θεὸς ἡμῶν].

1. Τοῦ κυρίου ἡ γῆ] Αὐτὸς γὰρ δεσπότης τῆς γῆς καὶ πάντων τῶν κατοικούντων (ἐνοικούντων) ἐν αὐτῇ, ὡς κτίστης πάντων.

2. αὐτὸς ἐπὶ θαλασσῶν] Ἐπὶ τῆς αἰσθητῆς μὲν θαλάσσης ἥδρασται ἡ αἰσθητὴ γῆ· ἐπὶ δὲ τῆς νοητῆς, τουτέστιν ἐπὶ τοῦ βαπτίσματος, ἐθεμελιώθη ἡ νοητὴ γῆ, ὅ ἐστιν ὁ ἄνθρωπος.

καὶ ἐπὶ ποταμῶν] Τὴν νοητὴν γῆν τοῖς ποταμοῖς τῆς χάριτος καὶ τῶν δωρεῶν τοῦ πνεύματος τοῦ ἁγίου· δι' αὐτῶν γὰρ ἐκκαθαίρεται ὁ ἄνθρωπος. λέγει δὲ [καὶ] ποταμοὺς τὰ δάκρυα τῆς μετανοίας.

3. τίς ἀναβήσεται] Λέγει τὸν Χριστόν, ὅτι ἔμελλε σταυροῦσθαι ἐπὶ τὸ ὄρος τοῦ Γολγοθᾶ.

καὶ τίς στήσεται] Τόπος γὰρ ἅγιος [τὸ ὄρος τοῦ Γολγοθᾶ], ὡς ἐν αὐτῷ ἡ σωτηρία τοῦ γένους τῶν ἀνθρώπων πραχθεῖσα. Χριστοῦ δὲ οἱ πόδες ἔστησαν ἐπ' αὐτόν (ἐν αὐτῷ). διὸ λέγει· στήσομαι ἐπὶ τῆς πέτρας καὶ ἀποσκοπεύσω, τουτέστιν ἐπιβλέψω ἐπὶ τὰ ἔθνη καὶ ζητήσω τὸ ἀπολωλὸς καὶ πλανώμενον.

4. ἀθῷος χερσίν] Ὁ Χριστός· αὐτὸς γὰρ μόνος καθαρὸς καὶ ἀθῷος, ὡς ἀμιγὴς πάσης ἁμαρτίας καὶ δόλου.

ὃς οὐκ ἔλαβεν] Οὔτε γὰρ ἐπὶ ματαίῳ τὸν ἄνθρωπον ἔλαβεν (ἀνείληφεν), ἀλλ' ἐπὶ σωτηρίᾳ αἰωνίῳ (-ίᾳ).

καὶ οὐκ ὤμοσεν] Οὔτε γὰρ ὀμόσας τοῖς πατράσι καὶ τοῖς πατριάρχαις ἐψεύσατο αὐτούς· ὤμοσε γὰρ κύριος καὶ οὐ μεταμεληθήσεται (μετεμελήθη).

5. οὗτος λήψεται] Ὁ Χριστός. οὗτος γὰρ μόνος τῇ δόξῃ (παρὰ τῆς δόξης) τοῦ πατρὸς ἐμεγαλύνθη, καὶ τὴν ἀπ' αὐτοῦ ἐλεημοσύνην τῷ γένει τῶν ἀνθρώπων ἐχαρίσατο (παντὶ τῷ κόσμῳ ἐδωρήσατο).

6. αὕτη ἡ γενεά] Ἡ τοῦ Χριστοῦ· ὅσοι χριστιανοὶ λέγονται, οὗτοι [ἀεὶ] τὸν ἑαυτῶν [δεσπότην] ζητοῦντες οὐ παύονται.

ζητούντων] Τοῦ Χριστοῦ· Ἰακὼβ γὰρ ὁ παῖς μου, [ὃν ἐξελεξάμην,] φησὶν Ἠσαίας.

7. ἄρατε πύλας] Ἡνίκα κατῆλθεν εἰς τὸν ᾅδην ὁ θεὸς λόγος θελήματι ἰδίῳ, ἑωρακυῖαι αἱ δυνάμεις τοῦ ᾅδου τὴν ἄφραστον δύναμιν, ἔκραξαν ἑτέρα πρὸς ἑτέραν· ἄρατε πύλας, τουτέστι μὴ μόνον ἀνοίξατε, ἀλλὰ καὶ αὐτὰς τὰς πύλας ἐκ τοῦ μέσου ποιήσατε, μή τι πρὸς ὀργὴν κινήσητε (κινήσωμεν) τὸν ἐρχόμενον.

καὶ εἰσελεύσεται] [Τουτέστιν οὗτος βασιλεὺς τῆς δόξης].

8. τίς ἐστιν] Ἀποκρίνονται πάλιν αἱ ἔνδον (ἄνω) δυνάμεις· τίς ἐστιν ὁ βασιλεὺς τῆς δόξης; ἡμεῖς παντὸς τοῦ γένους κυριεύομεν, ἡμῶν εἰσιν (ἐστι) τὰ βασίλεια, καὶ τίς ἐστιν οὗτος;

κύριος κραταιός] Ἀποκρίνονται πάλιν [αἱ δυνάμεις] καὶ λέγουσι· ὁ θεός ἐστιν ὁ παραγενόμενος, δυνατὸς καὶ κραταιός· αὐτός ἐστιν ὁ βασιλεὺς τῆς δόξης.[1] ἡνίκα οὖν συντρίψας τὸν ᾅδην καὶ ἐλευθερώσας τὰς πολλῷ χρόνῳ κατεχομένας ψυχάς, ἀναλαβὼν τὸν ἄνθρωπον καὶ ἀναφέρων εἰς τὸν οὐρανόν, πάλιν αἱ θεῖαι δυνάμεις, ξενιζόμεναι τὸ καινὸν θέαμα, ἐβόων· ἄρατε πύλας.

9. ἄρατε πύλας] [Τουτέστιν ἀναπετάσατε οἱ οὐρανοὶ τοὺς καταράκτας ἐπὶ τῷ ξένῳ θεάματι].

καὶ εἰσελεύσεται] Ἀποκρίνονται αἱ δυνάμεις τῶν οὐρανῶν καὶ λέγουσι· καὶ τίς ἐστιν ὁ βασιλεὺς τῆς δόξης; λέγουσι πάλιν αἱ ἕτεραι δυνάμεις· ὁ μετὰ σαρκὸς θεὸς λόγος ἀναβαίνων, αὐτός ἐστιν ὁ βασιλεὺς τῆς δόξης.

10. τίς ἐστιν οὗτος] Λέγουσιν αἱ δυνάμεις· κύριος τῶν δυνάμεων, ὁ ἐπὶ θρόνου δόξης καθήμενος, ὁ υἱὸς τοῦ πατρός, ὁ πρὸ αἰώνων σὺν τῷ πατρὶ ὑπάρχων, οὗτος (αὐτὸς) κατελθὼν ἀνέλαβε τὸν ἄνθρωπον καὶ ἀναφέρει εἰς τὸν οὐρανόν· αὐτός ἐστιν ὁ βασιλεὺς τῆς δόξης. καὶ προσεκύνησαν αὐτῷ.[2]

---

[1] Quae sequuntur, e Ven. desumpta, V. persequitur sic: λέγουσι πάλιν αἱ ἕτεραι δυνάμεις· ὁ μετὰ σαρκὸς θεὸς λόγος ἀναβαίνων, αὐτός ἐστιν ὁ βασιλεὺς τῆς δόξης.

[2] Haec ad fidem cod. Ven. Nan. A., sed V. in fine psalmi sic: Καὶ φησὶν ὁ ᾅδης· τίς ἐστιν οὗτος ὁ βασιλεὺς τῆς δόξης; καὶ πάλιν αἱ ἄνω τάξεις ἔλεγον· κύριος τῶν δυνάμεων, αὐτός ἐστιν ὁ βασιλεὺς τῆς δόξης. ἀποκριθεὶς δὲ ὁ ᾅδης λέγει· καὶ εἰ τοιοῦτός ἐστι, τί κατέλιπε τὸν οὐρανὸν καὶ ἦλθε ὧδε; καὶ φασὶν αἱ ἄνω τάξεις· τὸν τῆς ἀνταρσίας καταδιώκων ἦλθε δῆσαι καὶ παραδοῦναί σοι καὶ ἀνακαλέσασθαι τοὺς αὐτοῦ στρατιώτας. καὶ ταῦτα ἀκούσας ὁ ᾅδης λέγει τῷ διαβόλῳ· τρικέφαλε Βεελζεβούλ, ἔκπτωμα τῶν ἀγγέλων, κατάγελως τῶν ἀνθρώπων, ἀσθενὴς καὶ ἀπάνθρωπε, ἔξελθε, εἰ δυνατὸς εἶ, καὶ ἀπάντησον αὐτῷ. ὁ δὲ διάβολος ἀπεκρίθη· ἐλέησόν με καὶ μὴ ἀνοίξῃς αὐτοῦ (αὐτῷ), ἐνίοτε ἀποστρέφεται. ταῦτα αὐτοῦ λέγοντος ἡ φωνὴ τοῦ πατρὸς ἐν τῷ ᾅδῃ λέγουσα· δεῦτε καὶ ἐξέλθατε. καὶ ἐλθὼν ὁ κύριος τὰς πύλας συνέτριψε καὶ τοὺς μοχλοὺς συνέθλασε, τὰς δυνάμεις τοῦ ᾅδου κατεπάτησεν. ὑπήντησαν αὐτῷ οἱ προφῆται χαίροντες ὁμοῦ καὶ λέγοντες· εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι κυρίου.

XXIV.

Ψαλμός] *Οὗτος ὁ ψαλμὸς προτρέπει πάντας εἰς (πρὸς) ἐξομολόγησιν καὶ εὐχὴν καὶ ὅπως ὁ κύριος διὰ τὸν ἄνθρωπον (τοῦ ἀνθρώπου) πάντα ποιεῖ.*

1. *Πρὸς σέ, κύριε*] *Ἐκ προσώπου τοῦ Ἀδὰμ ὁ Χριστὸς πρὸς τὸν πατέρα βοᾷ· διὰ τοῦτο ἦλθε σῶσαι τὸ πλανώμενον καὶ ἀπολωλὸς πρόβατον.*

2. *ὁ θεός μου*] *Ὁ ἄνθρωπος φησὶ πρὸς τὸν θεόν· μὴ ἐάσῃς με ἐν τῇ πλάνῃ τῶν εἰδώλων (δαιμόνων) καταισχύνεσθαι. προεώρα γὰρ ὁ προφήτης τὴν ἐνανθρώπησιν τοῦ κυρίου.*

μηδὲ καταγελασάτωσαν] *Πολλοὶ γάρ εἰσι οἱ δαίμονες καὶ πανταχοῦ περιτρέχοντες (περιτρέχουσι) τὸν ἄνθρωπον.*

3. *καὶ γὰρ πάντες*] *Πάντες γὰρ οἱ ἐν ὑπομονῇ κτησάμενοι τὰς ψυχὰς αὐτῶν οὐ καταισχύνονται.*

αἰσχυνθήτωσαν] *Οἱ δαίμονες, ὅτι κενῶς καὶ ματαίως τὸν ἄνθρωπον ἐσκέλισαν· ἐσώθη γάρ. ὡσαύτως καὶ οἱ Ἰουδαῖοι, οἵτινες εἰς κενὸν κατὰ τοῦ Χριστοῦ (κυρίου) ἐβουλεύσαντο.*

4. *τὰς ὁδούς σου*] *Ὁ ἄνθρωπος φησὶ πρὸς τὸν θεόν· δός μοι τὸν διδάσκοντά με καὶ ὁδηγοῦντα (ὁδήγησόν με) εἰς τὴν ὁδόν, τὴν πρὸς σὲ φέρουσαν, δῆλον ἐπὶ τὸ βάπτισμα.*

καὶ τὰς τρίβους] *Ἵνα μάθω, φησὶν ὁ ἄνθρωπος, καὶ τὴν εἰς οὐρανοὺς ἄνοδον διὰ τῶν ἐντολῶν σου.*

5. *ὁδήγησόν με*] *Ἵνα μηκέτι ἡ γλῶσσά μου τῷ ψεύδει κατέχηται, διδαχθεῖσα ὑπὸ τῶν δαιμόνων.*

καὶ δίδαξόν με] *Τουτέστιν ἐν τάχει μάθω τὴν σὴν παρουσίαν, ὅτι σωτὴρ καὶ θεὸς ὑπάρχεις τοῦ σοῦ πλάσματος.*

καὶ σὲ ὑπέμεινα] *Ἐπὶ τοῦ σταυροῦ ὁ Χριστὸς ἐκτεταμένος διὰ τὸν ἄνθρωπον· πάντα γὰρ ἐκ προσώπου τοῦ ἀνθρώπου ὑπέμεινεν.*

6. *μνήσθητι*] *Πλάσας γὰρ τὸν ἄνθρωπον ἐκ τότε (ἐκ τούτου) ἐπηγγείλω αὐτῷ ζωὴν καὶ τὴν σωτηρίαν αὐτῷ ἡτοίμασας, ἣν ταχῦναι σπεῦσον ὡς ἀγαθός.*

7. *ἁμαρτίας νεότητος*] *Οἶδας γὰρ ὡς θεός, φησὶν ὁ Ἀδάμ, τί πέπονθα. ἄκων πεπλάνημαι, ἄλλοι εἰσὶν οἱ σκελίσαντές με. διὸ μὴ μνησικακήσῃς μοι.*

κατὰ τὸ ἔλεός σου] *Ὡς θεὸς γὰρ μεγάλα τὰ ἐλέη ἔχεις καὶ κατὰ ταῦτα (κατ' αὐτὰ) οὕτως μου μνήσθητι.*

ἕνεκα τῆς χρηστότητος] *Διὰ τὴν σὴν χρηστότητα καὶ εὐσπλαγχνίαν οἰκτειρόν με, ἐπεὶ τὸ ἐμὸν τραῦμα (πταῖσμα) ἀσύγγνωστόν*[1] *ἐστι.*

8. *χρηστός*] *Ὡς θεὸς ὡς ἀγαθός, ὡς συμπαθής.*

---

[1] Interpres slavicus *ἀνίατον* legisse videtur.

διὰ τοῦτο] *Ὡς μόνος ἀναμάρτητος συγχωρεῖν ἁμαρτωλοῖς (ἁμαρτίας) δυνατὸς ὑπάρχει καὶ ἐπιστρέφειν ἐπὶ τὴν ὁδὸν τῆς μετανοίας.*

9. ὁδηγήσει] *Τοὺς ἀποστόλους προανεφώνησεν, οἷς ὁ κύριος ἔλεγε· γίνεσθε [φρόνιμοι ὡσεὶ ὄφεις καὶ] ἀκέραιοι ὡς αἱ περιστεραί. τούτοις γὰρ πᾶσαν ὁδὸν ἀληθείας ὑπέδειξεν καὶ ἐδίδαξε τὰ μυστήρια τῆς αὐτοῦ θεότητος, ὡς μέλλων δι' αὐτῶν ἐπιστρέφειν τὰ ἔθνη.*

10. πᾶσαι αἱ ὁδοί] *Οὐδὲ γάρ ἐστιν ἐν αὐταῖς (αὐτῇ) τι στραγγαλιῶδες, ἀλλὰ πανταχόθεν λεῖαι ὡς ἐλέους γέμουσαι (λεῖα — γέμουσα).*

τοῖς ἐκζητοῦσιν] *Τοῖς τὸν νόμον αὐτοῦ μελετῶσι καὶ τὰς ἐντολὰς αὐτοῦ ἐκζητοῦσιν.*

11. ἕνεκα τοῦ ὀνόματος] *Ἐξωγκωμένη γὰρ ἦν ἡ ἁμαρτία ἐπὶ πᾶσαν τὴν γῆν, τῇ ἀθείᾳ κρατούσης τῆς πλάνης.*

12. τίς ἐστιν ἄνθρωπος] *Ὁ πειθόμενος τῷ νόμῳ καὶ τὰς ἐντολὰς αὐτοῦ ποιῶν καὶ λαλῶν ἀλήθειαν μετὰ τοῦ πλησίον.*

νομοθετήσεις] *Ὁ γὰρ ἐκλεξάμενος τὴν ὁδὸν τῆς ἀληθείας καὶ κανονίσας ἑαυτὸν ἐν αὐτῇ, οὗτος ἐν αὐτῇ ὑπὸ τοῦ θεοῦ κατευθύνεται καὶ ὁδηγεῖται.*

13. ἡ ψυχὴ αὐτοῦ] *Τοῦ κατὰ θεὸν ζήσαντος ἀνθρώπου καὶ πάντων τῶν πιστευσάντων τῇ ἐπιφανείᾳ τοῦ Χριστοῦ (κυρίου).*

καὶ τὸ σπέρμα] *Τοῦ κυριακοῦ ἀνθρώπου, τοῦ ἐν οὐρανοῖς καθημένου, τὸ συγγενές, τουτέστιν οἱ πιστοὶ κληρονομοῦσι (κληρονομήσουσι) δηλαδὴ τὴν γῆν τῆς ἐπαγγελίας.*

14. κραταίωμα] *Δηλαδὴ τῶν πιστῶν (τοῖς πιστοῖς), οὓς αὐτὸς κραταιοῖ κατὰ τῆς ἁμαρτίας.*

καὶ ἡ διαθήκη] *Ὅσοι γὰρ τὸν νόμον τοῦ θεοῦ μελετῶσιν, ἐξ αὐτοῦ διδάσκονται, πῶς δεῖ θεῷ θεραπεύειν.*

15. οἱ ὀφθαλμοί μου] *Τοῦ πιστοῦ καὶ κατὰ θεὸν ἀγωνιζομένου δι' ὅλου ἐνατενίζουσιν οἱ ὀφθαλμοὶ τῆς καρδίας πρὸς τὸν θεόν.*

ὅτι αὐτός] *Ἵνα μὴ πάλιν εἰς τὴν παγίδα τοῦ διαβόλου ἐπιπίπτῃ ὁ ἄνθρωπος πλανώμενος.*

16. ἐπίβλεψον] *Ὁ Χριστός, βεβαιῶν τὴν ἐνανθρώπησιν, προσεύχεται ὡς μονογενής, ὁ ἄνω καὶ κάτω μονογενής, πτωχὸς δέ, ὡς μὴ ἔχων ποῦ τὴν κεφαλὴν κλῖναι.*

17. αἱ θλίψεις] *Ἀλλεπάλληλοι γὰρ αἱ θλίψεις τῶν πιστῶν (δικαίων). νοεῖται δὲ εἰς τὸν Χριστὸν ὡς διὰ τὸ πάθος.*

ἐκ τῶν ἀναγκῶν] *Ἃς (ὡς) οἱ Ἰουδαῖοι, φησὶν ὁ Χριστός, ἐπιφέρουσί μοι.*

18. ἴδε τὴν ταπείνωσιν] *Νῦν τὴν φωνὴν (ἡ φωνὴ) τοῦ ἀνθρώπου, ὅ ἐστιν τοῦ Ἀδάμ· ἴδε πῶς, ταπεινωθεὶς ὑπὸ (ἀπὸ) τῆς πλάνης, κοπιῶ ἐν ταῖς ἀνάγκαις.*

καὶ ἄφες] *Μή τι, φησί, συγχωρήσεις, μή τι δὲ οὐ συγχωρήσεις,*

ἀλλ' ὅλον με ἀνακαίνισον [καὶ ἐλέησον], ὡς θεὸς συμπαθής.

19. ἴδε τοὺς ἐχθρούς] Ἰδοῦ, δέσποτα, ὅτι πολλοὶ καὶ πανταχόθεν κατ' ἐμοῦ στρατεύονται οἱ δαίμονες, φησὶν ὁ ἄνθρωπος· ἔστι δὲ ὅλον εἰς τὸν Χριστὸν καὶ εἰς τοὺς Ἰουδαίους.

καὶ μῖσος] Εὐεργετῶν γὰρ τοὺς Ἰουδαίους ὁ Χριστὸς οὐκ ἐπαύσατο· αὐτοὶ δὲ μισοῦντες αὐτόν, ὡς τὰ μέγιστα ἀδικούμενοι παρ' αὐτοῦ.

20. φύλαξον] Ὁ Χριστὸς ὡς ἄνθρωπος προσεύχεται, τὸ δὲ ὅλον ὑπὲρ τοῦ ἀνθρώπου λέγει.

μὴ καταισχυνθείην] Ἡ γὰρ ἐλπὶς οὐ καταισχύνει τοὺς κεκτημένους αὐτὴν ἀεί.

21. ἄκακοι καὶ εὐθεῖς] Πατριάρχαι καὶ προφῆται καὶ ἀπόστολοι καὶ μάρτυρες, εἰδότες τὸ πάθος τοῦ Χριστοῦ, ὑπέμειναν καὶ αὐτοὶ [τῇ πίστει] νευρούμενοι.

22. λύτρωσαι ὁ θεός] Τὸν λαὸν τῶν πιστῶν· Ἰσραὴλ γὰρ ὁρῶν θεὸν ἑρμηνεύεται· ὁ ἐξ ἐθνῶν δὲ λαὸς ὁρᾷ τὸν θεόν.

XXV.

Ψαλμὸς τῷ Δαυίδ] Οὗτος ὁ ψαλμὸς κεῖται ὅλος εἰς τὸν Χριστὸν καὶ τοῦ κατὰ θεὸν προκόπτοντος ἔντευξις καὶ ὅπως εἰς πρόσωπον τοῦ ἀνθρώπου ὁ Χριστὸς ἀπολογεῖται καὶ προτρέπει τὸν ἄνθρωπον.

1. Κρῖνόν με] Οὐ γὰρ εἶχε κακίαν ὁ Ἀδὰμ ἢ γνῶσίν τινος καλοῦ τε καὶ κακοῦ, ἄκων δὲ ἠπατήθη. διὰ τοῦτο βοᾷ· [κρῖνόν με, τουτέστιν] ἐκδίκησόν με ἐκ τοῦ ἐχθροῦ.

καὶ ἐπὶ τῷ κυρίῳ] Ἐὰν γὰρ ῥυσθῶ [ἀπὸ] τῶν κακῶν μου, φησὶν [ὁ ἄνθρωπος], οὐκέτι ἐξ ἀπιστίας (ἀπάτης) ἀσθενήσω.

2. δοκίμασόν με] Σὺ γὰρ μόνος ὡς θεὸς ἐπίστασαι, τίς ὁ αἴτιος τῆς ἐμῆς παραβάσεως.

πύρωσον] Σὺ γὰρ εἶ ὁ ἐμβατεύων καρδίας καὶ διαλογισμούς (νεφρούς)· οἱ γὰρ νεφροὶ νοητῶς εἰσιν οἱ διαλογισμοὶ τοῦ ἀνθρώπου.

3. ὅτι τὸ ἔλεός σου] Οὔτε γὰρ ἐξέκλινεν ὁ Ἀδὰμ τοὺς ὀφθαλμοὺς τῆς διανοίας ἐκ τῆς προσδοκίας τοῦ ἐλέους τοῦ θεοῦ· ἐξεδέχετο γὰρ καθ' ἑκάστην.[1]

καὶ εὐηρέστησα] Ὁ γὰρ κατὰ θεὸν εὐαρεστῶν ἀεὶ τῇ ἀληθείᾳ τὴν γλῶσσαν ἐρεθίζει, ἀπεχόμενος ψεύδους.[2]

4. οὐκ ἐκάθισα] Τῶν συνερχομένων καὶ μάταια βουλευομένων, ὅπερ οἱ Ἰουδαῖοι ἐποίουν (ἐποίησαν) κατὰ τοῦ Χριστοῦ. Νικόδημος δὲ καὶ Ἰωσὴφ [ὡς θεοῦ ἄνθρωποι] οὐ συμπαρέγενοντο.

---

[1] Ven: *Προεώρα γὰρ ὁ προφήτης τὸ ἔλεος τοῦ θεοῦ ἐπὶ τὴν ἀνθρωπότητα.*

[2] V.: *Τὴν γλῶσσαν ἐρεθίζει ἀπεχόμενος ψεύδους.*

καὶ μετὰ παρανομούντων] *Ὁ κατὰ θεὸν ἄνθρωπος καὶ τὸν βίον οὐράνιον ἔχων μετὰ παρανομούντων οὐ συνεδριάζει ποτέ.*

5. *ἐμίσησα*] *Τὰς συναγωγὰς τῶν Ἰουδαίων, ὡς κατὰ Χριστοῦ συναγομένας, μισεῖ ὁ θεός.*

καὶ μετὰ ἀσεβῶν] *Ἑλλήνων, φημί (φησί), καὶ κακοπίστων, ὅσοι κακὰ περὶ θεοῦ λογίζονται.*

6. *νίψομαι ἐν ἀθῴοις*] *Οὗτοι δέ εἰσιν, ὅσοι δώροις ἐπὶ κακοῖς καὶ ἐξ ἁρπαγῆς τὰς δεξιὰς οὐκ ἐμόλυναν. ἔστι δὲ πρὸς ἀλήθειαν ὁ Χριστός· αὐτὸς γὰρ ἀθῷος.*

καὶ κυκλώσω] *Τὸ νοερόν, ἐν ᾧ ἡ ψυχὴ ἀδιαλείπτως παρίσταται κυκλοῦσα, τουτέστιν προσκυνοῦσα.*

7. *τοῦ ἀκοῦσαι*] *Τῶν ἀγγέλων τὸν ὕμνον οἱ δίκαιοι ἀκαταπαύστως ἔχουσιν.*

καὶ διηγήσασθαι] *Διὰ τῆς τοῦ νόμου μελέτης καὶ τῆς ἀγγελικῆς ὑμνῳδίας δοξάζων τὸν θεόν.*

8. *κύριε, ἠγάπησα*] *Τῆς ἐκκλησίας· λέγει δὲ καὶ τὸν τῆς σαρκός, ἐν ᾧ ἡ ψυχὴ οἰκεῖ ἐν καθαρότητι.*

καὶ τόπον] *Τῆς Σιὼν καὶ τῆς ἀναστάσεως· τόποι (τόπος) γὰρ δόξης οὗτοι (οὗτος), ὡς κατασκηνώσας ἐν αὐτοῖς ὁ κύριος.*

9. *μὴ συναπολέσῃς*] *Ἰουδαίων καὶ Ἑλλήνων καὶ ὅσοι τὴν σφραγῖδα τοῦ Χριστοῦ οὐκ ἐδέξαντο· ἀπεύχεται δὲ καὶ τοὺς Ἰουδαίους ὁ Χριστὸς ὡς ἀσεβεῖς.*

καὶ μετὰ ἀνδρῶν] *Ὧν αἱ χεῖρες αἵματος πλήρεις, Ἰουδαίων μάλιστα, οἵτινες τὸν κύριον τῆς δόξης ἀπέκτειναν.*

10. *ὧν ἐν χερσίν*] [*Οὔτε γὰρ ἐπὶ τούτῳ μετενόησαν, ὅτι ἔτι καὶ νῦν λοιδοροῦντες τὸν Χριστὸν οὐ παύονται· διὰ τοῦτο ἕως τῆς συντελείας ἐν χερσὶν αὐτῶν ἔχουσι τὴν ἀνομίαν*].

ἡ δεξιὰ αὐτῶν] *Ἐπλήρωσαν γὰρ τὰς δεξιὰς αὐτῶν ἀργυρίου καὶ ἔδωκαν τῷ Ἰούδᾳ καὶ τοῖς στρατιώταις.*

11. *ἐγὼ δὲ ἐν ἀκακίᾳ*] *Ὁ Χριστὸς ὡς μόνος πάσης κακίας ἐλεύθερος· οὔτε γὰρ Ἰουδαίοις κακὸν ἀντὶ κακοῦ (κακῶν) ἀπέδωκε.*

λύτρωσαί με] *Ἐκ τῆς συνοχῆς τῶν Ἰουδαίων, περὶ ὧν εἶπε· πάτερ, εἰ δυνατόν, παρελθέτω ἀπ' ἐμοῦ τὸ ποτήριον τοῦτο· ἵνα γὰρ δείξῃ, ὅτι ἀληθινῶς τὸν ἄνθρωπον ἀνέλαβε, φόβῳ ὑπέπιπτε.*

12. *ὁ γὰρ πούς*] *Ὅταν ἐπὶ τοῦ σταυροῦ ἐπὶ τοῦ Γολγοθᾶ· ἔστη γὰρ, ἵνα εὐθύνῃ τὸν κόσμον.*

ἐν ἐκκλησίαις] *Συστησάμενος διὰ σταυροῦ καὶ τῆς ἀναστάσεως τὰς ἐκκλησίας (ταῖς ἐκκλησίαις), ἐν αἷς εὐλογεῖται ὁ θεὸς τοῖς χοροῖς τῶν ἁγίων.*

XXVI.

Τοῦ Δ. πρὸ τοῦ χρισθῆναι] *Τῷ Χριστῷ· οὗτος (αὐτὸς) γὰρ κατὰ σάρκα γνωρίζεται ὡς ἱκανὸς χειρί· τὸ δὲ πρὸ τοῦ χρισθῆναι, τουτέστιν*

πρὸ τοῦ πάθους ἐδόθη ἡ προφητεία αὐτοῦ.

1. Κύριος φωτισμός μου] Ὁ πατὴρ τῷ υἱῷ, ὡς φῶς ἐκ φωτὸς καὶ σωτὴρ τοῦ κόσμου· ἀφ' οὗ γὰρ ὁ Χριστὸς ἀνέλαβε τὸν ἄνθρωπον, φόβον δαιμόνων οὐ δέδοικε. φωνὴ γὰρ αὕτη πρὸς ἀκρίβειαν τοῦ Ἀδάμ.

κύριος ὑπερασπιστής] Οὔτε γὰρ ἔτι φοβεῖται ὁ ἄνθρωπος τὸν διάβολον, ἀφ' οὗ τὴν ἀπαρχὴν εἰς τοὺς οὐρανοὺς ἔπεμψε καὶ ἔχει ὑπερασπίζοντα τὸν Χριστόν.

2. ἐν τῷ ἐγγίζειν] Ἰουδαίων παῖδες· καταπιεῖν γὰρ ἐζήτουν τὸν Χρισιόν. γέγραπται γὰρ ἐν τῷ καταπιεῖν πένητα τὸν ἀσεβῆ, ἀλλὰ ἡμῖν ἐδόθη ἐσθίειν τὸν Χριστόν, ὡς πιστοῖς θεοῦ.

οἱ θλίβοντές με] Ἰουδαίων παῖδες, ὡς ἐδόκουν θλίψειν τὸν Χριστόν, ἠσθένησαν ἐν τοῖς διαβουλίοις αὐτῶν καὶ ἔπεσον. οὔτε γὰρ ἤνυσάν τι, ὧν ἤθελον· ὁ γὰρ θεὸς ἀπρόσιτος.

3. ἐὰν παρατάξηται] Οἱ γὰρ κατὰ τοῦ θεοῦ παρατασσόμενοι πίπτουσιν.

ἐὰν ἐπαναστῇ] Λέγει τὸν πόλεμον, τὸν κατὰ τοῦ ᾅδου καὶ τοῦ διαβόλου· ὡς γὰρ ἐδόκει πολεμεῖν, ἐπολεμήθη· τὸ δὲ ἐν ταύτῃ ἐλπιῶ' θαρρῶν, ὅτι νικᾷ. διὸ λέγει· θαρσεῖτε, ἐγὼ νενίκηκα τὸν κόσμον.

4. μίαν ᾐτησάμην] Τὴν ψυχὴν τοῦ Ἀδάμ· δι' αὐτὴν γὰρ ἐπὶ γῆς παραγέγονα, φησὶν ὁ Χριστός.

τοῦ κατοικεῖν] Ἀναγαγὼν γὰρ τὴν ψυχὴν τοῦ Ἀδὰμ σὺν τῷ σώματι, κατῴκισεν ἐν οὐρανοῖς εἰς αἰῶνας αἰώνων (εἰς οὐρανοὺς εἰς αἰῶνα αἰῶνος).

τοῦ θεωρεῖν] Τοῦ βλέπειν τὸν ἄνθρωπον τὰ κάλλη τῶν οὐρανῶν καὶ τὰς ἐν αὐτοῖς δυνάμεις καὶ ἐξουσίας.

καὶ ἐπισκέπτεσθαι] Λέγει τὸ σῶμα τὸ δεσποτικόν· ναὸν γὰρ τοῦτο προσηγόρευσεν αὐτὸς ὁ κύριος, εἰπών· λύσατε τὸν ναὸν τοῦτον.

5. ὅτι ἔκρυψεν] Ἀφ' οὗ γὰρ ὁ λόγος σὰρξ ἐγένετο [ὡς αὐτὸς ἠβουλήθη] καὶ ἐσκήνωσεν ἐν ἡμῖν, ταύτῃ τῇ σκηνῇ (ταύτης τῆς σκηνῆς) σκεπασθεὶς ὁ ἄνθρωπος ἐρρύσθη ἀπὸ πάσης κακίας τοῦ διαβόλου.

ἐσκέπασέν με] Ἐν ἀποκρύφῳ λέγει τὸ μυστήριον τῆς σαρκὸς αὐτοῦ, ὅτι νοῦς ἀνθρώπου (ἀνθρώπων) καταλαβέσθαι οὐ δύναται.

ἐν πέτρᾳ] Ἐν τῇ πέτρᾳ τοῦ Γολγοθᾶ ἐπὶ τοῦ σταυροῦ.

6. καὶ νῦν ἰδού] Διὰ τοῦτο γὰρ κρανίου τόπος λέγεται, ὅτι ἐκεῖ ὑψώθη ἡ κεφαλὴ τοῦ ἀνθρώπου, ὡς κατὰ τῶν δαιμόνων.

ἐκύκλωσα] Ἐν ἐκείνῳ γὰρ τῷ τόπῳ καὶ Ἀβραὰμ ἔθυσε τὸν υἱὸν τῷ σκοπῷ· ἐκεῖ γὰρ καὶ σὰρξ ἡ δεσποτικὴ ἐτύθη, ἥτις ἐστὶ σκηνὴ τοῦ Χριστοῦ. ἀλαλαγμοῦ δέ, ὅτι εἰς τὰ πέρατα τῆς οἰκουμένης ᾄδεται τὸ πεπραγμένον.

ᾄσομαι] Λοιπὸν ὁ ἄνθρωπος σωθεὶς προσφέρει [τῷ κυρίῳ] τὰς λατρείας ἀκαταπαύστως.

7. εἰσάκουσον] Ἵν σοι προσφέρω μετὰ κραυγῆς ἐλεηθείς ⟨ἐλέησον ἡμᾶς⟩, φησὶν ὁ ἄνθρωπος.

8. ἐλέησόν με] Τοῦτο γὰρ ἕκαστος τῶν πιστῶν ἀπὸ καρδίας λέγει.

ἐξεζήτησα] (Τοῦτο γὰρ ἕκαστος τῶν πιστῶν ὁμοίως λέγει).[1]

τὸ πρόσωπόν σου] Πρόσωπον γὰρ πρὸς πρόσωπον ἐσώθη ὁ ἄνθρωπος διὰ τῆς ἐνανθρωπήσεως.

9. μὴ ἀποστρέψῃς] Τουτέστιν μὴ παρίδῃς τὸ σὸν πλάσμα, ἀλλ' ἐπίσκεψαι ὡς συμπαθής, ὡς ἐλεήμων.

μὴ ἐκκλίνῃς] Τουτέστιν εἰ καὶ πάλιν ἁμαρτήσει (ἁμάρτῃ) ὁ ἄνθρωπος, ὡς σάρκινος, καὶ εἰς ὀργήν σε κινήσει, ἀλλ' αὐτὸς μὴ ἀποστραφῇς αὐτόν, ὡς ἀγαθός.

βοηθός μου] Τουτέστι μὴ ἀφέλῃς ἀπ' ἐμοῦ τὴν δόξαν, ἣν δέδωκάς μοι· μὴ ἀποστραφῇς με μισήσας [τὸ γὰρ μὴ ἀποσκορακίσῃς με ἀποστραφῆναί ἐστι].

καὶ μὴ ὑπερίδῃς] Μὴ παραβλέψῃς με ὡς ἀχρεῖον.

10. ὅτι ὁ πατήρ μου] Οὔτε γὰρ πατέρα [σαρκικὸν] οὔτε μητέρα εἶχεν ὁ Ἀδάμ, ὡς οὔτε πατέρα ἔσχεν ὁ κύριος κάτω οὔτε ἄνω μητέρα. αὐτὸς δὲ προσελάβετο τὸν Ἀδάμ.

ὁ δὲ κύριος] [Τουτέστιν ἀνελάβετό με].

11. νομοθέτησόν με] Τουτέστιν κανόνισόν με, φησὶν ὁ ἄνθρωπος, τῷ εὐαγγελικῷ νόμῳ τῆς χάριτος.

καὶ ὁδήγησόν με] Μήτε δεξιᾷ μήτε ἀριστερᾷ ἐκκλίνειν, ἀλλὰ ὁδὸν ἐλευθέραν (ὁδῷ ἐλευθέρᾳ) προσκομμάτων ὁδεύειν.

12. μὴ παραδῷς με] Μὴ πάλιν ἕνεκεν τῶν δαιμόνων προσχωρήσω τοῖς εἰδώλοις· ἐχθροὶ γὰρ χαλεποὶ τοῦ ἀνθρώπου οἱ δαίμονες.

ὅτι ἐπανέστησαν] Ὁ λαὸς τῶν Ἰουδαίων, τῷ Χριστῷ λέγοντες· οὗτος εἶπεν, ὅτι υἱὸς θεοῦ εἰμι, ἐκείνου μὲν ἀληθεύοντος, ἐκείνων (αὐτῶν) δὲ ψευδομένων.

καὶ ἐψεύσατο] Ἡ ἄδικος συναγωγὴ λέγουσα· οὐκ ἔχομεν βασιλέα, εἰ μὴ καίσαρα.

13. πιστεύσω] Οἱ γὰρ δίκαιοι δι' ὅλου εἰς ἐκείνην τὴν γῆν σπεύδουσιν. εἰς ποίαν; εἰς τὴν τοῦ παραδείσου.

14. ὑπόμεινον] Ὑπομονῆς γὰρ χρεία τοιαύτης, ἣν ὁ Χριστὸς ἐπὶ τοῦ σταυροῦ ὑπέμεινεν.

ἀνδρίζου] Ἀνδρεῖον φρόνημα ἐχέτω τοῦ πιστοῦ ἡ καρδία, τουτέστιν μὴ ἐκλυόμενον.

καὶ ὑπόμεινον] Τουτέστιν μὴ ἐκλυόμενοι, ἀλλὰ τῇ ἐλπίδι νευρούμενοι.

XXVII.

Ψαλμὸς τῷ Δαυίδ] Οὗτος ὁ ψαλμὸς τοῦ Δαυὶδ ἰδικὸς (ἴδιος) ὑπάρχει, ὅθεν μετὰ προσευχῆς ἤρξατο τῆς προφητείας· ἐμφαίνει (ἐκφαίνει)

[1] Posterior versiculus in Nan. legitur, in V. et A. abest.

δὲ καὶ περὶ τοῦ Χριστοῦ καὶ τοῦ λαοῦ τῶν Ἰουδαίων.

1. Πρὸς σέ, κύριε, ἐκέκραξα] Εὐχῇ τὴν προφητείαν ἐκέρασεν ὁ Δαυίδ.

μὴ παρασιωπήσῃς] Τουτέστιν μὴ παρίδῃς με, ἀλλὰ σπεῦσον εἰς τὴν ἐμὴν ἀναζήτησιν.

καὶ ὁμοιωθήσομαι] Ἀνελάμβανον γὰρ τὸ πρόσωπον τοῦ Χριστοῦ οἱ προφῆται καὶ ὡς περὶ ἑαυτῶν ἔλεγον· ὁ Χριστὸς γὰρ κατέβη ἐν τῷ μνήματι, ὅ ἐστι λάκκος.

2. εἰσάκουσον] Ἐδέετο γὰρ φωνῇ μεγάλῃ ὁ ἄνθρωπος, κατεχόμενος τῇ πλάνῃ τῶν εἰδώλων (δαιμόνων), προσδεχόμενος τὴν παρουσίαν τοῦ Χριστοῦ.

ἐν τῷ με αἴρειν] Ἑτοίμως γὰρ ὁ Ἀδὰμ ἐξέτεινε τὰς χεῖρας πρὸς τὸ σῶμα τὸ δεσποτικόν, ὅ ἐστι ναὸς θεοῦ. κρατήσας γὰρ αὐτὸν ὁ Χριστὸς ἀνέστησεν.

3. μὴ συνελκύσῃς] Τουτέστιν μὴ τάξῃς (κατατάξῃς) με μετὰ τῶν ἀπατησάντων με, ἀλλὰ ῥῦσαί με ἀπ' (ἐξ) αὐτῶν.

καὶ μετὰ ἐργαζομένων] Ἰουδαίων κακοπίστων [καὶ Ἑλλήνων]· οὗτοι (αὐτοὶ) γὰρ ἐργάται (ἐρασταὶ) ἀνομίας εἰσίν.

τῶν λαλούντων εἰρήνην] Ὅσοι ἐν ὑποκρίσει λαλοῦσι τῷ (μετὰ τοῦ) πλησίον, ὡς οἱ Ἰουδαίων παῖδες ἐλάλουν κατὰ Χριστοῦ (κυρίου), ὑποκρινόμενοι εἰρήνην, ἐτέκταινον δὲ κακὰ κατ' αὐτοῦ ἐξ ἀπιστίας.

4. δὸς αὐτοῖς] Καθ' ὃ (καθὼς) ἐτεκτόνευσαν (ἐτεκτόνησαν) τὸν σταυρὸν καὶ ὑπ' αὐτοῦ ἐσκορπίσθησαν εἰς πᾶσαν τὴν γῆν.

καὶ κατὰ τὴν πονηρίαν] Ἐπετήδευον γὰρ πάντα δόλον κατὰ τοῦ Χριστοῦ, ὅπως αὐτὸν θανατώσουσιν, ὡς ἐνόμιζον.

κατὰ τὰ ἔργα] Ἀπέλαβον γὰρ πάντα τὰ κακά, καθ' ὃ εἰργάσαντο τὴν ἐρήμωσιν τοῦ ναοῦ, τὴν ἀπώλειαν τῶν σκευῶν, τὴν λατρείαν, τὰς ἀπαρχάς· πάντων γὰρ ⟨τούτων⟩ ἐξέπεσαν ὡς κακοποιοί.

ἀπόδος] Τῷ Ἰούδᾳ τὸ σχοινίον, τῷ λαῷ τὴν ἀπώλειαν τῶν ἱερατικῶν στολῶν (σκευῶν) καὶ τοῦ νόμου τὴν μετάθεσιν.

5. ὅτι οὐ συνῆκαν] Σημεῖα γὰρ ἐθεώρουν γινόμενα καὶ ψιλὸν ἄνθρωπον ἔλεγον (ὠνόμαζον) τὸν Χριστόν.

καὶ εἰς τὰ ἔργα] Εὐεργετούμενοι γὰρ οὐκ ἐνόησαν, ἠχαρίστουν δὲ μᾶλλον ὡς ἄπιστοι.

καθελεῖς αὐτούς] Καθῃρέθησαν γὰρ ἐκ τῆς δόξης καὶ ἐκ τῆς συγγενείας τοῦ θεοῦ καὶ ἐλθεῖν εἰς τὴν πρώτην τάξιν (ἀξίαν) οὐ δύνανται.

6. εὐλογητὸς κύριος] Ὁ προφήτης εὐχαριστεῖ ὡς θαρρηθεὶς προειπὼν (προειπεῖν) τὰ μυστήρια τοῦ πάθους καὶ τῆς ἀναστάσεως. τὸ δὲ ὅλον ὁ Ἀδὰμ ὡς ἀνακαινισθεὶς ἐκ τῆς παραβάσεως.

7. κύριος βοηθός μου] Καὶ τοῦτο ὁ Ἀδὰμ ὡς σωθεὶς εὐχαριστεῖ.

ἐπ' αὐτῷ ἤλπισεν] *Πάντα γὰρ τῷ θεῷ ἐθάρρει, ἐκδεχόμενος τὴν αὐτοῦ παρουσίαν καὶ σωτηρίαν.*

καὶ ἀνέθαλεν] *Ἐκ τοῦ Δαυὶδ [γὰρ] τὸ κατὰ σάρκα [ὁ Χριστός].*

καὶ ἐκ θελήματος] *Προθέσει γὰρ ἀγαθῇ οἱ ἐξομολογούμενοι δεκτοὶ τῷ θεῷ γίνονται.*

8. κύριος κραταίωμα] *Τοῦ πιστοῦ λαοῦ, τοῦ ἐξ ἐθνῶν ἐπιστρέψαντος, ἰσχὺς καὶ κράτος ὁ Χριστός.*

καὶ ὑπερασπιστής] *Τῶν οἴκων τῶν ἁγίων, οὓς ὁ Χριστὸς ὁ υἱὸς συνεστήσατο, ἐν οἷς ἡ σωτηρία τῶν ἀνθρώπων πράττεται. αὐτὸς γὰρ ὑπερασπίζει ὁ Χριστός.*

9. σῶσον τὸν λαόν] *Τὸν λαὸν τὸν πιστόν, ὃν περιεποιήσω τῷ σώματι καὶ τῷ αἵματι τοῦ Χριστοῦ εἰς κατάσχεσιν ἑαυτῷ.*

καὶ ποίμανον] *Οἱ γὰρ ὑπὸ τοῦ Χριστοῦ ποιμαινόμενοι ἐπαίρονται εἰς ὕψος ἀρετῆς καὶ δόξης εἰς αἰῶνα αἰῶνος.*

XXVIII.

Ψαλμὸς τῷ Δαυὶδ ἐξοδίου σκηνῆς] *Ἐπροφήτευσε τὸ πνεῦμα, ὅτι ἐκβληθήσονται τοῦ ναοῦ οἱ Ἰουδαῖοι [καὶ τοῦ νόμου] καὶ τῆς χάριτος ὡς ἀχάριστοι.*

1. ἐνέγκατε] *Ἡ προφητεία σημαίνει τοὺς ἀποστόλους, ὡς καὶ ἐπὶ θρόνων μέλλοντας τότε καθέζεσθαι καὶ κρίνειν. περὶ αὐτῶν οὖν φησίν· ἐνέγκατε τὴν ἐκκλησίαν τῶν ἐθνῶν τῷ θεῷ, τουτέστιν προσαγάγετε αὐτούς.*

ἐνέγκατε — υἱοὺς κριῶν] *Τὰ (γὰρ) ἔθνη ὡς κριοὶ ὠμοὶ καὶ ἀνυπότακτοι ἐγένοντο. ὡς οὖν ἄρνας ἁπαλούς, τὸν νέον λαὸν προσαγάγετε τῷ θεῷ ⟨τῷ κυρίῳ⟩.*

ἐνέγκατε — τιμήν] *Πάντες γὰρ οἱ πιστεύσαντες δοξάζοντες (δοξάζονται), ὥσπερ τιμὴν ἕκαστος προσφέρει διὰ τῆς προσκυνήσεως [τῷ θεῷ].*

2. ἐνέγκατε — ὀνόματι αὐτοῦ] *Κηρύξατε, φησίν, εἰς πάντα τὰ ἔθνη τὸ ὄνομα τοῦ Χριστοῦ, ὅπως ἐν πάσῃ τῇ γῇ δοξάζηται τὸ ὄνομα τοῦ Χριστοῦ καὶ θεοῦ.*

προσκυνήσατε] *Ἐν τῷ νυμφῶνι τῆς ἀναστάσεως· αὕτη γὰρ [αὐλὴ ἁγία] ὑπάρχει ὡς οἰκητήριον θεοῦ καὶ παρεμβολὴ ἀγγέλων καὶ σηκὸς προφητῶν· νόει δὲ τὴν ἐκκλησίαν.*

3. φωνὴ κυρίου] *Ὅταν τὸ πνεῦμα τὸ ἅγιον ἐν εἴδει περιστερᾶς ἐπὶ τὸν Ἰορδάνην κατῆλθεν,*[1] *αὕτη φωνὴ τοῦ πατρός, ἐσήμανε δὲ τὸ βάπτισμα.*

ὁ θεὸς τῆς δόξης] *Πότε; ὅταν ἡ φωνὴ τοῦ πατρὸς ἐγένετο ἐξ*

[1] V. continuat sic: *ὅρα πατέρα μὲν ἄνωθεν μαρτυροῦντα, υἱὸν δὲ κάτωθεν βαπτιζόμενον, πνεῦμα δὲ πανάγιον ἐν εἴδει περιστερᾶς κατερχόμενον, ἀλλὰ πίστευε εἰς πατέρα, μὴ ἐρευνήσῃ δὲ τὸ πρᾶγμα· προσκύνησον τὸν υἱόν, μὴ πολυπραγμονῶν τὴν αὐτοῦ γέννησιν· ἀνύμνει τὸ πνεῦμα τὸ ἅγιον, μὴ ἐκζητῶν τὸ τῆς ἁγίας τριάδος μυστήριον.*

οὐρανοῦ λέγουσα· οὗτός ἐστιν ὁ υἱός μου, ὁ ἀγαπητός, ἐν ᾧ ηὐδόκησα· [αὐτοῦ ἀκούετε].

κύριος ἐπὶ ὑδάτων] Ὁ Χριστὸς ἐν Ἰορδάνῃ βαπτιζόμενος, δι' αὐτοῦ ἁγιάζων πάντα τὰ ὕδατα.

4. *φωνὴ κυρίου] Ἐνίσχυσε γὰρ τότε τὸν Ἰωάννην [εἰπών], ὅπως (ἵνα) δυνηθῇ κεφαλῆς ἅψασθαι θεοῦ.*

φωνὴ — ἐν μεγαλοπρεπείᾳ] Μεγαλοπρεπῆ γὰρ ἔδειξε τότε τὸν υἱόν (Χριστόν), ἵνα γνῶσι πάντες, ὅτι θεοῦ ὁ υἱός.

5. *φωνὴ — κέδρους] Τοὺς ὑπερηφάνους ὡς ὑψηλούς· τῆς φωνῆς γὰρ τότε μαρτυρούσης (μαρτυρησάσης) τῷ υἱῷ, τῶν ἀπίστων τὸ ὕψος συνετρίβη.*

συντρίψει] Τοὺς δαίμονας, ὡς ὑπερηφάνους καὶ ὡς ἀεὶ χαίροντας τῷ Λιβάνῳ. ὁ Λίβανος γὰρ ὄρος θυσιῶν λέγεται. συνέτριψε δὲ τούτους ἡ Χριστοῦ παρουσία, παύσασα τὴν τῶν εἰδώλων μανίαν.

6. *καὶ λεπτυνεῖ] Μόσχος γὰρ ἦν εἴδωλον ἐν τῷ Λιβάνῳ. ὥσπερ γὰρ αἱ θυσίαι τῶν εἰδώλων ἀφανεῖς ἐγένοντο, οὕτως καὶ οἱ δαίμονες ἀφανεῖς ἐγένοντο, ὡσεὶ (οἵ εἰσιν) κέδροι ἐλικμήθησαν.*

καὶ ὁ ἠγαπημένος] Ὁ Χριστός, ὡς υἱὸς τῆς μονοειδοῦς ἀληθείας, τουτέστι τοῦ πατρὸς τῆς ἀληθείας.

7. *φωνὴ — φλόγα πυρός] Ὅταν τοῖς ἀποστόλοις τὸ πῦρ κατεμέρισεν ὡς γλώσσας· ἑνὶ γὰρ ἑκάστῳ μερίζων αὐτάς, ἀνάγκη διακοπῆναι (διακόπτειν) [ἤτοι μερισθῆναι καὶ διαχωρισθῆναι] ποιεῖ.*

8. *φωνὴ — ἔρημον] Τὴν ἐκκλησίαν δηλαδή· ἔρημος γὰρ ἦν, συνέσεισε δὲ αὐτήν, μεταβαλὼν εἰς θεογνωσίαν. πᾶν γὰρ τὸ μεταφερόμενον ἀνάγκη σεισθῆναι. φωνὴν δὲ λέγει τὸ κήρυγμα τοῦ λόγου, ἤχησε γὰρ ὡς βροντή.*

συνσείσει — Καδής] Καδὴς ἑρμηνεύεται ἁγίασμα, ὅ ἐστιν ἡ ἐκκλησία. ἔτι γὰρ συνέσεισεν αὐτήν, μεταβαλὼν ἀπὸ ἀκαθαρσίας εἰς ἁγίασμα δόξης.

9. *φωνὴ — ἐλάφους] Τοὺς ἀποστόλους. αἱ γὰρ ἔλαφοι ὀξεῖς τῷ δρόμῳ εἰσίν. τῶν ἀποστόλων δὲ τοὺς δρόμους κατήρτισε ἡ φωνὴ τοῦ Χριστοῦ, ἡνίκα ἔλεγε πρὸς αὐτούς· πορευθέντες μαθητεύσατε πάντα τὰ ἔθνη, βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄνομα τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος.*

καὶ ἀποκαλύψει δρυμούς] Τοὺς τῶν ἐθνῶν· ὥσπερ γὰρ ἐν τοῖς δρυμοῖς, τουτέστιν ἐν τοῖς ἄλσεσι, θηρία οἰκοῦσιν, οὕτως καὶ ἐν τῇ πλάνῃ τῶν εἰδώλων ὡς ἐν συνοχῇ ἦσαν τὰ ἔθνη. ἀπεκαλύφθησαν δὲ οὗτοι, φωτισθέντες τῇ χάριτι.

καὶ ἐν τῷ ναῷ] Ἐν τῇ ἐκκλησίᾳ· ναὸς γὰρ θεοῦ αὕτη, ἐν αὐτῇ πᾶς τις, τουτέστιν καὶ δίκαιοι καὶ ἁμαρτωλοὶ δοξάζουσι. νόει δὲ καὶ ναὸν τὸ σῶμα τὸ δεσποτικόν· ἐν αὐτῷ γὰρ πᾶσα πνοὴ δοξάζει τὸν θεόν.

10. *κύριος τὸν κατακλυσμόν] Τὰ ὕδατα λέγει τοῦ βαπτίσματος, ὡς*

κατακλυσμὸν τῶν δαιμόνων καὶ τῶν ἁμαρτωλῶν ποιοῦντα καὶ πλύνοντα τὸν ἄνθρωπον.

καὶ καθιεῖται] *Μετὰ γὰρ τὸ πρᾶξαι ταῦτα πάντα τὸν Χριστόν (θεόν), ἀνελθὼν (ἀπελθὼν) εἰς οὐρανοὺς (ἐν οὐρανοῖς) καθέζεται βασιλεὺς εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.*

11. *κύριος ἰσχύν*] *Τῷ λαῷ τῷ πιστῷ δώσας (δοὺς) τὸ σῶμα αὐτοῦ καὶ τὸ αἷμα εἰς βρῶσιν καὶ πόσιν. διὰ γὰρ βρώσεως καὶ πόσεως ἔχει τὴν ἰσχὺν ὁ ἄνθρωπος.*

κύριος εὐλογήσει] *Ἐν τῷ εἰπεῖν· εἰρήνην τὴν ἐμὴν δίδωμι ὑμῖν.*

XXIX.

Εἰς τὸ τέλος· Ψαλμὸς ᾠδῆς τοῦ ἐγκαινισμοῦ] *Περὶ τῆς ἐκκλησίας ἡ προφητεία λέγει εἰς τὸ τέλος· ἐπὶ τέλει γὰρ ὁ Χριστὸς [ἐλθών], ἐγκαινίζει τὴν ἐκκλησίαν.*

2. *ὑψώσω σε*] *Ἡ ἐκκλησία λέγει πρὸς τὸν κύριον (Χριστόν)· ὑψώσω σε, κύριε, τουτέστι δοξάσω σε, ὅτι με χαμαὶ κειμένην ἀνέστησας.*

καὶ οὐκ ηὔφρανας] *Ἐχθροὺς λέγει τοὺς δαίμονας, οἵτινες αὐτὴν ἐσκέλισαν τῇ πλάνῃ· οὐκέτι γὰρ οὗτοι κατεχάρησαν τῆς ἐκκλησίας.*

3. *κύριε ὁ θεός μου*] *Ἤκουσας γὰρ βοώσης μου καὶ οὐ παρεῖδες ὡς ἀγαθός.*

4. *κύριε, ἀνήγαγες*] *Ὁ Χριστὸς ἀναστὰς καὶ ἀναγαγὼν τὴν ψυχὴν τοῦ Ἀδάμ [ἐκ σκότους].*

ἔσωσάς με] *Τῶν κατεχομένων ἐν τῷ ᾅδῃ· λάκκον γὰρ λέγει τὸν ᾅδην. ἐκεῖθεν γὰρ ἀνέβη ἡ τοῦ κυρίου ψυχή, καθὼς γέγραπται τῷ προφήτῃ.*

5. *ψάλατε τῷ κυρίῳ*] *Ὁσίους λέγει τοὺς ἐλευθερωθέντας ἐκ τῶν δεσμῶν τοῦ ᾅδου· οὗτοι, φησί, δοξάσουσι τὸν κύριον ἐπὶ τῷ γεγονότι.*

καὶ ἐξομολογεῖσθε] *Ἐξομολογούμενοι γὰρ οἱ πιστοὶ καὶ ὑμνοῦντες τὴν μνήμην τοῦ Χριστοῦ ἐπιτελοῦσι ⟨τὸν νόμον⟩ διὰ τῆς προσφορᾶς τοῦ ἄρτου καὶ τοῦ ποτηρίου.*

6. *ὅτι ὀργή*] *Ἐν γὰρ τῷ θυμῷ ὀργὴ τοῖς ἁμαρτωλοῖς, ἐν δὲ τῷ θελήματι ζωὴ τοῖς δικαίοις.*

τὸ ἑσπέρας] *Λέγει τὸν σταυρὸν καὶ τὸ πάθος, ἐν ᾧ πενθοῦσιν (ἐπένθουν) οἱ πιστοί.*[1]

καὶ εἰς τὸ πρωί] *Τὴν ἀνάστασιν λέγει· πρωΐας γὰρ ἐγένετο. αὕτη γάρ ἐστι ἀγαλλίασις τοῦ γένους τῶν ἀνθρώπων.*[2]

---

[1] V. B. add. haec: *λέγει δὲ καὶ τὴν ἑσπέραν τοῦ θανάτου ἑνὸς ἑκάστου ἀνθρώπου, καὶ εἰ μὲν πρὸ τοῦ θανάτου μετανοήσει, εἰς τὴν πρωΐαν ἀγαλλίασις.* Abest in Ven. Nan. A.

[2] V. continuat sic: *διὸ καὶ ὁ μετανοήσας πρότερον τοῦ θανάτου, ἐν τῇ δευτέρᾳ παρουσίᾳ τοῦ κυρίου ἡμῶν ἕτοιμός ἐστιν ἐν νεφέλαις εἰς ἀπάντησιν τοῦ κυρίου εἰς ἀέρα, καὶ ἐν ἀγαλλιάσει τὸ μέλλον ἀπολαμβάνει καὶ μετὰ δικαίων εὐφραίνεται.* Abest in Nan. Ven. A.

7. ἐγὼ δὲ εἶπα] Εὐθηνίαν λέγει τὸ πληθυνθῆναι τὴν πίστιν τοῦ νέου λαοῦ, ἥτις (ἤτοι) οὐκ ἐκλείψει εἰς τὸν αἰῶνα αἰῶνος.

8. κύριε, ἐν τῷ θελήματι] Κάλλος λέγει τὴν πίστιν, τουτέστιν ταύτην δυνάμωσον καὶ μενεῖ (ἵνα μείνῃ) ἀκλινής.

ἀπέστρεψας] Ἡνίκα γὰρ ἔξω ἐτύγχανε θεοῦ ὁ λαὸς τῶν ἐθνῶν, τεταραγμένος ἦν τῇ συγχύσει (συνοχῇ) τῶν εἰδώλων.

9. πρὸς σέ, κύριε] Πρὸς σὲ γὰρ βοήσας ἐν τῇ μετανοίᾳ τῶν ἐθνῶν ὁ λαός· αὐτὸς δὲ ὁ σωτὴρ παρεγένετο εἰς τὴν βοήθειαν αὐτοῦ (αὐτῶν).

10. τίς ὠφελία] Ὁ Χριστὸς λέγει· τίς, φησίν, ὠφέλεια ἐν τῷ πάθει μου; ἡ τῶν ἐθνῶν ἐπιστροφή, ἡ σωτηρία τοῦ ἀνθρώπου.

μὴ ἐξομολογήσεται] Οἱ γὰρ λεπτυνθέντες ὑπὸ τῶν δαιμόνων ἀνεπιτήδειοι λοιπὸν πρὸς ἐπιστροφὴν ἦσαν (εἰσίν). λέγει δὲ καὶ τὸν Ἀδάμ, ὡς φθαρέντα.

11. ἤκουσεν κύριος] Ἤκουσε τὸν στεναγμὸν τοῦ λαοῦ τοῦ πιστοῦ καὶ ὡς ὁ θεὸς οὐ παρεῖδεν, ἀλλ' ἠλέησε.[1]

κύριος ἐγενήθη] Κατελθὼν ἐξ οὐρανοῦ καὶ ζητήσας τὸ πλανώμενον καὶ ἐπιστρέψας (ἐπέστρεψεν).

12. ἔστρεψας] Ἐκόπτετο γὰρ θρηνῶν, μαστιζόμενος ὑπὸ τῶν δαιμόνων ὁ ἄνθρωπος· Χριστοῦ δὲ παραγενομένου ἠλευθερώθη τῇ χάριτι (δεξάμενος τὴν χάριν).

διέρρηξας] Ἦν γὰρ ῥακώδη καὶ ῥυπαρὰ φορῶν ὁ ἄνθρωπος, ἅπερ ἐνέδυσεν αὐτὸν ἡ σπεῖρα τῶν δαιμόνων, ἀλλὰ ταῦτα διαρρήξας καὶ ἀπορρίψας ὁ Χριστὸς ἐνέδυσεν (ἀνέδυσεν) αὐτὸν τὴν χάριν.

13. ὅπως ἂν ψάλῃ] Σωθεὶς γὰρ ὁ ἄνθρωπος διηνεκῶς δοξάζει ⟨τὸν θεόν⟩, μηκέτι κατηφὴς γινόμενος.

κύριε ὁ θεός μου] Διηνεκῶς γὰρ ἕως τοῦ αἰῶνος δοξάζων ὁ ἄνθρωπος οὐ παύεται.

XXX.

Εἰς τὸ τέλος. Ψαλμὸς τῷ Δαυὶδ ἐκστάσεως] Θεωρήσας γὰρ ὁ προφήτης τὰ ἐπὶ τέλει μυστήρια, μέλλοντα τελεῖσθαι, ἐξέστη τῷ θαύματι.

2. Ἐπὶ σοί, κύριε] Ὁ προφήτης φησί· κύριε, μὴ κενώσῃς (μὴ βραδύνῃς) ἡμῶν τὴν ἐλπίδα, ἀλλὰ τάχυνον τὸ μυστήριον τῆς σῆς ἐνανθρωπήσεως·

ἐν τῇ δικαιοσύνῃ] Δίκαιος ὢν ὡς θεός, ῥῦσαί με ἀπὸ τῶν [συκοφαντῶν καὶ] ἀπίστων καὶ ἐξελοῦ με τῆς φροντίδος καὶ εἰς πέρας ἄγαγε τὸ μυστήριον τῆς σῆς παρουσίας.

3. κλῖνον] Τουτέστιν ἐπικάμφθητι τῇ εὐχῇ μου, λέγει ὁ Ἀδάμ, καὶ τάχυνον τοῦ ἐξελέσθαι με ἐκ τῆς συνοχῆς τῶν δαιμόνων ⟨εἰδώλων⟩.

[1] V. sic: Ἤκουσε τοῦ στεναγμοῦ τοῦ Ἀδάμ, καὶ ὡς συμπαθὴς οὐ παρεῖδε, ἀλλ' ἠλέησε· ἤκουσε δὲ καὶ τοῦ πιστοῦ καὶ οὐ παρεῖδεν, ἀλλ' ἔδωκε χεῖρα βοηθείας.

γενοῦ μοι] *Τουτέστι φρόντισόν μου ἐπὶ τοῦ θεοῦ, φησὶν ὁ Ἀδὰμ τῷ Χριστῷ, ὡς μεσίτης θεοῦ καὶ ἀνθρώπων.*

καὶ εἰς οἶκον] *Δός μοι, φησὶν ὁ ἄνθρωπος, τὴν ἐκκλησίαν, ἵνα ἐν αὐτῇ καταφεύγω ὡς εἰς λιμένα σωτηρίας καὶ σώζωμαι ἐκ τῶν πονηρῶν ἐχθρῶν* [*μου*].

4. *ὅτι κραταίωμά μου*] *Ὁ θεὸς τοῦ ἀνθρώπου κραταίωμα καὶ καταφυγή ἐστιν.*

καὶ ἕνεκεν τοῦ ὀνόματος], *Τῷ γὰρ ὀνόματι τοῦ Χριστοῦ ἐσώθη ὁ ἄνθρωπος, ὁδηγηθεὶς τὴν ὁδὸν τῆς σωτηρίας καὶ τραφεὶς τῷ σώματι καὶ τῷ αἵματι τοῦ Χριστοῦ.*

5. *ἐξάξεις*] *Οἱ δαίμονες (μὲν) ἀεὶ τῷ ἀνθρώπῳ, ἀλλὰ καὶ οἱ Ἰουδαῖοι τῷ Χριστῷ· ἐζήτουν γὰρ παγιδεῦσαι λόγῳ τὸν ἀπλάνητον.*

6. *εἰς χεῖράς σου*] *Ὁ υἱὸς πρὸς τὸν πατέρα (φησίν), βεβαιῶν τὴν ἐνανθρώπησιν.*[1]

ἐλυτρώσω με] *Ἀπὸ τῆς πλάνης τῶν δαιμόνων ⟨εἰδώλων⟩ τὸν ἄνθρωπον.*

7. *ἐμίσησας*] *Ἰουδαίων παῖδες (παῖδας), οἵτινες ἕως σήμερον κενῶς καὶ ματαίως φυλάττουσι τὴν ἔχθραν τῷ σωτῆρι.*

7ᵇ—8ᵃ. *ἐγὼ δέ — ἐπὶ τῷ ἐλέει σου*] *Ὁ προφήτης θεωρήσας (θαρρήσας) τὰ μυστήρια, τὰ ὑπ' αὐτοῦ κηρυχθέντα, εἰς πέρας ἐρχόμενα, ἐν πολλῇ χαρᾷ ἀγαλλιᾶται τῷ πνεύματι.*

ὅτι ἐπεῖδες] *Ἐν πολλῇ γὰρ ταπεινώσει ὑπῆρχεν (ὑπάρχει) ὁ ἄνθρωπος, ἐν τῇ πλάνῃ τῶν εἰδώλων. ταῦτα δὲ πάντα ὁ Χριστὸς βοᾷ ἐκ προσώπου τοῦ ἀνθρώπου.*

· *ἔσωσας*] *Τῶν περιεχουσῶν τὸν ἄνθρωπον, ἃς ἐπήγαγον αὐτῷ οἱ δαίμονες, ὡς οἱ Ἰουδαῖοι τῷ Χριστῷ.*

9. *καὶ οὐ συνέκλεισάς με*] *Ἐλυτρώσατο γὰρ ὁ Χριστὸς τὸν ἄνθρωπον ἐκ τῶν χειρῶν τοῦ διαβόλου.*

ἔστησας] *Πᾶσαν γὰρ τὴν γῆν ἐκκαθάρας, ἐλευθέραν τῷ ἀνθρώπῳ κατέστησεν.*

10. *ἐλέησόν με*] *Ὁ Χριστὸς ἐκ προσώπου τοῦ ἀνθρώπου θλιβόμενος ἐπὶ τοῦ σταυροῦ.*

ἐταράχθη] *Τουτέστιν ἀπέστησα τὸν ὀφθαλμόν μου ἀπὸ τοῦ λαοῦ τῶν Ἰουδαίων ἐν θυμῷ καὶ ὀργῇ μεγάλῃ.*

ἡ ψυχή μου] *Ἤλγησα τουτέστιν ἐπὶ τὸν λαόν* [*τῶν Ἰουδαίων*]· *καὶ ψυχὴ γὰρ καὶ γαστὴρ (καρδία) ἤλγησαν, ὡς σὰρξ θεοῦ ὑπάρχοντες.*

11. *ὅτι ἐξέλιπεν*] *Ἐπὶ τοῦ σταυροῦ τὸ κατὰ σάρκα.*

ἠσθένησεν] *Ὁ Ἀδὰμ πτωχεύσας ἀπὸ τοῦ θεοῦ.*

καὶ τὰ ὀστᾶ] *Κρεμάμενος ἐπὶ τοῦ σταυροῦ.*

12. *παρὰ πάντας*] *Τὸν ὀνειδισμὸν λέγει, ὃν ἐπὶ τοῦ σταυροῦ ὑπέμεινεν ὁ Χριστὸς ὑπὸ τῶν ἀνόμων (παρανόμων) Ἰουδαίων.*

---

[1] V. A. ad. *ἀνθρώπινα ἐλάλει*, Ven. *ἀνθρώπινα λαλεῖ.*

καὶ τοῖς γείτοσιν] *Καὶ οἱ ἀπόστολοι καὶ πάντες οἱ γνωστοὶ ἐν φόβῳ θεοῦ ἐγένοντο ἐν τῇ ὥρᾳ τοῦ πάθους.*

οἱ θεωροῦντές με] *Ἐν ἐκείνῃ γὰρ τῇ ὥρᾳ τοῦ σταυροῦ ἔφυγον οἱ μαθηταί, ὀδυρόμενοι (κλαύσαντες).*

13. *ἐπελήσθην*] *Οὐκέτι γὰρ προσεδόκησαν οἱ θεωροῦντες ζῆν αὐτὸν ἐπὶ τοῦ σταυροῦ.*

ἐγενήθην] *Ἐλογίσθην, φησίν, ὡς ἄνθρωπος θνητός.*

14. *ὅτι ἤκουσα ψόγον*] *Ἤκουεν (ἤκουσεν) γὰρ ὡς θεὸς τοὺς διαλογισμοὺς πάντων· ὡς ἐλοιδόρουν (λοιδορούντων) αὐτὸν δοξάζοντες αὐτόν, ὅτι οὐ ζῇ.*

ἐν τῷ συναχθῆναι] *Καὶ μετὰ τὸν σταυρὸν πάλιν συνήχθησαν [γὰρ] συκοφαντῆσαι τὴν ἀνάστασιν.*

15. *ἐγὼ δὲ ἐπὶ σὲ ἤλπισα*] *Ἐγὼ δέ, φησίν, ᾔδειν ὡς θεός, ὅτι σὺν τῷ πατρί εἰμι, ἀλλ' ὑπέμεινα πάντα διὰ τὸν ἄνθρωπον.*

16. *ἐν ταῖς χερσίν σου*] *Ἐν τοῖς κόλποις γὰρ τοῦ πατρὸς ηὐλίζετο καὶ παρ' αὐτῷ ἦσαν οἱ κλῆροι αὐτοῦ, ἀλλ' ἡ (ἥ τε) θεότης καὶ ἡ δόξα Χριστοῦ τοῦ θεοῦ.*

ῥῦσαί με] *Λέγει τῶν Ἰουδαίων, τῶν ἐχθρῶν τοῦ κυρίου (θεοῦ)· διώκοντες γὰρ τὸν κύριον οὐκ ἐπαύσαντο.*

17. *ἐπίφανον*] *Αὕτη ἡ φωνὴ τοῦ Ἀδάμ· ὅταν γὰρ ἐπεφάνη (ἐπέφανεν) τοῖς νεκροῖς ἡ ζωή, τότε ὁ Ἀδὰμ ἠλευθερώθη.*

σῶσόν με] *Καὶ αὕτη ἡ φωνὴ τοῦ Ἀδὰμ πρὸς τὸν θεόν.*

18. *κύριε, μὴ καταισχυνθείην*] *Καὶ αὕτη πάλιν φωνὴ τοῦ Ἀδάμ· μὴ πάλιν αἰσχυνθῶ, ὀνειδιζόμενος ὑπὸ τῶν δαιμόνων.*[1]

αἰσχυνθείησαν] *Ἰουδαῖοι, ὡς ἀσεβήσαντες εἰς Χριστόν, μετ' αἰσχύνης εἰς ᾅδου κατῆλθον.*

19. *ἄλαλα γενηθήτωσαν*] *Τὰ τῶν Ἰουδαίων λέγει, ὡς μετὰ δόλου ἐλάλουν τῷ σωτῆρι, ἐνεφράχθησαν (ἐνεφράγησαν) δὲ τῷ καιρῷ τῆς ἀναστάσεως.*

τὰ λαλοῦντα] *Λέγοντες· δήσωμεν τὸν δίκαιον, ὅτι δύσχρηστος ἡμῖν ἐστιν.*

ἐν ὑπερηφανίᾳ] *Εὐτέλιζον γὰρ λέγειν αὐτὸν θεόν, ἐξουδενοῦντες αὐτόν.*

20. *ὡς πολὺ τὸ πλῆθος*] *Πολλῇ γὰρ χρηστότητι ὁ κύριος ἐχρήσατο εἰς τοὺς Ἰουδαίους (ἐχαρίσατο Ἰουδαίοις), μακροθυμῶν ἐπ' αὐτούς, ὡς καὶ λέγει· πάτερ, ἄφες αὐτοῖς· οὐ γὰρ οἴδασι, τί ποιοῦσι.*

ἧς ἔκρυψας] *Ἀπέκρυψε (ἐπέκρυψε) γὰρ ὁ κύριος τὴν χρηστότητα ἀπὸ τῶν Ἰουδαίων καὶ ἐπήγαγεν αὐτὴν ἐπὶ τὰ ἔθνη.*

ἐξειργάσω] *Τουτέστιν παρέσχε τοῖς ἔθνεσι τὴν δωρεὰν τῆς χάριτος· τὰ ἔθνη γὰρ ἤλπισαν ἐν ἀληθείᾳ ἐπὶ τὸν κύριον.*

---

[1] V.: *Πάλιν ὁ Ἀδὰμ λέγει· κύριε, μὴ αἰσχυνθῶ, ὀνειδιζόμενος ὑπὸ τῶν δαιμόνων.*

ἐναντίον] *Κατ' ὀφθαλμοὺς τῶν Ἰουδαίων ἐσώθησαν τὰ ἔθνη. ἀνθρώπους λέγει Ἰουδαίους ὡς νομομαθεῖς, τὰ δὲ ἔθνη ἦσαν ὡς κτήνη.*

21. *κατακρύψεις*] *Ἔκρυψε γὰρ τὰ ἔθνη ὁ θεὸς ἐν τῷ φωτὶ τοῦ προσώπου αὐτοῦ.*

ἀπὸ ταραχῆς] *Τῷ γὰρ θορύβῳ τῶν Ἰουδαίων τὰ ἔθνη οὐκ ἐκοινώνησαν (ἐπεκοινώνησαν).*

σκεπάσεις] *Ἐν τῇ σαρκὶ γὰρ τοῦ Χριστοῦ (κυρίου) ἐσκέπετο ἡ θεότης, μὴ ὁρωμένη ὀφθαλμοῖς σαρκός, μάλιστα τοῖς ἀντιλέγουσιν Ἰουδαίοις.*

22. *εὐλογητὸς κύριος*] *Ἐν τῇ γὰρ περιοχῇ τῆς πόλεως Ἱερουσαλήμ, τουτέστιν ἔξωθεν τῆς πόλεως ἐπράχθη ἡ σωτηρία ⟨τῶν ἀνθρώπων⟩, ἐν ᾗ ἐθαυμαστώθη ὁ ἄνθρωπος ἐλεηθείς.*

23. *ἐγὼ δὲ εἶπα*] *Ἐνόμισαν γὰρ ὡς ἐν ἐκστάσει γεγονότες οἱ ἄπιστοι, ὅτι ὡς ἄνθρωπος ψιλὸς παρεδόθη ὁ κυριακὸς ἄνθρωπος καὶ οὐ ζῇ.*

διὰ τοῦτο εἰσήκουσας] *Ὅταν ἐπὶ τοῦ σταυροῦ ἐβόησεν ὁ Χριστός· ἐλωεί, ἐλωεί, τότε τοῦ Ἀδὰμ προσεδέχθη (προσηνέχθη) ἡ προσευχὴ (δέησις) ὑπὸ τοῦ Χριστοῦ καὶ θεοῦ.*

24. *ἀγαπήσατε*] *Τότε γὰρ πάντες οἱ ἅγιοι προσέδραμον τῷ Χριστῷ ἐν ἀγάπῃ καὶ μένουσι διηνεκῶς.*

ὅτι ἀληθείας ἐκζητεῖ] *Ὡς ἀληθινὸς τοὺς ἐν ἀληθείᾳ προσκυνοῦντας αὐτὸν προσίεται.*

καὶ ἀνταποδίδωσιν] *Ἕλλησί τε καὶ Ἰουδαίοις, οἵτινες ἐπιμένουσι τῇ ἀπιστίᾳ.*

25. *ἀνδρίζεσθε*] *Τουτέστιν ἀνδρεῖον φρόνημα ἀναλάβετε [πάντες] οἱ πιστοί, μηκέτι περιφερόμενοι παντὶ ἀνέμῳ.*

XXXI.

Συνέσεως τῷ (τοῦ) Δαυίδ] *Συνετίζει, τουτέστιν διδάσκει ὁ προφήτης τὰ μέλλοντα, καὶ περὶ τοῦ βαπτίσματος καὶ τῶν δι' αὐτοῦ σωζομένων (τοὺς δι' αὐτοῦ σωζομένους).*

1. *Μακάριοι*] *Λέγει τοὺς σωζομένους διὰ τοῦ βαπτίσματος, μακαρίζων αὐτούς.*

2. *μακάριος ἀνήρ*] *Λέγει τὸν κυριακὸν ἄνθρωπον, ὃν ἀνέλαβεν ὁ Χριστός· αὐτῷ γὰρ [καὶ] μόνῳ ἁμαρτία οὐχ εὑρέθη.*

οὐδέ ἐστιν] *Τοῦ Χριστοῦ καὶ θεοῦ. περὶ γὰρ αὐτοῦ γέγραπται· καὶ οὐχ εὑρέθη δόλος ἐν τῷ στόματι αὐτοῦ.*

3. *ὅτι ἐσίγησα*] *Τοῦ Ἀδάμ· πολλοῖς γὰρ χρόνοις συνεσάπησαν (κατεσάπησαν) τῇ ἁμαρτίᾳ, ἀλλ' ὁ Χριστὸς ὑπὲρ αὐτοῦ ἀπέθανε καὶ ἀνέστησεν αὐτόν.*

ἀπὸ τοῦ κράζειν] *Ὅλην [γὰρ] τὴν ἡμέραν ἐπὶ τοῦ σταυροῦ ἐκτεταμένος ἦν ὁ Χριστὸς (κύριος) διὰ τὸν Ἀδάμ.*

4. ὅτι ἡμέρας καὶ νυκτός] Νυκτὸς γὰρ παρεδόθη ὁ κύριος, ἡμέρας δὲ ἐσταυρώθη. ἃ γὰρ ὤφειλεν ὁ Ἀδάμ, ὁ Χριστὸς ἀποδίδωσιν.

ἐστράφην] Ὅταν ἤκουσεν ὁ Ἀδὰμ παρὰ τοῦ θεοῦ· ἀκάνθας καὶ τριβόλους ἀνατελεῖ σοι ἡ γῆ. ταύτας δὲ ἐπυρπόλησεν ὁ Χριστός, φορέσας τὸν ἀκάνθινον στέφανον.

5. τὴν ἀνομίαν] Ὧδε ὁ προφήτης ἀποδύρεται· λέγει γὰρ ἀνομίαν τὸν φόνον καὶ ἁμαρτίαν τὴν μοιχείαν. οὔτε οὖν ταύτην ἔκρυψεν ἐξομολογησάμενος οὔτε ἐκείνην.

εἶπα· ἐξαγορεύσω] Εἰπὼν ὁ Δαυίδ· ἡμάρτηκα τῷ κυρίῳ.

καὶ σὺ ἀφῆκας] Εἰπόντος τοῦ Ναθάν·[1] καὶ κύριος ἀφῆκε (ἀφεῖλεν) τὸ ἁμάρτημά σου. συντόμως γὰρ ἐξωμολογήσατο, συντομώτερον δὲ ἐδέξατο τὴν ἄφεσιν παρὰ τοῦ συμπαθοῦς.

Διάψαλμα· ἐναλλαγὴ τοῦ λόγου (μεταβολὴ τῆς προφητείας καὶ ἀνοχὴ τοῦ πατρός).

6. ὑπὲρ ταύτης] Ὑπὲρ τῆς ἐμοί, φησί, συγχωρηθείσης ἁμαρτίας ἕκαστος τῶν ὁσίων σου εὔχεται. δύο διὰ τούτων σημαίνεται· ἢ ὅτι ὑπόδειγμα πᾶσι μετανοίας ἔσομαι, ἢ προφητικώτερον· διὰ τὸ ἐξ αὐτοῦ τοῦ προσώπου (προφήτου) Δαυὶδ πάντα τὰ ἔθνη ἐξομολογεῖσθαι ὑπὲρ ἁμαρτιῶν (τῆς ἁμαρτίας) αὐτῶν.[2]

πλὴν ἐν κατακλυσμῷ] Τὸν μετανοοῦντα, φησί, πλῆθος πειρασμῶν οὐκ ἐπικλύσει, ἄλλως τε οὐδ' ἐν τῇ καταβάσει τοῦ ἀνθρώπου ἐν τῷ βαπτίσματι δύνανται ἔτι προσεγγίσαι αὐτῷ οἱ δαίμονες. ὑδάτων δὲ πολλῶν λέγει τῶν τοῦ βαπτίσματος, ὡς πολλὰ ὄντα καὶ πανταχοῦ ἐπὶ τῆς γῆς. κατακλυσμὸν δὲ αὐτὰ καλεῖ, ὡς κατακλύσαντα τὴν ἁμαρτίαν.[3]

7. σύ μου εἶ καταφυγή] Ἐν πολλῇ γὰρ θλίψει καὶ [πολλῇ] στενοχωρίᾳ ὑπῆρχεν ὁ Ἀδάμ, τῇ παραβάσει κρατούμενος καὶ ὑπὸ τῶν δαιμόνων καταπιεζόμενος. λέγει δὲ καὶ τὸν ἐξ ἐθνῶν λαόν· καὶ αὐτὸς γὰρ συνείχετο τῇ πλάνῃ τῶν εἰδώλων, καταβὰς δὲ ἐξ οὐρανοῦ, ὁ Χριστός ὃν μὲν ἀνεκαλέσατο, ὃν δὲ ἐπέστρεψεν, ὡς θεὸς συμπαθής.[4]

τὸ ἀγαλλίαμά μου] Ὁ υἱὸς πρὸς τὸν πατέρα[5], ὅταν ἐπὶ τοῦ σταυροῦ

---

[1] V. hucusque sic: Εἰπόντος ὁ Δαυὶδ τοῦ Ναθὰν λέγει . . .

[2] Ven.: Ὑπὲρ τῆς ἁμαρτίας προσεύχεται πᾶς ἄνθρωπος ἐν καιρῷ (A. add. εὐθέτῳ), μάλιστα ὅταν ἄνεσιν τῶν κακῶν εὕρῃ ὁ ἄνθρωπος. λέγει δὲ τὸν καιρὸν τοῦ βαπτίσματος.

[3] Ven. pro lectione V. praebet haec: Ἐν γὰρ τῷ καιρῷ τοῦ βαπτίσματος κατακλυζομένης τῆς ἁμαρτίας καὶ τῶν δαιμόνων οὐκέτι δύνανται ἐγγίζειν τῷ ἀνθρώπῳ. A. habet haec, sed adiungit etiam Vindob. textum.

[4] Nan. εἰδώλων ὧν καταβ. ἐξ οὐρ. ὁ Χ., ὧν ἀνεκαλ , ὧν ἐπέστρ . . . . Sed Ven. pro hac lectione praebet aliam, quae sic habet: Ὁ ἄνθρωπος κέκραγε πρὸς τὸν Χριστὸν μετὰ τὴν ἄφεσιν εὐχαριστῶν. αὐτὸς γὰρ ἐρρύσατο ἡμᾶς ἐκ τῆς θλίψεως τῶν ἁμαρτιῶν, χαρισάμενος ἡμῖν τὸ λουτρὸν τῆς ἀφθαρσίας. Haec habet etiam A, sed adiunxit textum Vindob.

[5] Ven. continuat sic: λέγει, ὡς δεόμενος βεβαιῶν τὴν ἐνανθρώπησιν· ἀγαλλίασμα γὰρ τοῦ υἱοῦ ὁ πατήρ.

ἐκύκλωσαν αὐτὸν οἱ Ἰουδαῖοι. ταῦτα δὲ λέγει ὁ Χριστὸς ἐκ προσώπου τοῦ Ἀδάμ· ἐκύκλωσαν γὰρ αὐτὸν [οἱ δαίμονες] λέγοντες· ποῦ ἐστιν ὁ θεός σου;

Διάψαλμα· ἐναλλαγὴ τοῦ λόγου.

8. συνετιῶ] Ὁ Χριστὸς πρὸς τὸν ἄνθρωπον, διδάξας αὐτὸν τὰ νόμιμα τῆς χάριτος καὶ τῇ ὁδῷ τοῦ εὐαγγελίου ἐγκαταστήσας (καταστήσας).

ἐπιστηριῶ] Ἀφ' οὗ γὰρ ἀνέλαβε τὸν ἄνθρωπον, ἀποθέσθαι αὐτὸν οὐκέτι δύναται, τουτέστιν ἀποστρέψαι τοὺς ὀφθαλμούς μου ἀπ' αὐτοῦ οὐ δύναμαι, ἡνωμένης ἐν αὐτῷ τῆς θεότητος [οὔσης].

9. μὴ γίνεσθε] Πρὸς Ἰουδαίους φησὶν (ἐστὶν) ὁ λόγος· διὰ τί μαίνεσθε ὡς τὰ κτήνη τὰ μὴ ἔχοντα σύνεσιν;

ἐν χαλινῷ καὶ κημῷ] Τῶν Ἰουδαίων ὡς κτηνωδῶν· κημὸς γὰρ αὐτῶν ἐγένετο (ἐστιν) ὁ σταυρὸς καὶ χαλινὸς τὸ εὐαγγέλιον, καὶ ἐκ πάντων ἐκημώθησαν ὡς βλάσφημοι τοῦ διαβόλου.

10. πολλαὶ αἱ μάστιγες] Ἀφ οὗ[1] γὰρ ὁ Χριστὸς ἦλθεν ἐπὶ γῆς, πολλὰς ἐδέξατο μάστιγας· ὅσα γὰρ ἐπενόησε κατὰ τοῦ Χριστοῦ, καθ' ἑαυτοῦ ἐποίησεν.

τὸν δὲ ἐλπίζοντα] Τὸν Χριστὸν γὰρ οὐκ ἠδίκησε (ἐνίκησε) πᾶσα ἡ ἐπίνοια τοῦ διαβόλου· τὸ ἔλεος γὰρ καὶ ἡ ἀλήθεια κύκλῳ αὐτοῦ καὶ παντὸς ἀνθρώπου, τοῦ φοβουμένου τὸν κύριον ἐν ἀληθείᾳ.

11. εὐφράνθητε] Χριστοῦ (θεοῦ) γὰρ ἀναστάντος ἐκ νεκρῶν πάντες ἐν εὐφροσύνῃ καὶ ἀγαλλιάσει οἱ πιστοὶ [γίνονται].

καὶ καυχᾶσθε] Πάντων γὰρ καύχημα τῶν ἁγίων [καὶ τῶν πιστῶν χριστιανῶν] τοῦ Χριστοῦ ἡ ἀνάστασις.

XXXII.

Ψαλμὸς τῷ Δαυίδ] Ἀνεπίγραφος παρ' Ἑβραίοις τῷ Δαυὶδ ἐδόθη ἡ προφητεία τῆς θεολογίας, σημαίνουσα τὰ περὶ [τοῦ Χριστοῦ καὶ] τῶν σωζομένων.

1. Ἀγαλλιᾶσθε] Λέγει τὰς ψυχὰς τῶν δικαίων (ἁγίων), ὅσαι συνανέστησαν (συνανέβησαν) τῷ Χριστῷ· αὗται μόναι πρὸς ἀλήθειαν ἠγαλλιάσαντο, ῥυσθεῖσαι τῶν δεσμῶν.

τοῖς εὐθέσι] Τότε γὰρ τὸν ἔπαινον οἱ εὐθεῖς τῇ καρδίᾳ ἔλαβον παρὰ θεοῦ.

2. ἐξομολογεῖσθε] Τουτέστιν ἀπὸ καρδίας ποιεῖσθε τὴν ἐξομολόγησιν· κιθάρα γὰρ τῆς ψυχῆς ἡ καρδία, τίκτουσα τὴν φρόνησιν (ὄσφρησιν), ὡς ἡ κιθάρα τοὺς φθόγγους.

ἐν ψαλτηρίῳ] Δεκάχορδος[2] οὖν ἔστω ἡ καρδία, τουτέστιν ταῖς δέκα

[1] In Ven. et A. praecedunt verba *Τοῦ διαβόλου.*

[2] V. N. praeced. *Χορδαὶ λέγονται αἱ νευραὶ τῆς κιθάρας*, deinde cont. sic: δεκά-

ἐντολαῖς νενευρωμένη, ὅ ἐστι δεκάλογος. λέγονται δὲ καὶ οἱ δέκα δάκτυλοι χορδαί, δι' ὧν κρατεῖται τὸ ψαλτήριον.

3. ᾄσατε αὐτῷ] [*Τὸ καινὸν ᾆσμα,*] *τουτέστιν τὴν νέαν δοξολογίαν, τὴν ἀπὸ Χριστοῦ καταβάσεως ᾀδομένην ὑπὸ τῶν πιστῶν.*

καλῶς ψάλατε] *Τουτέστιν μετὰ συνέσεως καὶ φόβου θεοῦ καὶ φωνῆς* [*φοβουμένης τὸν κύριον*].

4. ὅτι εὐθής] *Ὁ Χριστὸς ὡς ἀληθὴς λόγος τοῦ πατρός (σωτῆρος).*

καὶ πάντα τὰ ἔργα] *Πάντα γὰρ τὰ διὰ τοῦ λόγου καὶ θεοῦ πίστει κρατεῖται, ὡς μεγάλα καὶ ἀνεξιχνίαστα.*

5. ἀγαπᾷ] *Διὰ τοῦτο γὰρ παρεγένετο, ὅπως ἔλεος καὶ κρίσιν παράσχῃ (παράγῃ) τῷ γένει τῶν ἀνθρώπων· κρίσις γάρ ἐστιν ἡ ἀλήθεια.*

τοῦ ἐλέους] *Ὁ (ὡς) θεὸς γὰρ ἐπλήρωσε τοῦ ἐλέους αὐτοῦ πᾶσαν τὴν γῆν, πατήσας αὐτήν.*

6. τῷ λόγῳ] *Διὰ γὰρ τοῦ Χριστοῦ ἐγένετο τὰ σύμπαντα καὶ αἱ δυνάμεις τῶν οὐρανῶν, ὡς ἐν τῷ πατρὶ ὢν (ὄντος) καὶ σὺν τῷ πατρί.*

καὶ τῷ πνεύματι] *Εἶπε γὰρ λόγῳ καὶ ἐγενήθησαν.*

7. συνάγων] *Αὐτὸς γὰρ ποιεῖ ἐγκυμονεῖν τὰς νεφέλας ἐκ τῆς θαλάσσης τὰ ὕδατα ὡς ἀσκούς· νόει δὲ τὸ βάπτισμα, πῶς κατὰ πᾶσαν τὴν οἰκουμένην συνίσταται* [*καθὼς καὶ*] *τῷ νεύματι τοῦ θεοῦ συνεχόμενα τὰ ὕδατα.*

τιθεὶς ἐν θησαυροῖς] *Θησαυροὶ τὸ βάπτισμα, ὡς ἐν αὐτῷ ἀποκείμενα τὰ ἀκατάληπτα μυστήρια (τὸ ἀκατάληπτον μυστήριον)· ἄβυσσος δὲ ὡς ἀμέτρητον (ἀμέτρητα).*

8. φοβηθήτω] *Πᾶν τὸ γήϊνον φρόνημα φοβηθήτω τὸν κύριον, ὡς ἐν αὐτῷ καταργούμενον.*

ἀπ' αὐτοῦ δέ] *Οἱ κατὰ πᾶσαν τὴν οἰκουμένην εὑρισκόμενοι δαίμονες ὑπὸ τοῦ βαπτίσματος διώκονται. διὸ λέγει· σαλευθήτωσαν.*

9. ὅτι αὐτὸς εἶπεν] *Τὰ ὕδατα ἐν ὅλῃ τῇ οἰκουμένῃ (κτίσει).*

αὐτὸς ἐνετείλατο] *Τὰ βαπτίσματα καθ' ὅλης τῆς οἰκουμένης (ὅλην τὴν οἰκουμένην).*

10. κύριος διασκεδάζει] *Τὰς τῶν δαιμόνων ἐνεργείας.*

ἀθετεῖ] *Τῶν ἰουδαικῶν λαῶν καὶ ἀρχόντων ὡς κακὰ (κακῶς) βουλευσαμένων.*

11. ἡ δὲ βουλή] *Ἃ γὰρ ἐβουλεύσατο ὁ Χριστός, ἔπραξε τὴν σωτηρίαν τοῦ ἀνθρώπου καὶ μένει εἰς τὸν αἰῶνα.*

λογισμοί] *Πάλαι γὰρ καὶ πρόπαλαι ἐβουλεύσατο τὸ μυστήριον τοῦτο πρᾶξαι.*

12. μακάριον τὸ ἔθνος] *Ὁ λαὸς ὁ πιστός, ὁ ἐξ ἐθνῶν, πιστεύσας.*

λαὸς ὃν ἐξελέξατο] *Ὡσαύτως ὁ ἐξ ἐθνῶν* [*πιστεύσας λαός*]· *αὐτὸν*

χορδοι. ὅ ἐστιν ἡ δεκάλογος. λέγονται κτλ., A. legit haec: *δεκάχορδος οὖν νοητὴ καρδία τουτέστι ταῖς δέκα ἐντολαῖς νευρουμένη. ὅ ἐστι δεκάλογος. λέγονται κτλ.*

γὰρ ἐξελέξατο πλανώμενον, περὶ οὗ λέγει λαὸν περιούσιον.

13. ἐξ οὐρανοῦ] Ἐπέβλεψε γὰρ καὶ σπλαγχνισθεὶς ἐπὶ τὸν ἄνθρωπον παρεγένετο ἐξ οὐρανοῦ.

εἶδεν πάντας] Ὡς θεὸς πάντας ἐπεσκέψατο.

14. ἐξ ἑτοίμου] Ἐκ τῶν κόλπων τῶν πατρῴων.

ἐπέβλεψεν] Πάντας [γὰρ] ἀνθρώπους πρὸς ἀριθμὸν ἐπίσταται ὁ (ὡς) θεός.

15. ὁ πλάσας] Ἑνὶ ἑκάστῳ καρδίαν μίαν καταπιστεύσας.

ὁ συνιείς] Ὡς θεὸς γὰρ πάντων τὰς ἐνθυμήσεις ἐπίσταται καὶ τὰ ἔργα ὁρᾷ.

16. οὐ σώζεται] Ὁ διάβολος· ἐδόκει γὰρ βασιλεύειν τῆς ἀνθρωπότητος, ἐπαγγελλόμενος δύναμιν πᾶσιν· οὔτε δὲ ἑαυτὸν ἔσωσε, οὔτε τοὺς πιστεύσαντας αὐτῷ.

καὶ γίγας] Ὁ αὐτός· ἔλεγε γάρ, ὅτι ὑπεράνω τῶν ἄστρων θήσω τὸν θρόνον μου, πέπτωκε δέ. τοῦτο δὲ καὶ ἐπὶ τοῦ Γολιὰθ ἐπληρώθη.

17. ψευδὴς ἵππος] Τὸν διάβολον λέγει, ὡς ἱππεύοντα κατὰ πᾶσαν τὴν οἰκουμένην καὶ κατὰ πάντων χρεμετίζοντα· ἐψεύσατο γὰρ πάντας τοὺς πιστεύοντας αὐτῷ.

ἐν δὲ πλήθει] Πολλὴ γὰρ αὐτοῦ ἡ δυναστεία, ἀλλὰ ματαία.

18. ἰδοὺ οἱ ὀφθαλμοί] Ἐπὶ τοὺς δικαίους πάντας, τοὺς πιστεύσαντας εἰς αὐτὸν καὶ φοβουμένους αὐτόν.[1]

τοὺς ἐλπίζοντας] Δίκαιοι πάντες καὶ μάρτυρες, ὅσοι ἀκριβῶς καὶ ἀληθινῶς ἤλπισαν ἐπ' αὐτόν.

19. ῥύσασθαι ἐκ θανάτου] Τοῦ αἰσθητοῦ θανάτου καὶ νοητοῦ τῆς ἁμαρτίας.

καὶ διαθρέψαι] Αἰσθητῷ καὶ νοητῷ.

20. ἡ ψυχὴ ἡμῶν] Τῶν μαρτύρων καὶ [πάντων] ὅσοι διὰ Χριστὸν θλίβονται.

ὅτι βοηθός] Δῆλον ὁ Χριστὸς τῶν δικαίων.

21. ὅτι ἐν αὐτῷ] Ὡς τὸν μισθὸν ἄξιον [τοῦ κόπου] λαμβάνοντες οἱ δίκαιοι.

καὶ ἐν τῷ ὀνόματι] Οἱ ἅγιοι ὡς τῇ ἐλπίδι σωθέντες.

22. γένοιτο τὸ ἔλεος] Οἱ δίκαιοι μετὰ παρρησίας τὸν μισθὸν ἀπαιτοῦντες τοῦ κόπου τῆς ζωῆς.

XXXIII.

Ψαλμὸς τῷ Δαυίδ, ὅποτε ἠλλοίωσεν . . . .] Σημαίνει ὁ Δαυὶδ τοὺς μέλλοντας σώζεσθαι, ὡς αὐτὸς δι' ἐπινοίας σωθείς. οὗτος γὰρ ὁ ψαλμὸς ὅλος διδασκαλίας πεπλήρωται καὶ προτροπῆς τοῖς εἰς θεοσέβειαν

[1] V.: Τοὺς ἐλπίζοντας ἐπὶ κύριον καὶ φοβουμένους αὐτόν. A.: ἐπὶ πάντας τοὺς δικαίους, τοὺς πιστεύσαντας ἐπ' αὐτὸν καὶ φοβουμένους αὐτόν.

ἀγωνιζομένοις, καὶ περὶ τοῦ βαπτίσματος.

2. εὐλογήσω] Οὐ τινὰ καιρόν, ἀλλὰ πάντοτε οἱ κατὰ θεὸν ζῶντες εὐλογοῦντες οὐ παύονται.

διὰ παντός] Νυκτὸς γὰρ καὶ ἡμέρας οὐ παύονται οἱ δίκαιοι ⟨πιστοὶ⟩ ἀκαταπαύστως τὸν θεὸν ὑμνεῖν (οἱ δίκαιοι οὐ παύονται αἰνοῦντες ἀκαταπαύστως τὸν θεόν).

3. ἐν τῷ κυρίῳ] Τὸν ἔπαινον ἀπὸ θεοῦ λαμβάνουσα πᾶσα ἡ ψυχή, καθαρῶς βιοῦσα (βιώσασα).

ἀκουσάτωσαν] Ὅσοι νηπιάζοντες (νηπιαζούσῃ) τῇ ψυχῇ ἐπολιτεύσαντο, οὗτοι ἀκούσαντες τοῦ θεοῦ λέγοντος· ἐπὶ τίνα (τίνι) ἀναπαύσομαι (ἐπαναπαύσομαι), ἀλλ' ἢ ἐπὶ τὸν πρᾶον καὶ ἥσυχον (ἡσύχιον), εὐφραίνονται τῇ ἐλπίδι νευρούμενοι.

4. μεγαλύνατε] Ὁ προφήτης προτρέπει τοὺς πιστούς.[1]

καὶ ὑψώσωμεν] Συμφώνως γὰρ οἱ δίκαιοι μεγαλύνουσι, δοξάζοντες τὸ ὄνομα τοῦ θεοῦ ἐπὶ τὸ αὐτό, τουτέστι καθ' ἑκάστην ἡμέραν.

5. ἐξεζήτησα] Ἐκ προσώπου τοῦ ἀνθρώπου ὁ κύριος βοᾷ πρὸς τὸν πατέρα, τύπος γινόμενος τοῖς πιστοῖς.

καὶ ἐκ πασῶν] Τοὺς μετὰ πίστεως καὶ φόβου θεοῦ ἐπικαλουμένους ῥύεται (ῥύσεται) ἐκ πάσης θλίψεως.

6. προσέλθατε] Προτροπὴ τοῦ ἁγίου πνεύματος ἐπὶ τὸ βάπτισμα.

καὶ τὰ πρόσωπα] Τίς γὰρ ἐπίστευσε τῷ κυρίῳ καὶ κατῃσχύνθη; ὅσοι γὰρ λάβωσι τὸ βάπτισμα, ἐν ἐκείνῃ τῇ ἡμέρᾳ οὐ καταισχυνθήσονται.

7. οὗτος ὁ πτωχός] Ὁ Χριστὸς ἐπὶ τοῦ σταυροῦ· ἑκουσίως γὰρ ἐπτώχευσε, πλούσιος ὤν.

καὶ ὁ κύριος εἰσήκουσεν] Ὁ πατὴρ [εἰσήκουσε] τοῦ υἱοῦ εἰπόντος· πάτερ, δόξασόν με. φησὶ γάρ· καὶ ἐδόξασα καὶ πάλιν δοξάσω.

καὶ ἐκ πασῶν] Ὧν ἐπήγαγον αὐτῷ οἱ Ἰουδαῖοι, ὡς ἐδόκουν· ἐκ πασῶν δὲ ἐλεύθερος ἦν ὡς (ὁ) θεός.

8. παρεμβαλεῖ] Τότε μὲν ἐπὶ τοῦ Ἰσραὴλ ἐν τοῖς πολέμοις· νῦν δὲ ἐπὶ τοὺς πιστοὺς (μετὰ τῶν πιστῶν) ὁ Χριστός, ὡς μεγάλης βουλῆς ἄγγελος.

9. γεύσασθε] [Προτροπὴ (προτρέπει) εἰς θεοσέβειαν]· καὶ περὶ τῆς μεταλήψεως τοῦ σώματος καὶ αἵματος τοῦ Χριστοῦ.

μακάριος ἀνήρ] Ὅσοι ἐγεύσαντο τῶν θείων μυστηρίων καὶ μένουσιν ἐν αὐτοῖς ἀκλινεῖς.

10. φωβήθητε] Οἱ δίκαιοι· αὐτοὶ γὰρ πρὸς ἀλήθειαν φοβοῦνται τὸν κύριον.

ὅτι οὐκ ἔστιν] Τοῖς γὰρ ζητοῦσι τὸν κύριον (θεόν), οὐχ ὑστερήσει (ὑστερεῖ) αὐτοὺς τῶν ἀγαθῶν ὁ θεός (αὐτῶν τὰ ἀγαθὰ ὁ θεός).

11. πλούσιοι] Οἱ Ἰουδαῖοι ἐκπεσόντες πάντων τῶν νομίμων· ἀπ-

[1] V.: Ὁ προφήτης προσεύχεται, μᾶλλον προτρέπει τοὺς πιστούς, Ven.: Ὁ προφήτης προτρέπεται τοῖς πιστοῖς.

ἀρχῶν, θυσιῶν, προσφορῶν [καὶ τῶν λοιπῶν ἐπτώχευσαν καὶ ἐπείνασαν].[1]

οἱ δὲ ἐκζητοῦντες] Οἱ ἐξ ἐθνῶν ἐπιστρέψαντες (πιστεύσαντες)· αὐτοῖς γὰρ ἐδόθη [ὅλος] ὁ πλοῦτος τῆς χάριτος.

Διάψαλμα· μεταφορὰ τῆς προφητείας.

12. δεῦτε, τέκνα] Ὁ Χριστὸς φησὶ τοῖς ἀποστόλοις· αὐτοῖς γὰρ ἐνεπίστευσε τὰ ἔνδοξα μυστήρια τοῦ πατρός.

13. τίς ἐστιν ἄνθρωπος] Ὁ Χριστὸς ὡς κύριος τῶν φοβερῶν ἡμερῶν ἐκείνων, ἐν αἷς ἀπόκεινται οἱ θησαυροὶ τῆς χάριτος.

14. παῦσον] Ὁ Χριστός· αὐτοῦ γὰρ ἡ γλῶσσα ἀμιγὴς κακοῦ καὶ χείλη μὴ λαλοῦντα (λαλήσαντα) δόλον πρὸς ἀλήθειαν.

15. ἔκκλινον] Λέγει παντὶ ἀνθρώπῳ, τῷ κατὰ θεὸν ἀγωνιζομένῳ.

ζήτησον] Τουτέστιν ζήτησον καὶ εὑρὼν μὴ ἀποστῇς, ἀλλ' ἀκολούθει αὐτῇ· ἔστι γὰρ ὁ Χριστὸς εἰρήνη.

16. ὅτι ὀφθαλμοί] Τῶν γὰρ δικαίων πάντων οὐ χωρίζεται ὁ θεός, ἀλλ' οἱ ὀφθαλμοὶ αὐτοῦ ἐστηριγμένοι τυγχάνουσι (ἐστήρικται) ἐπ' αὐτούς, [καὶ τὰ ὦτα αὐτοῦ κέκλιται πρὸς αὐτούς].

17. πρόσωπον] Ἐπὶ τοὺς δαίμονας· αὐτοὶ γὰρ τὴν οἰκουμένην κακῶν ἐπλήρωσαν, καὶ ἐπὶ πάντας τοὺς ζητοῦντας αὐτούς.

τοῦ ἐξολεθρεῦσαι] Οὔτε γὰρ ἔτι ἐπὶ γῆς ἐξουσιάζουσιν, ἐν τῷ ἀέρι δὲ πέτονται μόνον.

18. ἐκέκραξαν] Οἱ γὰρ ἀληθῶς δίκαιοι διὰ παντὸς κεκράγασι πρὸς τὸν θεόν.

καὶ ἐκ πασῶν] Οὔτε γὰρ δίχα θλίψεως οἱ ἅγιοι (δίκαιοι) ἐπολιτεύσαντο (διὰ θλίψεως γὰρ οἱ ἅγιοι ἐπολιτεύσαντο) ἐπὶ τῆς γῆς, ἐκ πασῶν δὲ ἐρρύσθησαν.

19. ἐγγὺς κύριος] Ἐκείνους λέγει, περὶ ὧν ὁ Χριστὸς φησί· μακάριοι οἱ πτωχοὶ τῷ πνεύματι, ὅτι αὐτῶν ἐστιν ἡ βασιλεία τῶν οὐρανῶν.

20. πολλαὶ αἱ θλίψεις] Περὶ γὰρ αὐτῶν εἴρηται· ἐπ' ἐρημίαις πλανώμενοι καὶ ὄρεσι καὶ σπηλαίοις καὶ ἐν ταῖς ὀπαῖς τῆς γῆς ὑστερούμενοι, ⟨θλιβόμενοι⟩, κακουχούμενοι.

καὶ ἐκ πασῶν] Λέγει δὲ καὶ τοὺς μάρτυρας· οὗτοι γὰρ πᾶσαν θλῖψιν ἀπέθεντο, στεφανωθέντες ὑπὸ θεοῦ.

21. κύριος φυλάσσει] Δῆλον ὡς ὑπὸ θεοῦ φυλαττόμενοι.

22. θάνατος] Τῶν Ἰουδαίων· δῆλον ὅτι τῷ θανάτῳ τῆς ἀπιστίας ἀπέθανον, οὗ οὐδὲν πονηρότερον.

καὶ οἱ μισοῦντες] Μισήσαντες (μισοῦντες) τὸν [ὄντως] δίκαιον καὶ δικαιοῦντες τὸν ἀσεβῆ· εἰσὶν δὲ οἱ Ἰουδαίων παῖδες.

---

[1] Uncis inclusa verba non nisi in V. leguntur, absunt in Nan. Ven. A.

23. λυτρώσεται] Ἐκ τοῦ θανάτου τῆς ἀπιστίας.

καὶ οὐ μὴ πλημμελήσουσιν] Οὐ μὴ περιπέσωσι, τουτέστιν τῇ δυσσεβείᾳ τῆς ἀπιστίας, ὅ ἐστι πλημμέλεια μεγάλη.

XXXIV.

Ψαλμὸς τῷ Δαυίδ] Τουτέστιν τῷ Χριστῷ· εἰς αὐτὸν γὰρ καὶ περὶ αὐτοῦ ὅλος ὁ ψαλμὸς κεῖται καὶ περὶ τοῦ πάθους [αὐτοῦ].

1. Δίκασον, κύριε] Εὐεργετούμενοι [γὰρ] οἱ Ἰουδαῖοι ὑπὸ τοῦ Χριστοῦ εἰς ἀδικίαν ἐτράπησαν, πόλεμον κατὰ τοῦ κυρίου κινήσαντες, καθάπερ καὶ οἱ δαίμονες τῷ Ἀδάμ. διὰ τοῦτο πρὸς τὸν πατέρα βοᾷ.

2. ἐπιλαβοῦ ὅπλου] Ὁ Ἀδὰμ φησὶ πρὸς τὸν κύριον· ἐπιλαβοῦ ὅπλου τοῦ σταυροῦ καὶ θυρεοῦ τῆς ἀναστάσεως καὶ βοήθησόν μοι. διὰ τούτων γὰρ ἐπολέμησε τὸν διάβολον καὶ ἔσωσε τὸν ἄνθρωπον.

3. ἔκχεον ῥομφαίαν] [Τουτέστιν] φανέρωσον τὴν δύναμίν σου πᾶσι τοῖς ἐχθροῖς σου· ῥομφαία γὰρ δύναμις ἑρμηνεύεται. φανέρωσον οὖν τὴν δύναμίν σου καὶ χαλίνωσον τούτων τὰς ὁρμάς, ἐκείνων τὰς ἐπιβουλάς· ἑκάτερα γὰρ οἱ δαίμονες ποιοῦσι κατὰ τοῦ ἀνθρώπου.

εἶπον τῇ ψυχῇ] Τοῦτο ἡ θεότης λέγει τῷ κυριακῷ ἀνθρώπῳ, ὃν ἀνέλαβεν οἰκονομικῶς, ὅ ἐστι τῷ (ὁ) Ἀδάμ.

4. αἰσχυνθείησαν] Οἱ Ἰουδαίων παῖδες· αὐτοὶ γὰρ ἐμελέτησαν τὸν θάνατον τοῦ σωτῆρος.

ἀποστραφείησαν] Ἀπεστράφησαν γὰρ εἰς τὰ ὀπίσω κατῃσχυμμένοι (καταισχυνόμενοι) οἱ Ἰουδαῖοι, λογισάμενοι κατὰ τοῦ Χριστοῦ τὰ δεσμὰ καὶ τὸν σταυρόν.

5. γενηθήτωσαν] Ὥσπερ γὰρ τὸν χνοῦν σκορπίζει ὁ ἄνεμος ἐπὶ πρόσωπον τῆς γῆς, οὕτως οἱ Ἰουδαῖοι ἐσκορπίσθησαν ἐπὶ πᾶν τὸ πρόσωπον τῆς γῆς.

καὶ ἄγγελος] Ἄγγελος γὰρ μεγάλης βουλῆς ὁ Χριστός, ἐκθλίβων αὐτοὺς ὁ λόγος, ὃν ἐλάλησεν ὁ Χριστός, καὶ διώξεται αὐτοὺς σκότος.

6. γενηθήτω] Οὐ γὰρ ἔστησαν τὰ διανοήματα αὐτῶν ἐν ταῖς ὁδοῖς αὐτῶν, ἀλλ' ἐν πάσαις ταῖς ὁδοῖς αὐτῶν ἐγενήθη οὐαὶ οὐαί, ὡς γέγραπται.

καὶ ἄγγελος] Ὅτε ἔπεσον τὰ κῶλα αὐτῶν ἐν τῇ ἐρήμῳ· ἐδίωκε γὰρ αὐτοὺς ἡ ῥομφαία, ἡ νοητή.

7. ὅτε δωρεάν] Λέγει τὸν τάφον, ἐν ᾧ, ὡς ἐνόμιζον, ἔμελλε διαφθείρεσθαι ἡ σὰρξ τοῦ κυρίου. αὐτὸς δὲ οὐ διεφθάρη, ὡς θεότητι κατεχόμενος, αὐτοῖς δὲ ἐγενήθη παγὶς ἰσχυρὰ καὶ διέφθειρεν αὐτούς.

μάτην ὠνείδισαν] Λέγοντες· εἰ ἦν ὁ ἄνθρωπος οὗτος παρὰ θεοῦ,

οὐκ ἂν ἔλυε τὸ σάββατον. μάτην δὲ λέγει, ἐπειδὴ αἰτία ἐν αὐτῷ οὐδεμία.

8. ἐλθέτω] *Ὁ σταυρός· ἐν αὐτῷ γὰρ συνετρίβησαν, αὐτοὶ δὲ ἠγνόουν, ὅτι καθ' ἑαυτῶν ἐτεκτόνευσαν τὸν σταυρόν.*

καὶ ἡ θήρα] *Ὁ τάφος ὁ δεσποτικός, ἐν ᾧ ἐνόμιζον κρύπτειν ὡς νεκρὸν τὸν σωτῆρα· ἐν αὐτῷ συνελήφθησαν (οὖν ἐλήφθησαν) ὡς ἐν παγίδι.*

καὶ ἐν τῇ παγίδι] *Παγὶς γὰρ ἀνδρὶ τὰ ἴδια χείλη· θέλοντες γὰρ παγιδεύειν ἐν δόλῳ (λόγῳ) τὸν κύριον, αὐτοὶ ἐπαγιδεύθησαν (ἀντεπαγιδεύθησαν).*

9. ἡ δὲ ψυχή] *Ἡ τοῦ κυριακοῦ ἀνθρώπου ἐν τῇ θεότητι.*

τερφθήσεται] *Ὁ πατὴρ ἐπὶ τῇ σωτηρίᾳ τοῦ υἱοῦ, ἣν ἔπραξεν.*

10. πάντα τὰ ὀστᾶ] *Οἱ πιστοὶ πάντες δοξάζοντες τὸν θεόν, ἐφ' οἷς ἔπραξε. ὀστᾶ γὰρ θεοῦ ὁ ἄνθρωπος, ὃν ἀνέλαβεν.*

ῥυόμενος πτωχόν] *Τὸν Ἀδὰμ ἐκ χειρὸς στερεωτέρων αὐτοῦ τῶν δαιμόνων.*

καὶ πτωχόν] *Ὡσαύτως ἐκ τῶν δαιμόνων (ἀπὸ τῶν δαιμόνων)· αὐτοὶ γὰρ διήρπασαν πάντα τὸν πλοῦτον τοῦ ἀνθρώπου.*

11. ἀναστάντες] *Οἱ Ἰουδαίων παῖδες, ἔλεγον γὰρ πρὸς αὐτόν· κατάβηθι ἐκ (ἀπὸ) τοῦ σταυροῦ καὶ πιστεύσομέν σοι, ὅτι σὺ εἶ ὁ Χριστός. αὐτὸς δὲ καταλιπεῖν τὴν σωτηρίαν οὐκ ἠδύνατο ⟨ἤθελεν⟩.*

12. ἀνταπεδίδοσαν] *Ἐγὼ γὰρ ἐθεράπευον τοὺς ἀῤῥώστους αὐτῶν· αὐτοὶ δὲ ἐβλασφήμουν με (βλασφημοῦσιν ἐμέ).*

καὶ ἀτεκνίαν] *Σφόδρα γὰρ ἤχθοντο ἐπὶ τοῖς πιστεύουσι καὶ ἔσπευδον ἐμποδίζειν.*

13. ἐγὼ δὲ ἐν τῷ] *Λέγει τὰ ἱμάτια, ἅπερ ἐφόρει ὡς θνητὸς ἄνθρωπος διὰ τὴν σάρκα.*

καὶ ἐταπείνουν] *Βεβαιῶν γὰρ τὴν ἐνανθρώπησιν καὶ νηστείας οὐκ ἀπείχετο.*

καὶ ἡ προσευχή] *Τουτέστιν εἰ καὶ ηὐχόμην ὡς ἄνθρωπος, ἀλλ' ἡ εὐχὴ ἐν ἐμοὶ ἦν. θεὸς γὰρ ὤν, ἄλλῳ τινὶ προσεύχεσθαι οὐκ ἠδύνατο.*

14. ὡς πλησίον] *Ὁ Ἰούδας· ἦν γὰρ πλησίον, ὡς ἐγγίζων (ἐγγίζειν), ὡς ἀδελφός, ὡς ἀπόστολος· ἐμελέτησε δὲ τὸν θάνατον τοῦ δεσπότου (κυρίου).*

ὡς πενθῶν] *Ἐχρῆν γὰρ πάντα ποιεῖν, ὅσα τῇ ἐνανθρωπήσει ἐφίετο, ἵνα μὴ σκιὰ νομισθῇ τὸ μυστήριον.*

15. καὶ κατ' ἐμοῦ] *Συστροφὰς γὰρ ἐποίουν (ἐποιοῦντο) καὶ συμπόσια, ἡνίκα κατὰ τοῦ Χριστοῦ ἐβουλεύοντο οἱ Ἰουδαῖοι (συνήχθησαν ἐπιβουλεῦσαι αὐτόν).*

συνήχθησαν] *Οὔτε γὰρ ἔπασχεν ἡ θεότης μαστιζομένου τοῦ ἀνθρώπου.*

διεσχίσθησαν] *Οἱ μὲν γὰρ αὐτῶν ἤθελον ζῆν πιστεύοντες εἰς αὐτόν, οἱ δὲ ἔκραζον· σταυρωθήτω, καὶ οὐδὲ οὕτως κατενύγησαν.*

16. ἐπείρασάν με] Ἔπυπτον γὰρ αὐτὸν καὶ ἔλεγον αὐτῷ· προφήτευσον [ἡμῖν, Χριστέ], τίς ἐστιν ὁ παίσας σε. οἱ δὲ ἐνέπτυον αὐτὸν (αὐτῷ), ἐξουδενοῦντες αὐτόν.

ἔβρυξαν] Ἔτριζον γὰρ τοὺς ὀδόντας κατὰ τοῦ κυρίου οἱ Ἰουδαῖοι, τῷ φθόνῳ καιόμενοι.

17. κύριε, πότε ἐπόψῃ] Φωνὴ τοῦ Ἀδὰμ αὕτη (Φωνὴ γὰρ τοῦ Ἀδὰμ πρὸς τὸν θεόν).

ἀποκατάστησον] Ἀνάγκη γὰρ λοιπὸν ἀποδεῖξαι τὰ μεγαλεῖα τῆς θεότητος καὶ τὴν κακουργίαν αὐτῶν ματαιῶσαι.

ἀπὸ λεόντων] Ἐκ τῶν δαιμόνων τὴν ψυχὴν τοῦ Ἀδάμ· ἐκ προσώπου γὰρ αὐτοῦ πάντα πράττει ὁ κύριος.

18. ἐξομολογήσομαι] Ὁ Ἀδὰμ φησί· τότε ἐξομολογήσομαί σοι ἐν συντελείᾳ. ἡ γὰρ πολλὴ ἐκκλησία τότε ἐστίν.

ἐν λαῷ] Τότε ἐπὶ τοῦ πλήθους τοῦ ἀμέτρου· ἔστι δὲ νοεῖν (ἔτι δὲ νόει) καὶ τὸν ἐξ ἐθνῶν λαόν, ὡς πολὺν καὶ ἐν ἀληθείᾳ πιστεύσαντα.

19. μὴ ἐπιχαρείησαν] Τί γὰρ ἐχόμενον λύπης ὁ Χριστὸς τοῖς Ἰουδαίοις ἐποίησε, ὅτι ἐχθροὶ αὐτῷ ἐγένοντο; ὅθεν ἀδίκως ἐχθρεύοντες (ἐχθραίνοντες) οὐκ ἐχάρησαν, ἐφ' οἷς ἤλπισαν. ἔστι δὲ καὶ ἡ φωνὴ τοῦ Ἀδάμ.

οἱ μισοῦντες] Ἔνευον (ἐνένευον) γὰρ ἀλλήλοις, τίς τί κατὰ τοῦ Χριστοῦ λαλήσει, μῖσος ἄδικον καὶ μάταιον ἔχοντες.

20. ὅτι ἐμοὶ μέν] Ὡς δόλιοι γὰρ εἰρηνικὰ ἐλάλουν, λέγοντες αὐτῷ· διδάσκαλε, οἴδαμεν, ὅτι ἀληθὴς εἶ καὶ τὴν ὁδὸν τοῦ θεοῦ ἐν ἀληθείᾳ διδάσκεις. ἔξεστι δοῦναι κῆνσον καίσαρι; οἱ δὲ ἦσαν καὶ δόλου μεστοὶ (ἀνάμεστοι) καὶ ὀργῆς.

21. καὶ ἐπλάτυναν] Ἐδόκουν γὰρ τῇ ἀνοίᾳ αὐτῶν νικᾶν καὶ περιχαρεῖς ἐγίνοντο.

εἶπαν εὖγε εὖγε] Ἐνόμισαν γὰρ κατευθύνειν τὴν ἀνομίαν αὐτῶν, μὴ εἰδότες, ὅτι θεῷ διαλέγονται.

22. εἶδες, κύριε] Ὡς προσευχόμενος τῷ πατρὶ ὁ υἱὸς περὶ τοῦ λαοῦ τῶν Ἰουδαίων λέγει· ἴσως ἐπιστραφῶσιν (ἐπιστρέψωσι).

23. ἐξεγέρθητι] Ὁ Ἀδὰμ φησὶ μετὰ τὴν ἀνάστασιν πρὸς τὸν κύριον· ποίησόν μοι τὴν ἐκδίκησιν ἐκ τῶν θλιψάντων με. τότε γὰρ τὸ κρῖμα τῶν δαιμόνων ἔκδικον ἐγένετο.

ὁ θεός μου] Τί γὰρ τῆς δίκης τοῦ θεοῦ ἐνεργέστερον; ἢ τίς μετὰ τοῦ θεοῦ ἱκανὸς δικάζεσθαι; τί δὲ Ἰουδαῖοι ἐν τῇ ἀναστάσει λαλήσουσι;

24. κρῖνόν με] Μετὰ γὰρ τὴν ἐκ νεκρῶν ἔγερσιν τοῦ κυρίου ἀνέλαβε τὴν βασιλείαν, τὴν δόξαν, τὴν δύναμιν ὁ ἄνθρωπος, ὃν ἐφόρεσε, καὶ τὴν εἰς οὐρανοὺς ἄνοδον ἰδόντες οἱ Ἰουδαῖοι οὐκ ἐχάρησαν.

25. μὴ εἴπαισαν] Οὔτε γὰρ [εἰπεῖν] ἔτι τοῦτο οἱ Ἰουδαῖοι ἠδυνήθησαν. μετὰ γὰρ τὴν ἀνάστασιν τοῦ Χριστοῦ αἱ ψυχαὶ αὐτῶν ἐταράχθησαν ἐν ὀδύνῃ.

μηδὲ εἴπαισαν] *Οὔτε γὰρ (ἐν) τῇ αὐτῶν δυνάμει, ὡς ἐδόκουν, ἔπαθεν ὁ κύριος, ἀλλὰ θελήματι ἰδίῳ, ἵνα σώσῃ τὸν ἄνθρωπον.*

26. αἰσχυνθείησαν] *Οἱ Ἰουδαίων παῖδες, ὅσοι ἐχάρησαν ἐπὶ τῷ θανάτῳ τοῦ σωτῆρος.*

ἐνδυσάσθωσαν] *Οἱ Ἰουδαῖοι ὡσαύτως λέγοντες· ἄλλους ἔσωσεν, ἑαυτὸν οὐ δύναται σῶσαι.*

27. ἀγαλλιάσαιντο] *Οἱ πιστεύσαντες τῷ θεῷ καὶ δεξάμενοι τὸ πάθος καὶ τὴν ἀνάστασιν τοῦ Χριστοῦ, οὗτοι ἀγαλλιώμενοι εὐφραίνονται ἐν αὐτῷ.*

καὶ εἰπάτωσαν] *Οἱ γὰρ πιστοὶ πάντοτε μεγαλύνοντες τὸν θεὸν οὐ παύονται.*

οἱ θέλοντες] *Οἱ δεξάμενοι ἐν ὅλῃ καρδίᾳ τὴν εἰρήνην τοῦ Χριστοῦ, ἡνίκα εἶπεν· εἰρήνην τὴν ἐμὴν ἀφίημι ὑμῖν.*

28. καὶ ἡ γλῶσσα] *Ἡ τοῦ προφήτου γλῶσσα, ἥτις τὰ μήπω παρόντα [ὡς παρόντα] ἐμελέτησεν.*

ὅλην τὴν ἡμέραν] *Δι' ὅλου τοῦ αἰῶνος· ἡμέρα γὰρ τοῦ κυρίου ὡς χίλια ἔτη. δι' αἰώνων οὖν ᾄδεται τὰ μυστήρια τοῦ Χριστοῦ.*

XXXV.

Εἰς τὸ τέλος· τῷ δούλῳ κυρίου τῷ Δαυίδ] *Ὅσα ἐπὶ τέλει ὁ Χριστὸς ποιεῖν ἔμελλε, τοῖς προφήταις προεδηλοῦτο [καθὼς δηλοῖ ἡ ἐπιγραφή].*

2. Φησὶν ὁ παράνομος] *Περὶ τοῦ Ἰούδα λέγει· ἡνίκα τὴν μεγάλην ἁμαρτίαν ἐποίησεν, ἐνόσει ἐν ἑαυτῷ λογιζόμενος, ποίῳ τρόπῳ παραδώσει τὸν διδάσκαλον.*

οὐκ ἔστιν φόβος] *Κατ' ὀφθαλμοὺς γὰρ αὐτοῦ ἐφ' ἑκάστης θεωρῶν τὰ σημεῖα τοῦ Χριστοῦ καὶ θεοῦ, οὐδὲ οὕτως ὑπεισῆλθεν αὐτὸν (ἐπεισῆλθεν αὐτῷ) φόβος θεοῦ.*

3. ὅτι ἐδόλωσεν] *Παρεστὼς γὰρ τῷ κυρίῳ (Χριστῷ), εἶχεν ἐν ἑαυτῷ τὸν δόλον, μὴ λογιζόμενος, ὅτι καρδιογνώστῃ παρίσταται (παρίστατο).*

τοῦ εὑρεῖν] *Ἠγνόησε γάρ, ὅτι τὴν παράνομον αὐτοῦ γνώμην ἐγίνωσκεν ὁ κύριος, καὶ ὅτι μισητὸς ἦν καὶ βδελυκτός.*

4. τὰ ῥήματα] *Φιλήματι γὰρ τὸν σωτῆρα παρεδίδου, λέγων· χαῖρε ῥαββί, τὸν δόλον κρύπτων, ὡς ἐδόκει.*

οὐκ ἐβουλήθη] *Οὔτε γὰρ ἐθέλησε μετανοῆσαι, ἐφ' οἷς ἔπραξε, τοσοῦτον δοξασθεὶς ὡς ἀπόστολος, ἀλλ' ἐπέμενεν ἐν τῇ κακίᾳ.*

5. ἀνομίαν] *Ἀεὶ γὰρ ὁ Ἰούδας ἐπὶ τῆς κοίτης, ὡς ἐν ἡσυχίᾳ ὤν, τότε ἐβουλεύετο, ποίῳ τρόπῳ παραδώσει τὸν κύριον.*

παρέστη] *Πολλὰς γὰρ διεξόδους τῷ πράγματι ἐδίδου· πᾶσαι δὲ πονηραὶ ἦσαν, ὡς ὑπαγορευθεῖσαι ὑπὸ τοῦ διαβόλου.*

τῇ δὲ κακίᾳ] Οὐ γὰρ ἐλογίσατο κακὸν εἶναι τὸ ἐνθύμημα καὶ μισήσας μετεμελήθη. προσοχθῖσαι (προσώχθισε) γάρ ἐστι τὸ μισῆσαι.

6. κύριε, ἐν τῷ οὐρανῷ] Ἐν τῷ σώματι τῷ δεσποτικῷ, ἐν ᾧ κατῴκησεν ὡς ἐν οὐρανῷ ἡ θεότης, ἣ καὶ αὐτὸ τὸ σῶμα οὐράνιον ἀπετέλεσεν (ἀποτελέσας) αὐτὸ (ἐν αὐτῷ) τὸ ἔλεος τοῦ θεοῦ, ὡς δι᾽ αὐτοῦ ἐλεήσας τὸ γένος τῶν ἀνθρώπων (τὸ ἔθνος τὸ ἀνθρώπινον).[1] καὶ ἕως τῶν νεφελῶν τουτέστι τῶν ἀποστόλων· νεφέλαι γὰρ πανταχοῦ οἱ ἀπόστολοι παρὰ ταῖς θείαις γραφαῖς νοοῦνται. ἐν αὐτοῖς οὖν ἡ ὄντως ἀλήθεια ἐπολιτεύσατο.

7. καὶ ἡ δικαιοσύνη] Ἀμετάβλητος γὰρ καὶ ἀμετακίνητος ἡ δικαιοσύνη τοῦ θεοῦ, ὡς τὰ ὄρη τὰ ἀμετακίνητα· εἰσὶ δὲ οἱ προφῆται, ὧν τὰ ῥήματα ὑπερυψώθησαν καὶ ἐμεγαλύνθησαν.

καὶ κρίματά σου] Κρίματα θεοῦ ὁ νόμος τῆς χάριτος καὶ οἱ λόγοι τῶν εὐαγγελίων.[2] ἄβυσσος δέ, ὡς ἀνεξιχνίαστον τὸ μυστήριον τῆς οἰκονομίας.

ἀνθρώπους] Τουτέστιν οὐ μόνον ἄνθρωποι, ἀλλὰ καὶ κτήνη ἠγαλλιάσαντο ἐπὶ τῇ ἐπιδημίᾳ τοῦ Χριστοῦ. ἔστι δὲ τὸ καθ᾽ ὅλου ἄνθρωποι μὲν οἱ Ἰουδαῖοι, οἱ τὸν νόμον παιδεύοντες, κτήνη δὲ τὰ ἔθνη· ἀμφότεροι δὲ ἐσώθησαν τῇ παρουσίᾳ τοῦ Χριστοῦ.

8. ὡς ἐπλήθυνας] Πᾶσιν γὰρ ἤνοιγεν (ἤνοιξεν) τὴν θύραν τῆς μετανοίας, ἵνα πάντας ἐλεήσῃ.

οἱ δὲ υἱοί] Πάντοτε (πᾶν) τὸ τῶν ἀνθρώπων γένος, ἐν τῇ σκέπῃ τῆς ἐνανθρωπήσεως τοῦ λόγου καὶ θεοῦ ἐλπίζοντες, σώζονται· πτέρυγες γὰρ θεοῦ ἡ σὰρξ ἡ δεσποτική.

9. μεθυσθήσονται] Οἱ πιστοὶ ἐν τῇ ἐκκλησίᾳ εὐφρανθήσονται, τῷ δεσποτικῷ αἵματι ἀρδευόμενοι.

καὶ τὸν χειμάρρουν] Τὸν χειμάρρουν λέγει τὸν ἀπὸ τῆς δεσποτικῆς πλευρᾶς ῥεύσαντα ῥύμῃ πολλῇ.

10. ὅτι παρὰ σοί] Ὡσαύτως τὴν πηγὴν ἐκείνην λέγει, τὴν ἐκ τῆς πλευρᾶς πηγάσασαν ὕδωρ ζωῆς καὶ αἷμα.

ἐν τῷ φωτί] Ὅταν γὰρ ἐκ τοῦ μνήματος προῆλθε τὸ φῶς τὸ ἀληθινόν, τότε πᾶσα ψυχὴ τῶν πιστῶν ἐφωτίσθη.

11. παράτεινον] Τουτέστιν εἰς αἰῶνας αἰώνων τὸ ἔλεός σου παράσχε (παράσχου) τοῖς πιστεύουσιν ἐπὶ σέ.

καὶ τὴν δικαιοσύνην] Πάντες γάρ, ὅσοι εὐθείᾳ καρδίᾳ ἐλπίζουσιν ἐπὶ κύριον, τούτοις ἡ δικαιοσύνη τοῦ Χριστοῦ ἀνεξάλειπτος πάρεστιν.

12. μὴ ἐλθέτω] Ὑπερηφανία γὰρ παρὰ τῷ θεῷ οὐκ αὐλίζεται,

---

[1] V. continuat sic: ἀλήθεια ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστός. νεφέλαι κτλ.

[2] V. hucusque sic: κρίματα θεοῦ νόμος καὶ ἐντολαί, κρίματα θεοῦ ὁ νόμος τῆς χάριτος καὶ οἱ λόγοι τῶν εὐαγγελίων.

ἐπειδὴ ὅλος (ὁ κύριος) ὑπάρχει εἰρήνη.

καὶ χείρ] Οὐ γὰρ ἴσχυσαν Ἰουδαίων [πόδες καὶ] χεῖρες σαλεῦσαι [ἢ παρασαλεῦσαι] τὴν βουλὴν τοῦ λόγου καὶ θεοῦ.

13. ἐκεῖ ἔπεσον] Ἐκεῖ. ποῦ; εἰς τὸν Χριστόν, εἰς ὃν προσκόψαντες οἱ Ἰουδαῖοι ἐλικμήθησαν.

ἐξώσθησαν] Ἀπώσθησαν γὰρ οἱ Ἰουδαῖοι καὶ Ἕλληνες ἐκ τῆς δόξης τοῦ θεοῦ καὶ δεχθῆναι οὐκέτι δύνανται διὰ τὴν ἀπιστίαν αὐτῶν.

XXXVI.

Ψαλμὸς τῷ Δαυίδ] Τῷ Χριστῷ· πανταχοῦ γὰρ ἡ γραφὴ τὸν Χριστὸν λέγει. εἰς αὐτὸν οὖν καὶ τοὺς αὐτῷ πιστεύοντας (πιστεύσαντας) ἡ προφητεία τοῦ ψαλμοῦ κεῖται.

1. Μὴ παραζήλου] Τῷ πιστῷ ἀνθρώπῳ καὶ κατὰ θεὸν ζῶντι λέγει, ὥστε πονηροὺς ἀνθρώπους μὴ ζηλοῦν.

μηδὲ ζήλου] Τουτέστι μὴ μιμήσῃ ἐκείνους, οἵτινες εὐθηνοῦντες (εὐθυμοῦντες) τὰ παρὰ τὸν νόμον πράττουσι ἐξ ὑπερηφανίας.

2. ὅτι ὡσεὶ χόρτος] Πάντα γὰρ τὰ ἐν τῷ βίῳ ἀβέβαια καὶ ἐν ὀλίγῳ χρόνῳ τὴν ὑπόστασιν ἔχοντα, ὡς δόξα καὶ τιμὴ καὶ πλοῦτος καὶ πάντα, ὅσα δελεάζουσι (δελεάζει) τοὺς ἀνθρώπους τοὺς ἄφρονας.

3. ἔλπισον] Πάντων γὰρ τῶν ἐν τῷ κόσμῳ μείζων ἡ ἐλπίς, ἡ εἰς θεόν, καὶ τὸ ποιεῖν μετὰ τοῦ πλησίον χρηστότητα καὶ ἀγάπην.

καὶ κατασκήνου] Ποίαν γῆν; πάντως περὶ ἧς εἴρηται· πιστεύω τοῦ ἰδεῖν τὰ ἀγαθὰ κυρίου ἐν γῇ ζώντων. ὑπόμεινον τὸν κύριον. χρὴ οὖν εἰς ἐκείνην τὴν γῆν τῷ νοῖ ἀεὶ ὁρᾶν καὶ τὰ αὐτῇ ἁρμόζοντα ἐργάζεσθαι, ἵνα ποιμανθῶμεν ἐν αὐτῇ, τουτέστι χαρῶμεν.

4. κατατρύφησον] Τῷ πιστῷ ἀνθρώπῳ καὶ κατὰ θεὸν λέγει. γέγραπται γάρ· αἰτεῖτε καὶ λήψεσθε.

5. ἀποκάλυψον] Τουτέστιν μηδὲν πράττε, ὧν κρύβειν (κρύπτειν) ὀφείλεις τὸν θεόν, ᾧ ποτε κρυβῆναι οὐκ ἔστιν, ἀλλὰ πᾶσα ὁδὸς τοῦ πιστοῦ παρρησίαν ἐχέτω.

καὶ ἔλπισον] Αὐτῷ γὰρ παραχωρεῖν πᾶσαν μέριμναν· οὐ γὰρ ἐγκαταλείψει τοὺς φοβουμένους αὐτόν.

6. καὶ ἐξοίσει] Τουτέστιν ἀγαγεῖ ἐπὶ σὲ ἐν παρρησίᾳ τὴν δικαιοσύνην, ἀποδιδούς σοι τὸν μισθὸν ἐν φωτὶ τῷ ἀληθινῷ.

καὶ τὸ κρίμα] Ἐν φωτὶ θατέρῳ, μηδ' ὧδε μηδ' ἐκεῖ, ἐκλεῖπον, ἀλλὰ πλῆρες. αἰνίττεται δὲ καὶ εἰς τὸν σταυρὸν καὶ εἰς τὸ πάθος τοῦ Χριστοῦ· μεσημβρίας γὰρ ἐπράχθη (πέπρακται).

7. ὑποτάγηθι] Αὕτη φωνὴ τοῦ Ἀδάμ (προφήτου), παρακελευομένη

τοὺς πιστοὺς καὶ διεγείρουσα πρὸς ζῆλον ἔνθεον, ὥστε θεῷ πείθεσθαι καὶ ὑποτάσσεσθαι καὶ παρακλήσεις αὐτῷ ἀδιαλείπτους (ἀδιαλείπτως) προσφέρειν καὶ αὐτὸν ἔχειν ἐπίκουρον.

μὴ παραζήλου] Τουτέστιν ὁ πιστὸς ἄνθρωπος μὴ λυπείσθω, ὅταν βλέπῃ τινὰς εὐθηνοῦντας ἐν τῷ κόσμῳ. τὰ παρόντα γὰρ ὄζει φθοράν.

ἐν ἀνθρώπῳ] Ἐνταῦθα αἰνίττεται τὸν διάβολον καὶ τοὺς αὐτῷ ἀκολουθοῦντας.

8. παῦσαι ἀπὸ ὀργῆς] Ἀμφότερα γὰρ ἀπὸ θεοῦ χωρίζουσιν.

μὴ παραζήλου] Μὴ ἐρεθίζου εἰς πονηρά, λέγει τῷ πιστῷ.

9. ὅτι οἱ πονηρευόμενοι] Ἰούδας γάρ, πονηρὰ ἐνθυμηθείς, ἀπέστη καὶ ἐξήρθη τῆς στάσεως τῆς ἀποστολικῆς.

οἱ δὲ ὑπομένοντες] Τὴν [γῆν] τῆς ἐπαγγελίας, ὅ ἐστιν ὁ παράδεισος, ὡς οἱ ἀπόστολοι καὶ ὅσοι τούτοις ἐπίστευσαν.

10. καὶ ἔτι ὀλίγον] Προφητικοῖς ὀφθαλμοῖς ὁρῶν ὁ Δαυὶδ ἔλεγε· μετ' οὐ πολὺ ἔρχεται ὁ Χριστὸς καὶ ἀφανίζεται ὁ διάβολος καὶ οὐκέτι οὐ μὴ ὑπάρξῃ.

καὶ ζητήσεις] Ἀφανὴς γὰρ ἐγένετο καὶ οὐκ ἔστιν οὐκέτι αὐτῷ τόπος ἐν ἀνθρώπῳ Χριστοῦ ἐπιδημήσαντος.

11. οἱ δὲ πραεῖς] Οἱ ἀπόστολοι, πρὸς οὓς ὁ λόγος· γίνεσθε φρόνιμοι, ὡς οἱ ὄφεις, καὶ ἀκέραιοι, ὡς αἱ περιστεραί, καὶ ὅσοι τούτοις ἐξηκολούθησαν, κληρονομοῦσι τὸν παράδεισον· αὕτη γάρ ἐστιν ἡ γῆ τῆς ἐπαγγελίας.

καὶ κατατρυφήσουσιν] Ἐκεῖ γάρ ἐστιν ἡ εἰρήνη καὶ ἡ τρυφὴ τῶν δικαίων.

12. παρατηρήσεται] Ὁ διάβολος τὸν Χριστόν· παρετήρει γὰρ αὐτόν, νομίσας αὐτὸν ἄνθρωπον ψιλὸν εἶναι.

καὶ βρύξει] Ἐζήτει γὰρ αὐτὸν μασήσασθαι καὶ καταπιεῖν, ὡς ἕνα τῶν ἀνθρώπων.

13. ὁ δὲ κύριος] Ὁ Χριστός, ἰδὼν αὐτοῦ τὴν ἀσθένειαν, ἐβδελύξατο αὐτὸν καὶ παρέβλεψεν.

ὅτι προβλέπει] Προέβλεπε γὰρ ὁ Χριστὸς ὡς θεὸς τὴν ἡμέραν τῆς καταστροφῆς τοῦ διαβόλου.

14. ῥομφαίαν] Οἱ δαίμονες κατὰ τοῦ Χριστοῦ Ἰουδαίους ὁπλίζοντες.

ἐνέτειναν] Οἱ Ἰουδαῖοι τὰς ἑαυτῶν γλώσσας χαλάσαντες κατὰ τοῦ Χριστοῦ, ὡς τόξον ἐκτεταμένον (τόξη ἐντεταμένα).

τοῦ καταβαλεῖν] Τὸν Χριστόν, ὡς δι' ἡμᾶς πτωχεύσαντα, καὶ ἑκούσιον πενίαν ἑλόμενον.

τοῦ σφάξαι] Τὸν Χριστόν· αὐτὸς γὰρ μόνος εὐθὺς πρὸς ἀλήθειαν τῇ καρδίᾳ. λέγει δὲ καὶ τοὺς ἀποστόλους.

15. ἡ ῥομφαία] Ῥομφαία ἑρμηνεύεται δύναμις· δύναμις δὲ θεοῦ ὁ σταυρός. αὐτῶν δὲ ὁ σταυρός, ὡς αὐτοὶ αὐτὸν τεκτηνάμενοι. δι' αὐτοῦ δὲ τὰς καρδίας οἱ Ἰουδαῖοι ἐδιχοτομήθησαν.

καὶ τὰ τόξα] Αἱ γλῶσσαι αὐτῶν συνετρίβησαν, τουτέστιν ἀπετμήθησαν, κινηθεῖσαι κατὰ τοῦ θεοῦ.

16. κρεῖσσον] Ἠγάπα γὰρ τοὺς πιστεύοντας (πιστεύσαντας) ὁ κύριος, εἰ καὶ ὀλίγοι τέως ἦσαν ὑπὲρ τὸ πλῆθος τοῦ λαοῦ τῶν Ἰουδαίων· αὐτὸς γὰρ δίκαιος πρὸς ἀλήθειαν.

17. ὅτι βραχίονες] Τῶν Ἰουδαίων ἡ δύναμις· συνετρίβησαν γάρ, κατὰ θεοῦ (τοῦ Χριστοῦ) τὰς χεῖρας ἐπάραντες.

ὑποστηρίζει] Τοὺς ἀποστόλους, ὡς ἐν πολλῇ δειλίᾳ ποτὲ ὑπάρχοντας· ἐστηρίζοντο δὲ τῇ πίστει. ὡσαύτως δὲ καὶ πάντες οἱ δίκαιοι.

18. γινώσκει] Τῶν ἀποστόλων, οἵτινες οὐκ ἔσχον μῶμον ἐν ταῖς ψυχαῖς αὐτῶν. αἱ δὲ ὁδοὶ αὐτῶν σωτηρία ἐγένοντο πάσης πνοῆς· ταῦτα προῄδει ὁ κύριος.

καὶ ἡ κληρονομία] Εἰς τὸν αἰῶνα γὰρ ἔσται ἡ διδαχὴ αὐτῶν, ὅ ἐστι κληρονομία αἰώνιος.

19. οὐ καταισχυνθήσονται] Ἐν καιρῷ, ἐν ᾧ παρίσταντο ἄρχουσι καὶ ἐξουσίαις, μαστιζόμενοι καὶ κακουχούμενοι. τότε δὲ ὑψοῦτο ἡ δόξα αὐτῶν.

καὶ ἐν ἡμέραις] Ἐν λιμῷ καὶ δίψῃ ὑπομένοντες, ὡς ὁ Παῦλος κράζει· τῇ χάριτι δὲ τότε τρεφόμενοι τοῦ πνεύματος.

20. ὅτι οἱ ἁμαρτωλοί] Οἱ δαίμονες· τούτους γὰρ πρὸς ἀλήθειαν ἁμαρτωλοὺς ἡ γραφὴ καλεῖ. οὗτοι δὲ ἐν τῇ ἐπιφανείᾳ τοῦ Χριστοῦ ἀπώλοντο (ἀπολοῦνται).

οἱ δὲ ἐχθροί] Οἱ ἐχθροὶ τοῦ κυρίου οἱ Ἰουδαῖοι· ὅταν γὰρ ἐνόμισαν διὰ τοῦ ψεύδους περιγενέσθαι (περιγεγενῆσθαι) τοῦ Χριστοῦ καὶ εἰς ὕψος νίκης παραγεγονέναι, τότε ὡς καπνὸς διελύθησαν.

21. δανίζεται] Ὁ διάβολος· λαμβάνει γὰρ τὰ τοῦ Χριστοῦ, δελεάζων τὸν ἄνθρωπον καὶ αἱρῶν τὸν πλοῦτον αὐτοῦ τὸν εἰς θεόν, καὶ οὐκέτι συγχωρεῖ αὐτῷ ἀνανεῦσαι καὶ νῆψαι πρὸς μετάνοιαν. τοῦτο δὲ ποιοῦσιν ὑπερήφανοι καὶ ἀλαζόνες ἄνθρωποι, λαμβάνοντες τὰ ἀλλότρια καὶ μὴ ἀποδίδοντες.

ὁ δὲ δίκαιος] Ὁ Χριστὸς ὡς οἰκτίρμων· μετὰ τοῦ καὶ τὴν ζωὴν παρέχειν τῷ ἀνθρώπῳ δίδωσι καὶ τὸν μισθὸν τοῖς πιστοῖς.

22. ὅτι οἱ εὐλογοῦντες] Οἱ ὑπομένοντες καὶ θεραπεύοντες δι' εὐχῆς τὸν θεὸν ἀπολαμβάνουσι τὸν παράδεισον.

οἱ δὲ καταρώμενοι] Οἱ βλασφημοῦντες, ὡς Ἰουδαῖοι καὶ Ἕλληνες καὶ αἱρετικῶν παῖδες· οὗτοι ἐξολοθρεύονται.

23. παρὰ κυρίου] Ἀνθρώπου τοῦ Χριστοῦ (κυρίου) ὁ τὸ ἀνθρώπινον ἀξίωμα σώζων καὶ παντὸς δικαίου κατευθύνων τὴν ὁδόν.

καὶ τὴν ὁδόν] Τοῦ Χριστοῦ ὡς ἀληθινοῦ ἀνθρώπου τὴν ὁδόν, ἣν ἐπὶ γῆς πεποίηται θελήματι τοῦ πατρός.

24. ὅταν πέσῃ] Ὁ Πέτρος ἔπεσε μὲν τῇ ἀρνήσει, οὐκ ἐρράγη δὲ τῇ πίστει, ἀλλ' ἔμεινεν ὑγιής.

ὅτι κύριος] *Ἡνίκα ἐμβλέψας τῷ Πέτρῳ ὁ Χριστὸς (κύριος) ὑπομνήσας ἐνεύρωσεν αὐτόν.*

25. νεώτερος ἐγενόμην] *Καὶ τοῦτο ὁ Χριστός· ἐγώ, φησίν, καὶ ἐπὶ συντελείᾳ ⟨τοῦ αἰῶνος⟩ σεσάρκωμαι, ἐγὼ καὶ πρὸ τῶν αἰώνων ἤμην (εἰμὶ) καὶ οὐκ εἶδον τὸν δίκαιον ἐγκαταλελειμμένον, τουτέστιν οὐ παρεῖδον τὸν Ἀδάμ, ἀλλὰ βαστάσας τοῦτον ἠλέησα.*

οὐδὲ τὸ σπέρμα] *Τουτέστιν οὐκ ἀφῆκα τοὺς ἐκ τοῦ Ἀδὰμ λιμῷ διαφθείρεσθαι, ἀλλὰ τὴν ἐμὴν σάρκα ἔδωκα αὐτοῖς εἰς βρῶσιν.*

26. ὅλην τὴν ἡμέραν] *Ὁ Χριστὸς ὡς θεὸς ἀπὸ τοῦ αἰῶνος καὶ ἐλεεῖ [τὸν ἄνθρωπον] καὶ τρέφει [καὶ προέφη], δανείζων αὐτῷ τὴν παρ' αὐτοῦ [ζωὴν καὶ] πνοήν.*

καὶ τὸ σπέρμα] *Σπέρμα (σπορὰ) θεοῦ οἱ πιστοί, οὗτοι ἐν εὐλογίᾳ εἰσίν.*

27. ἔκκλινον] *Ὁ λόγος*[1] *πρὸς τὸν πιστὸν ἄνθρωπον.*

καὶ κατασκήνου] *Αἰώνιος γὰρ ἡ τῶν μελλόντων ἀγαθῶν ἀπόλαυσις.*

28. ὅτι κύριος ἀγαπᾷ] *Πᾶν τὸ [ἐν] κρίσει καὶ μὴ ἀμελῶς γινόμενον τὸ θέλημα τοῦ θεοῦ πληροφορεῖ.*

καὶ οὐκ ἐγκαταλείψει] *Τοὺς ἀποστόλους καὶ ὅσοι τούτοις ἐμαθήτευσαν (τούτους ἐξηκολούθησαν), ὡς γυμνοὶ ἀποστελλόμενοι καὶ μὴ ὑστερούμενοι.*

εἰς τὸν αἰῶνα] *Ἀδιάδοχος γὰρ ἡ δόξα αὐτῶν καὶ τέλος οὐκ ἔχουσα.*

ἄμωμοι] *Ὅσοι τῷ νόμῳ (τὸ ὄνομα) τοῦ θεοῦ οὐχ ὑπετάγησαν· εἰσὶ δὲ οἱ Ἰουδαῖοι καὶ τὰ τούτων ἔγγονα (ἔκγονα), πανταχοῦ διωκόμενα (διωκόμενοι).*

29. δίκαιοι] *[Τὸν παράδεισον κληρονομοῦσιν οἱ πιστεύσαντες τῇ παρουσίᾳ τοῦ κυρίου ἡμῶν.]*

καὶ κατασκηνώσουσιν] *Μετὰ γὰρ τὸ ἀπολαβεῖν τοὺς δικαίους τὴν γῆν τῆς ἐπαγγελίας οὐκέτι ἀφαιρεῖται ἀπ' αὐτῶν.*

30. στόμα δικαίου] *Τοῦ Χριστοῦ· αὐτοῦ γὰρ τὸ στόμα σοφίας πλῆρες πρὸς ἀλήθειαν.*

καὶ ἡ γλῶσσα] *Ὅσα γὰρ διὰ στόματος θεοῦ λαλεῖται (καλεῖται), τροπὴν οὐχ ὑφίσταται, ἀλλ' εἰς ἔργον τελεῖται.*

31. ὁ νόμος τοῦ θεοῦ] *Ὅσα γάρ, φησὶν ὁ Χριστός, ἐνετείλατό μοι ὁ πατήρ, δεῖ με ποιῆσαι καὶ πληρῶσαι αὐτά.*

καὶ οὐχ ὑποσκελισθήσεται] *Τοῦ Χριστοῦ καὶ παντὸς δικαίου, τοῦ κατὰ θεὸν κατορθοῦντος· ἀκλινεῖς γάρ εἰσιν.*

32. κατανοήσει] *Ὁ διάβολος, τὸν Χριστὸν ὡς ψιλὸν ἄνθρωπον κατανοήσας, ἐζήτησεν αὐτὸν καταπιεῖν.*

33. ὁ δὲ κύριος] *Ἀδύνατον γὰρ τὸν κυριακὸν ἄνθρωπον χωρισθῆναι*

---

[1] V. praeced.: *Ἔκκλινον ἀπὸ τῶν πονηρῶν καὶ ποίησον καρπὸν δικαιοσύνης· τὸ γὰρ παύσασθαι τοῦ κακοῦ ἀρχή ἐστι μετανοίας.*

τῆς θεότητος (ἄνθρωπόν ἐστι κυριευθῆναι ὑπὸ ἁμαρτίας).

οὐδὲ μὴ καταδικάσῃ] Ὅταν γὰρ μέλλῃ κρίνειν ὁ θεὸς τὸν διάβολον, οὐ δύναται ὁ διάβολος ἀντιδικάζεσθαι τῷ θεῷ.

34. ὑπόμεινον] Πρὸς[1] τὸν πιστὸν ἄνθρωπον ὁ λόγος.

καὶ ὑψώσει] Ὅταν γὰρ ὑψωθῇ ἀπὸ τῆς γῆς ταύτης (αὐτοῦ) ὁ ἄνθρωπος, τότε ἀπολαμβάνει τὴν γῆν τῆς ἐπαγγελίας, ὅ ἐστιν ὁ παράδεισος.

ἐν τῷ ἐξολεθρεύεσθαι] Λέγει τοὺς δαίμονας ἐν τῷ καιρῷ τῆς συντελείας, ὅτι μέλλουσι κατ' ὀφθαλμοὺς τῶν δικαίων παραδίδοσθαι τῇ γεέννῃ.

35. εἶδον ἀσεβῆ] Λέγει τὸν διάβολον, ὅτι ὑψώθη κατὰ τῆς ἀνθρωπότητος διὰ τῆς εἰδωλολατρείας. Λίβανος γὰρ πανταχοῦ αἰνίττεται τὰ εἴδωλα.

36. καὶ παρῆλθον] Ἐν γὰρ τῷ διαβῆναι τὸν κύριον ἀπὸ τοῦ σταυροῦ εἰς τὸν ᾅδην ὁ διάβολος καὶ ὁ θάνατος ἀφανεῖς ἐγένοντο καὶ οὐχ εὑρέθη ἔτι τόπος αὐτοῖς ἐν τοῖς πιστοῖς· κατηργήθησαν γάρ.

37. φύλασσε ἀκακίαν] Ἐν τούτοις γὰρ οἱ πιστοὶ ὀχυροῦνται.

ὅτι ἐστίν] Τῷ γὰρ Χριστῷ ἐγκατελείφθη ὁ ἄνθρωπος, σωθεὶς ὑπ' αὐτοῦ· υἱὸν γὰρ ἀνθρώπου ἑαυτὸν προσηγόρευσεν.

38. οἱ δὲ παράνομοι] Οἱ δαίμονες ὑπὸ τοῦ Χριστοῦ καὶ οἱ ποιοῦντες τὰ ἄτοπα ἐπὶ τὸ αὐτὸ ἐπὶ (ἐν) τῇ ἁμαρτίᾳ αὐτῶν.

τὰ ἐγκαταλείμματα] Τὰ τέκνα τῶν Ἑλλήνων καὶ Ἰουδαίων καὶ αἱρετικῶν καὶ βλασφήμων· οὗτοι ἀπολοῦνται τότε καὶ εἰς οὐδὲν λογισθήσονται.

39. σωτηρία] Τῶν καλῶς βιωσάντων ἐν τῇ πίστει τοῦ Χριστοῦ, μάλιστα οἱ μάρτυρες (μαρτύρων), ὡς ὑπὲρ Χριστοῦ παθόντες.

καὶ ὑπερασπιστής] Ἀποστόλων καὶ μαρτύρων (ἀπόστολοι καὶ μάρτυρες) καὶ ὅσοι ὑπὲρ Χριστοῦ ἐκακοπάθησαν.

40. καὶ βοηθήσει] Μετὰ τὴν ἐντεῦθεν ἀποδημίαν ἀποδιδοὺς αὐτοῖς τὸν μισθὸν ἐν δόξῃ πολλῇ.

καὶ ἐξελεῖται] Ἐκ τῶν δαιμόνων καὶ τῶν πονηρῶν ἀνθρώπων τοὺς δικαίους, ὅσοι ὑπὲρ Χριστοῦ ἠγωνίσαντο.

καὶ σώσει — ἤλπισαν] Τοὺς ἁγίους πάντας, ὅσοι τῇ ἐλπίδι τῶν αἰωνίων ἀγαθῶν ἐθερμάνθησαν.

XXXVII.

Ψαλμὸς ᾠδῆς τῷ Δαυὶδ εἰς ἀνάμνησιν περὶ τοῦ σαββάτου] Οὗτος ὁ ψαλμὸς προφητεία ἐστὶ περὶ τοῦ Χριστοῦ καὶ ἀνάμνησις περὶ τοῦ σάβ-

[1] V. praemittit: Καθὼς ὁ κύριος ἐν εὐαγγελίοις ἔφη· ὁ δὲ ὑπομείνας εἰς τέλος. οὗτος σωθήσεται.

βάτου ἐκείνου, οὗ ὁ Χριστὸς εἶπεν· εὔχεσθε (εὔχεσθαι), ἵνα μὴ γένηται ἡ φυγὴ ὑμῶν χειμῶνος ἢ σαββάτου. χρὴ οὖν, φησίν, ἀεὶ προβλέπειν καὶ ἑτοιμάζεσθαι.[1]

2. Κύριε, μὴ τῷ θυμῷ] Λέγει ὁ ἄνθρωπος, ὅ ἐστιν ὁ Ἀδάμ· ἐκ προσώπου τοῦ Χριστοῦ ὁ προφήτης βοᾷ, ὡς ὁ Χριστὸς ἐκ προσώπου τοῦ Ἀδὰμ[2] πάντα ποιεῖ καὶ πάσχει καὶ προσεύχεται· μὴ ἐλέγξῃς με, φησίν, ἐν τῇ ὀργῇ σου, ἀλλὰ μετὰ φιλανθρωπίας ὡς ἀγαθός.

μηδὲ τῇ ὀργῇ] Τοῦτο καὶ πᾶς ἄνθρωπος (ἕκαστος τῶν ἀνθρώπων) παρακαλεῖ.

3. ὅτι τὰ βέλη σου] Αἱ ἐντολαί σου· ὡς βέλη γὰρ (οὕτως) τοῖς ποστοῖς ἐνιζάνουσιν, πόνον ἀποτελοῦσαι (ἀποτελοῦντα, ἀποτελοῦντες) σωτήριον.

καὶ ἐπεστήρισας] Τῇ γὰρ ἀοράτῳ (ἀχράντῳ) χειρὶ ἁψάμενος τοῦ Ἀδάμ, ἐστερέωσεν αὐτὸν πρὸς τὸ ἀντέχειν τοῖς δαίμοσιν.

4. καὶ οὐκ ἔστιν] Δι' ἧς παρώργισα τὸν θεὸν παραβάς· παρεχώρησε γὰρ ὁ θεὸς τοῖς δαίμοσι μαστίζειν αὐτὸν πρὸς καιρόν, ἵνα ζητήσῃ τὸν ἀντιλαμβανόμενον.

οὐκ ἔστιν εἰρήνη] Ἀπὸ γὰρ τοῦ φόβου τῶν δαιμόνων ἔτρεμον καὶ συνεκλονοῦντο τὰ ὀστᾶ τοῦ ἀνθρώπου· πλήρης γὰρ ἦν τῆς ἁμαρτίας.

5. ὅτι αἱ ἀνομίαι] Ἐν γὰρ τῷ παραβῆναι τὸν νόμον τῆς ἐντολῆς ὑπὲρ κεφαλῆς τοῦ ἀνθρώπου ὑπερυψώθησαν οἱ δαίμονες.

ὡσεὶ φορτίον] Ἐπέκειντο γὰρ τῷ ἀνθρώπῳ οἱ δαίμονες, μὴ συγχωροῦντες αὐτὸν ἐπαίρειν, λογιζόμενοι μήπως (μήποτε) ἀνανήψῃ πρὸς ἐπιστροφήν.

6. προσώζεσαν] Μεγάλοι γὰρ ἦσαν οἱ μώλωπες τοῦ Ἀδάμ, τῷ χρόνῳ δὲ ἐσάπησαν καὶ δυσώδεις ἐγένοντο.

ἀπὸ προσώπου] (Ἄφρων γὰρ ἐγένετο,) παρακούσας τοῦ θεοῦ καὶ τῆς γυναικὸς ὑπακούσας. τούτους δὲ ἀνεδέξατο ὁ Χριστός, διὸ λέγει· καὶ τῷ μώλωπι αὐτοῦ ἡμεῖς πάντες ἰάθημεν.

7. ἐταλαιπώρησα] Ὁ Χριστὸς ὡς κακοῦργος παρ' αὐτοῖς ἐνομίσθη καὶ δεσμὰ ὑπομείνας διὰ τὸν ἄνθρωπον.

ὅλην τὴν ἡμέραν] Πενθῶν τὴν ἔκπτωσιν τῶν Ἰουδαίων.

8. ὅτι αἱ ψόαι] Ψόας λέγει, ὡς διὰ τὴν σάρκα, ἣν ἀνέλαβεν· ἐμπαίγματα δὲ λέγει τὰς μάστιγας.

καὶ οὐκ ἔστιν ἴασις] Ἀνάγκη γὰρ ἀνασκολοπισθῆναι αὐτήν· διὰ τοῦτο γὰρ καὶ εἰς τοῦτο παρεγενόμην (παραγέγονα), φησὶ ὁ κύριος, ἵνα σώσω τὸν ἄνθρωπον.

9. ἐκακώθην] [Παραδοὺς ἐμαυτὸν τοῖς πάθεσι (τῷ πάθει)[3] θελήματι.]

---

[1] N. add. ἡ γὰρ προφητεία καὶ ἡ ἀνάμνησις τοῦ Δαυὶδ αὕτη οὕτως διαγορεύει.

[2] V. hucusque sic: λέγει ὁ ἄνθρωπος ἐκ προσώπου τοῦ Χριστοῦ, τουτέστιν ὁ Ἀδὰμ ἤγουν ὁ προφήτης υἱὸς ὢν τοῦ Ἀδάμ.

[3] Loco πάθεσι Nan. scribit πᾶσι, quod etiam slav. interpres verterat.

ὠρυόμην] Ὅταν κράξας ὁ Χριστὸς (ὁ κύριος) ἐπὶ τοῦ σταυροῦ ἀφῆκε τὸ πνεῦμα.

10. καὶ ἐναντίον] Θελήματι γὰρ καὶ βουλῇ τοῦ πατρὸς παρεγένετο ἐπὶ τὸ πάθος ὁ υἱός.

καὶ ὁ στεναγμός] Παρ' ᾧ (παρ' οὗ) γὰρ ἀνέλαβον τὸν πολυστένακτον ἄνθρωπον, ἐπ' αὐτῷ τὸν στεναγμὸν ἐπιγράφω, φησὶν ὁ κύριος.

11. ἡ καρδία] Ἡνίκα ἐπὶ τοῦ σταυροῦ καταλιποῦσα ἡ θεότης (ἡ ψυχὴ) τὸν ἄνθρωπον, ἐν τῷ ᾅδῃ κατῆλθεν, ἵνα τὰς ἐκεῖ κρατουμένας ψυχὰς ἐλευθερώσῃ.

καὶ τὸ φῶς] Ἀνάγκη γὰρ ἄπνουν μεῖναι τὸ σῶμα ἐπὶ τοῦ σταυροῦ ὡς νεκρόν, ἵνα μὴ σκιὰ νομισθῇ.

12. οἱ φίλοι μου] Πάντες γὰρ οἱ γνωστοὶ αὐτοῦ [καθὼς γέγραπται] εἱστήκεισαν ἀπὸ μακρόθεν, θεωροῦντες αὐτὸν ἐπὶ τοῦ σταυροῦ καὶ πενθοῦντες.

καὶ οἱ ἔγγιστα] Οἱ ἀπόστολοι· ἔφυγον γὰρ [πάντες] καταλιπόντες (καταλείψαντες) αὐτὸν ἐπὶ τοῦ σταυροῦ.

13. καὶ ἐξεβιάσαντο] Κατήπειγον γὰρ οἱ Ἰουδαῖοι κράζοντες· ἆρον ἆρον (αἶρε αἶρε), σταύρωσον αὐτόν.

καὶ οἱ ζητοῦντες] Οἱ γὰρ κακῶς βουλευσάμενοι κατὰ τοῦ Χριστοῦ (κυρίου) ἐβλασφήμουν αὐτὸν λέγοντες· ὁ καταλύων τὸν ναὸν καὶ ἐν τρισὶν ἡμέραις οἰκοδομῶν, κατάβηθι ἀπὸ τοῦ σταυροῦ.

καὶ δολιότητας] Δι' ὅλης τῆς ἡμέρας τὸν δόλον τεκταίνοντες κατὰ τοῦ σωτῆρος οἱ Ἰουδαῖοι.

14. ἐγὼ δέ] Ἐξουθένει γὰρ αὐτῶν τὰ ῥήματα, ὅτι ἦσαν μάταια.

καὶ ὡσεὶ ἄλαλος] Ἐρωτώμενος γὰρ ὑπὸ τοῦ Πιλάτου ἐσιώπα.

15. καὶ ἐγενόμην] Οὕτως γὰρ ἐνομίσθη παρὰ Ἰουδαίοις· αὐτὸς δὲ ὡς θεὸς πᾶσαν ἐνθύμησιν αὐτῶν ἤκουσεν (ἐνόει καὶ ἐγίνωσκε).

καὶ οὐκ ἔχων] Οὔτε γὰρ ἀντέπιπτεν αὐτοῖς οὔτε ἤλεγχε αὐτῶν τὴν ἄνοιαν.

16. ὅτι ἐπὶ σὲ ἔλπισα] Ὡς γὰρ ἄνθρωπος βεβαιῶν τὴν σάρκα προσηύχετο.

17. ὅτι εἶπα] Τουτέστιν διὰ τοῦτο ἦλθον, ἵνα μὴ ἐπιχαρῶσι τῷ ἀνθρώπῳ οἱ δαίμονες.

καὶ ἐν τῷ σαλευθῆναι] Ἡνίκα ἀνέβαινεν (ἀνέβαινον) ἐπὶ τοῦ σταυροῦ, φησὶν ὁ Χριστός, οἱ Ἰουδαῖοι ὑπέρογκα ἐβλασφήμουν (ἐλάλουν ῥήματα καὶ ἐβλασφήμουν).

18. ὅτι ἐγώ] Ὅτι ἐγὼ μέν, φησὶν ὁ Χριστός, ταῖς μάστιξι παρέδωκα ἐμαυτὸν θελήσας, αὐτοὶ δὲ ἐδόκουν τῇ ἰδίᾳ δυνάμει κατορθοῦν ταῦτα.

19. ὅτι τὴν ἀνομίαν] Τουτέστιν ἐγὼ ὑπὲρ τοῦ ἀνθρώπου ἀπολογοῦμαι.

καὶ μεριμνήσω] Πρόπαλαι γὰρ ἐφρόντιζον διὰ τὸν ἄνθρωπον, ὅτι τῇ ἁμαρτίᾳ ἐπνίγετο καὶ οὐκ ἦν ὁ βοηθῶν.

20. οἱ δὲ ἐχθροί μου] Κατεκράτησαν γὰρ τοῦ ἀνθρώπου οἱ δαίμονες, ὡς ἀεὶ ζῶντες, ὡς ἄσαρκοι.

καὶ ἐπληθύνθησαν] Ἰουδαίων παῖδες· πολλοὶ γὰρ καὶ πανταχοῦ γῆς πάρεισιν, λαλοῦντες κατὰ τοῦ κυρίου (Χριστοῦ).

21. οἱ ἀνταποδιδόντες] Ἀνθ' ὧν ἐγὼ μὲν τὰς νόσους αὐτῶν ἰώμην, αὐτοὶ δὲ παρέδωκάν με θανάτῳ.

ἐνδιέβαλλόν με] Ἡνίκα γὰρ ἐλάλει ὁ Χριστὸς τοῖς Ἰουδαίοις ἀλήθειαν, αὐτοὶ δὲ ἔσυραν (διέσυρον, εἵλκυσαν) αὐτόν.

22. μὴ ἐνκαταλίπῃς] Οὔτε γὰρ ἔτι χωρισθῆναι ἡ θεότης τοῦ ἀνθρώπου δύναται.

23. πρόσσχες] Ὁ ἄνθρωπος πρὸς τὸν θεὸν δεόμενος· κύριε, πρόσσχες μοι, μὴ πάλιν ταπεινώσωσί με οἱ δαίμονες (ἐχθροί μου).

XXXVIII.

Εἰς τὸ τέλος τῷ (ὑπὲρ τοῦ) Ἰδιθούμ· ᾠδὴ τῷ Δαυίδ] Ἰδιθοὺμ ἀπάτη ἑρμηνεύεται. ἐπὶ τέλει οὖν ὁ Χριστὸς διὰ τοῦ σχήματος τοῦ ἀνθρωπίνου ἠπάτησε τὸν διάβολον, δελεάσας αὐτὸν τῇ σαρκώσει (σαρκί). διὰ τοῦτο τὸ πνεῦμα τὴν ᾠδὴν (ὁδὸν) ταύτην προανεφώνησε, σημαῖνον τὰ ἐπ' ἐσχάτων (ἐσχάτου).

2. εἶπα· φυλάξω] Ὁ τέλειος ἄνθρωπος καὶ κατὰ θεὸν ζῶν (σωζόμενος) ἀσφαλίζεται ἀεὶ τὴν γλῶσσαν. γέγραπται γάρ, ὅτι αὕτη ἐστὶν ἡ σπιλοῦσα ὅλον τὸ σῶμα. φυλάσσει οὖν τὰς ὁδοὺς τὰς ἑαυτοῦ ἐν ἀληθείᾳ ὁ τῆς γλώσσης κρατῶν. πάντα γὰρ τὰ κακὰ δι' αὐτῆς γίνεται.

ἐθέμην τῷ στόματι] Ἑκουσίως γὰρ ὁ Χριστὸς σιωπᾷ (ἐσιώπα), ἐρωτώμενος παρὰ (ὑπὸ) Πιλάτου.

ἐν τῷ συστῆναι] Κατεναντίον γὰρ Πιλάτου ἵστατο ὁ δίκαιος κριτὴς τοῦ κόσμου.

3. ἐκωφώθην] Ὡς γὰρ ἄνθρωπος ψιλός, οὕτως ἐνομίσθη παρὰ Ἰουδαίοις ὡς κωφός, ὡς ταπεινός, ὡς μὴ ἐξουσιάζων τινός, ἐξουσιαστὴς ὑπάρχων τοῦ αἰῶνος.

καὶ τὸ ἄλγημα] Ἤλγουν γὰρ πρώην (πρῶτον) ἐπὶ τοῦ Ἀδάμ, πάλιν ἀλγῶ ἐπὶ τοῖς Ἰουδαίοις, [τοιαῦτα] τολμώντων αὐτῶν κατὰ τοῦ ἑαυτῶν δεσπότου.

4. ἐθερμάνθη] Τῷ ζήλῳ τῷ ὑπὲρ αὐτῶν ἐξεκαύθη· αὐτοὶ δὲ οὐκ ἔγνωσαν τῇ ἀπιστίᾳ (διὰ ἀπιστίαν).

καὶ ἐν τῇ μελέτῃ] Τῇ μακροθυμίᾳ γὰρ τοῦ θεοῦ μὴ πεισθέντες· ἐκδέχεται αὐτοὺς τὸ πῦρ τῆς γεέννης. λέγει δὲ καὶ τοὺς μελετῶντας ἐκθύμως (εὐθύμως) τὸν νόμον τοῦ θεοῦ.

5. ἐλάλησα ἐν γλώσσῃ] Ὁ πιστὸς ἄνθρωπος ἐπιζητεῖ διὰ προσευχῆς τὸν θεὸν εἰδέναι τὸ πέρας τῶν ἡμερῶν πρὸς τὸ ἀγωνίζεσθαι πρὸς

τὴν ἔξοδον, καθὼς καὶ ὁ Παῦλος· καλὸν τὸ ἀναλῦσαί με καὶ σὺν Χριστῷ εἶναι.

καὶ τὸν ἀριθμόν] Τοῦτο γὰρ ἕκαστος τῶν δικαίων θέλει γνῶναι διὰ τὸ εἰδέναι, πῶς ἀγωνίζεσθαι δεῖ.

6. ἰδοὺ παλαιάς] Ὁ παλαιστὴς μέτρον ἐστὶν ἐλάχιστον γυναικεῖον [ἐν] τοῖς ὑφάσμασι, καὶ φησί· τοιαύτας ἔθου τὰς ἡμέρας μου. λέγει δὲ τὰς τοῦ πάθους ἐπὶ τοῦ σταυροῦ, τὸ γενέσθαι ἡμέραν, εἶτα σκότος, εἶτα πάλιν ἡμέραν.

καὶ ἡ ὑπόστασις] Πτωχείαν γὰρ ἑκούσιον εἵλατο ὁ Χριστός· τὸ δὲ ἐνώπιον λέγει τὸ θέλημα τοῦ πατρός.

πλὴν τὰ σύμπαντα] Τουτέστι πᾶς ἄνθρωπος, ὁ μὴ πιστεύσας τῇ παρουσίᾳ τοῦ Χριστοῦ καὶ θεοῦ, ματαίως καὶ εἰς κενὸν τὴν ζωὴν ἔχει.

Διάψαλμα: προτροπὴ τοῦ λόγου εἰς ἕτερον νόημα.

7. μέντοι γε] Ὥσπερ γὰρ ἐν ἐσόπτρῳ ὁρᾷ τις τὴν ἑαυτοῦ εἰκόνα, οὕτως ὁ βίος ὁ ἀνθρώπινος σκιᾶς δίκην ἢ καπνοῦ (ὕπνου) ἀφίσταται.

πλὴν μάτην] Ὅσοι ἐξ ἁρπαγῆς καὶ πλεονεξίας πλουτοῦσιν.

θησαυρίζει] Ἄδηλος γὰρ ὁ βίος καὶ ἀδήλως τρέχουσιν οἱ τερπόμενοι ἐν αὐτῷ· πτεροῦ γὰρ δίκην ἀφίσταται (ἀφίπταται).

8. καὶ νῦν τίς] Οἱ πιστοὶ καὶ ὅσοι ἐν ὑπομονῇ κτῶνται τὰς ἑαυτῶν ψυχάς, ἀκαταπαύστως βοῶσιν οὕτως.

καὶ ἡ ὑπόστασις] Παρὰ θεοῦ γὰρ ὁρίζονται (πορίζονται) τὴν ζωὴν οἱ πιστοί.

9. ἀπὸ πασῶν] Ὁ Χριστὸς ἐκ προσώπου τοῦ ἀνθρώπου βοᾷ πρὸς τὸν πατέρα.

ὄνειδος] Ὡς ἄφρονες γὰρ οἱ Ἰουδαῖοι ἐπεχείρουν ὀνειδίζειν τὸν Χριστὸν βλασφημοῦντες.

10. ἐκωφώθην] Τουτέστιν ὅτι οὕτως ἠθέλησας, ὁ υἱὸς φησὶ πρὸς τὸν πατέρα.

11. ἀπόστησον] Ἔστι δὲ τοῦτο, ὅταν ἔλεγε (λέγῃ) ὁ κύριος· πάτερ, εἰ δυνατόν, παρελθέτω ἀπ' ἐμοῦ τὸ ποτήριον τοῦτο. ἔλεγε δὲ βεβαιῶν τὸν ἄνθρωπον.

ἀπὸ τῆς ἰσχύος] Περὶ τοῦ Ἰούδα ὁ λόγος, ὅτι ἐκ τῆς χειρὸς τοῦ θεοῦ ἀπωσθείς, ἐξέλιπε τῆς μαθητείας.

12. ἐν ἐλεγμοῖς] Ἡνίκα βάψας τὸν ψωμὸν (τὸ ψωμίον) ὁ Χριστός, ἐπιδίδωσιν (ἐπέδωκε) τῷ Ἰούδᾳ καὶ ἐγύμνωσεν αὐτοῦ τὴν παράνομον καὶ δυσσεβῆ γνώμην.

καὶ ἐξέτηξας] Ὡς γὰρ ἡ ἀράχνη ἀνυπόστατός ἐστιν, οὕτως ἡ ψυχὴ τοῦ Ἰούδα καθῃρέθη πάσης δυνάμεως.

πλὴν μάτην] Αὐτὸς ὁ Ἰούδας καὶ οἱ σὺν αὐτῷ πάντες (οἱ μετ' αὐτοῦ)· κρατεῖσθαι γὰρ ὁ ἀκρατὴς (ἀκράτητος) οὐκ ἠδύνατο (οὐ δύναται).

Διάψαλμα: ἐναλλαγὴ τῆς προφητείας περὶ τοῦ ἀνθρώπου.

13. εἰσάκουσον] Τὸ πρόσωπον

τοῦ Ἀδὰμ ἀναδεξάμενος ὁ Χριστὸς βοᾷ· ἡ γὰρ φωνὴ αὕτη τοῦ Ἀδάμ.

ἐνώτισαι] Τουτέστι μὴ παρέργως μου (μοι) πρόσσχῃς, ἀλλ' οἴκτειρον τὰ δάκρυα τῆς μετανοίας μου.

ὅτι πάροικος] Διὰ γὰρ τὸν ἄνθρωπον ὁ Χριστὸς πάροικος ἐνομίσθη ἐν τῇ γῇ. διὸ λέγει [ὁ Χριστός]· ὁ δὲ υἱὸς οὐκ ἔχει ποῦ κλῖναι τὴν κεφαλήν.

καὶ παρεπίδημος] Τύπος γὰρ ἦσαν τῆς Χριστοῦ παρουσίας πατριάρχαι καὶ προφῆται, ὡς πάροικοι βιώσαντες ἐπὶ γῆς.

14. ἄνες μοι] Πρὸ γὰρ τοῦ θανάτου ἡ μετάνοια δεκτή· ἔτι οὖν ἐν ζωῇ ὢν ὁ ἄνθρωπος, ζητεῖ τὴν παρ' αὐτοῦ συγχώρησιν.

XXXIX.

Εἰς τὸ τέλος· τῷ Δαυὶδ ψαλμός] Ὅσα ἐπὶ τέλει περὶ τῆς Χριστοῦ παρουσίας γίνεσθαι ἤμελλεν, προέβλεπον οἱ προφῆται [διὰ τοῦ πνεύματος τοῦ ἁγίου λέγοντες].

2. Ὑπομένων] Ὁ Χριστὸς τὰ τοῦ πάθους, ὅμως δὲ καὶ οἱ ἐν ὑπομονῇ βιώσαντες παρρησιάζονται [ἐν τῇ] δόξῃ.

καὶ εἰσήκουσεν] Κατακαυχώμενος [γὰρ] ὁ Ἀδὰμ τῶν δαιμόνων ταῦτα ἐβόησεν ἐν τῇ πορουσίᾳ τοῦ Χριστοῦ.

3. καὶ ἀνήγαγεν] Ὁ Χριστός, ἐκ τοῦ τάφου ἀναστάς, συνανέστησε τὸν Ἀδὰμ ἐκ τοῦ ᾅδου, τουτέστιν ἐκ τοῦ βοθύνου, οὗ ὤρυξαν αὐτῷ οἱ δαίμονες διὰ τῆς παρακοῆς (διὰ τῆς ἀνομίας τῆς ἐκ τῆς παρακοῆς), ἐλευθερώσας αὐτὸν ἐκ τῆς ἰλύος τοῦ βορβόρου τῆς ἁμαρτίας (ἀνομίας).

καὶ ἔστησεν] Λέγει τὸν Χριστόν, ὃς ἔστη ἐπὶ τοῦ σταυροῦ ἐν τῇ πέτρᾳ τοῦ Γολγοθᾶ.

καὶ κατηύθυνεν] Καταστήσας τὸν ἄνθρωπον ἐπὶ τὴν ὁδὸν τῆς ἀληθείας, ὅ ἐστιν ὁ Χριστός, τοῦ μηκέτι ὧδε κἀκεῖσε ῥέμβεσθαι τῇ ἀπάτῃ τοῦ διαβόλου.

4. καὶ ἐνέβαλεν] Διδάξας τὸν ἄνθρωπον τὸ νέον ᾆσμα [καινὸν ὕμνον τῷ θεῷ ἡμῶν], τὸ μετὰ τὴν παρουσίαν τῆς χάριτος, τὸ μυστικόν, ὅπερ τοὺς μαθητὰς ἐδίδαξεν ὁ σωτήρ.

ὕμνον τῷ θεῷ] Τὸν τῶν ἀγγέλων, ὃν ᾄδουσιν· ἅγιος ἅγιος ἅγιος, κύριος Σαβαώθ.

ὄψονται πολλοί] Βλέποντα γὰρ τὰ ἔθνη καὶ ἀκούοντα τὴν ξένην λατρείαν, φόβῳ συσχεθέντα, ἔσπευσαν πρὸς ἐπιστροφήν, τῇ ἐλπίδι νευρούμενοι.

5. μακάριος ἀνήρ] Ἀξιωθέντα γὰρ τῆς πίστεως καὶ τῶν θείων μυστηρίων, μακαρισμὸν ἑαυτοῖς ἔπλεξαν.

καὶ οὐκ ἐνέβλεψεν] Νήψαντα γὰρ τὰ ἔθνη μέμφονται τὴν τῶν εἰδώλων ματαίαν μανίαν (τῇ τῶν εἰδώλων ματαίᾳ μανίᾳ), νοήσαντες ψευδῆ εἶναι τὰ παρ' αὐτοῖς.

6. πολλὰ ἐποίησας] Τίς γὰρ δυνατὸς ἐξιχνιάσαι τὴν βουλὴν τοῦ θεοῦ, ἣν περὶ τοῦ ἀνθρώπου ἐβουλεύσατο, ὁ προφήτης ἐκπληττόμενος βοᾷ.

καὶ τοῖς διαλογισμοῖς] Τίς γὰρ ἔγνω νοῦν κυρίου ἢ τίς σύμβουλος αὐτοῦ ἐγένετο ἢ τίς ἐξιχνίασε τὸ μυστήριον τῆς οἰκονομίας;

ἀπήγγειλα] Ὁ Χριστὸς φησίν· ἐλάλησα καὶ ἐδίδαξα ἐπὶ τῆς γῆς τὴν ζωὴν τὴν αἰώνιον· ἐπληθύνθησαν δὲ [ὑπὲρ ἀριθμὸν] οἱ πιστοί, ὡς ἀριθμῷ μὴ ὑποβάλλεσθαι.

7. θυσίαν] Τὰς νομικὰς τῶν Ἰουδαίων· ἐβδελύξατο γὰρ αὐτὰς ὁ Χριστὸς ὡς ἀσέμνους καὶ ἀνωφελεῖς.

σῶμα δέ] Σαρκωθεὶς ὁ κύριος (Χριστὸς) καὶ δώσας τὸ ἑαυτοῦ σῶμα εἰς ἀπόλαυσιν τῷ ἀνθρώπῳ (τῶν ἀνθρώπων).

ὁλοκαύτωμα] Μετὰ γὰρ τὴν ἄφιξιν τοῦ κυρίου κατηργήθησαν αἱ νομικαὶ θυσίαι, ἑαυτὸν προσενέγκας ὑπὲρ ἡμῶν θυσίαν.

8. τότε εἶπον] Ἰδοὺ ἐν κόσμῳ ὁ Χριστὸς [ἥκει] μετὰ σαρκός.

ἐν κεφαλίδι] Τουτέστιν ἐν πάσῃ βίβλῳ γέγραπται τὰ περὶ τῆς ἐνανθρωπήσεώς μου.

9. τοῦ ποιῆσαι] Καθὼς αὐτὸς λέγει· διὰ τοῦτο ἦλθον, ἵνα ποιήσω τὸ θέλημα τοῦ πέμψαντός με πατρός [μου].

καὶ τὸν νόμον] Ἐν μέσῳ γὰρ τῆς κοιλίας ἑκάστου ἀνθρώπου ἐνέβαλε τὸν νόμον τῆς χάριτος, τουτέστιν ἐν τῇ ψυχῇ· κοιλία γὰρ ἡ ψυχή.

10. εὐηγγελισάμην] Τουτέστι παγκοσμίως ἐδίδαξα περὶ τῆς βασιλείας τῶν οὐρανῶν.

ἰδοὺ τὰ χείλη] Τουτέστιν ἕως τέλους καὶ ἕως τοῦ αἰῶνος οὐ σιωπήσω διδάσκων.[1]

κύριε, σὺ ἔγνως] Ὁ Χριστὸς [φησὶ] πρὸς τὸν πατέρα, ὅτι βουλῇ αὐτοῦ καὶ ἑκουσίᾳ γνώμῃ ἦλθε σῶσαι τὸν ἄνθρωπον.

11. τὴν δικαιοσύνην] Οὔτε ἁμαρτωλοῖς οὔτε δικαίοις (οὔτε ἁμαρτωλοὺς οὔτε δικαίους) ἐκρυψα τοῦ ἀναγγεῖλαι τὴν μετάνοιαν.

τὴν ἀλήθειάν σου] Πᾶσι γὰρ τὸ μυστήριον τῆς ἐμῆς θεότητος ἔδειξα, τοῖς σωζομένοις.

οὐκ ἔκρυψα] Παντὶ γὰρ τῷ κόσμῳ, καὶ δικαίοις καὶ ἀδίκοις, ἐφανέρωσα τὴν ἀλήθειαν.

12. σὺ δέ, κύριε] Φησὶν ὁ υἱὸς πρὸς τὸν πατέρα· [ἐγὼ] ἔδειξα αὐτοῖς, οἰκτείρων τὸν ἄνθρωπον.

τὸ ἔλεός σου] Οὐδέποτε γὰρ ἐλεῶν ἀργεῖ ὁ θεός.[2]

13. ὅτι περιέσχον] Πολλαὶ γὰρ αἱ θλίψεις καὶ τὰ κακά, ἅπερ ἐνενόη-

[1] V. duos priores versiculos exprimit sic: *Εὐηγγελισάμην τὰ ἔθνη τὸν νόμον τῆς δικαιοσύνης, ὅ ἐστιν ἐκκλησία μεγάλη, καὶ ἕως τοῦ αἰῶνος οὐ σιωπήσω διδάσκων.*

[2] V. (totius versus scholion): *Ὁ προσερχόμενος μετὰ πίστεως ταῦτα λέγει· μὴ μακρύνῃς (ἀπ' ἐμοῦ) τὴν χάριν τοῦ ἁγίου σου πνεύματος, κύριε· οὔπω γὰρ ἀργεῖ ὁ θεὸς ἐλεῶν τὸν ἐρχόμενον πρὸς αὐτόν.*

σεν (ἐπενόησεν) ὁ διάβολος τῷ ἀνθρώπῳ.

κατέλαβον] *Πρὸ Χριστοῦ γὰρ ὁ ἄνθρωπος, ἀφεὶς τὸν φυσικὸν νόμον καὶ προσχωρήσας τοῖς εἰδώλοις, ἐτυφλώθη τῇ διανοίᾳ, καὶ ἀναβλέψαι οὐ συνεχωρεῖτο ὑπὸ τῶν δαιμόνων.*

ἐπληθύνθησαν] *Τὰ κακά, ἃ οἱ δαίμονες ἐξεῦρον (ἐξεῦραν) τῷ ἀνθρώπῳ.*

καὶ ἡ καρδία] *Ἀπὸ τῆς ἀθυμίας, τῆς περιεσχηκυίας τὸν ἄνθρωπον, οὔτε ἡ καρδία νῆψαι ἰσχύει (ἴσχυεν).*

14. *εὐδόκησον*] *Τουτέστιν τάχυνον ἐλθεῖν πρὸς ἡμᾶς· τῆς γὰρ σῆς παρουσίας χρῄζει ἡ κτίσις πᾶσα.*

κύριε] *Ὁ ἄνθρωπος [λέγει]· μὴ ἀναβάλλου τὴν σωτηρίαν· τὴν πρὸς ἡμᾶς, κύριε.*

15. *καταισχυνθείησαν*] *Οἱ δαίμονες· αὐτοὶ γὰρ τὴν ψυχὴν τοῦ ἀνθρώπου ἐξαπολέσαι ἐζήτουν (ἐζήτησαν)· κατῃσχύνθησαν δὲ οὗτοι καὶ ἐνετράπησαν ἐν τῇ παρουσίᾳ τοῦ κυρίου, ἰδόντες (εἰδότες) τὸν ἄνθρωπον ἐν θεότητι ἐποχούμενον (ἐπεχόμενον).*

ἀποστραφείησαν] *Νῦν περὶ Ἰουδαίων ὁ λόγος καὶ τοῦ Χριστοῦ· ἐν γὰρ τῷ ἀναστῆναι τὸν κύριον ἐκ νεκρῶν ἀπεστράφησαν ἐν αἰσχύνῃ οἱ Ἰουδαῖοι, οἱ θελήσαντες τὸν θάνατον τοῦ κυρίου (Χριστοῦ).*

16. *κομισάσθωσαν*] *Πολλὴν γὰρ ἐκομίσαντο αἰσχύνην οἱ Ἰουδαῖοι, ὅσοι ἐπὶ τῷ πάθει αὐτοῦ ἔκραζον· οὐά, οὐά.*

17. *ἀγαλλιάσαιντο*] *Πολλῆς γὰρ χαρᾶς καὶ ἀγαλλιάσεως ἐπλήσθησαν ἐπὶ τῇ ἐγέρσει τοῦ Χριστοῦ (κυρίου), ὅσοι ἐπὶ τοῦ σταυροῦ ἐπένθουν.*

καὶ εἰπάτωσαν] *Ἕως γὰρ τοῦ αἰῶνος λοιπὸν οὐ παύονται οἱ πιστοὶ δοξάζοντες καὶ μεγαλύνοντες τὸν κύριον Ἰησοῦν.*

18. *ἐγὼ δὲ πτωχός*] *Ὁ Χριστός, ὡς ἑκάτερα ἑκουσίως ἀναδεξάμενος (καταδεξάμενος, ἐνεδέξατο), ἵνα φροντίσῃ τοῦ ἀνθρώπου.*

βοηθός μου] *Βοηθὸς καὶ σωτὴρ ἐγένετο ὁ Χριστὸς τῷ γένει τῶν ἀνθρώπων, οὐκ ἐν χρόνῳ, ἀλλ' εἰς τὸν αἰῶνα.*

XL.

Εἰς τὸ τέλος· ψαλμὸς τῷ Δαυίδ] *Πάντοτε ὁ προφήτης περὶ τοῦ τέλους προέλεγεν, ὅσα ἔμελλεν ὁ κύριος ἐπιτελεῖν διὰ τὴν σωτηρίαν τοῦ ἀνθρώπου.*

2. *Μακάριος ὁ συνίων*] *Μακάριοι, φησί, καὶ τρισμακάριοι οἱ νοήσαντες καὶ συνιέντες τὸν Χριστόν, πῶς πλούσιος ὤν, ἑκουσίως ἐπτώχευσε καὶ πενίαν εἵλετο. οἱ γὰρ ἄπιστοι ταῦτα μυκτηρίζουσιν.*

ἐν ἡμέρᾳ] *Πάντας τοὺς πιστεύσαντας (πιστεύοντας) τῇ παρουσίᾳ τοῦ κυρίου. οὗτοι ῥυσθήσονται ἀπὸ πάσης πονηρίας (ἐπηρείας) τοῦ διαβόλου.*

3. κύριος φυλάξαι αὐτόν] Τὸν πιστόν, τὸν κεκολλημένον τῷ σώματι τοῦ Χριστοῦ (κυρίου) ἐν πίστει εἰλικρινεῖ, ἐν τῷ κόσμῳ τούτῳ φυλάσσει ἀσφαλῶς, ὡς ἐν κακοῖς ὄντα τὸν βίον, καὶ τὴν ζωὴν ἀγαθὴν παρέχει· μακαρίζει δὲ τότε ἐν τῇ γῇ τοῦ παραδείσου.

καὶ μὴ παραδοῖ] Νοητῶν[1] ἐχθρῶν καὶ αἰσθητῶν, τουτέστιν ἀνθρώπων καὶ δαιμόνων.

4. κύριος βοηθήσαι] Τῶν τοῦ σώματος παθῶν ἐπὶ τῆς αἰσθητῆς κλίνης λυτροῦνται [εὐχερῶς οἱ πιστοί, τὸ δὲ ὅλον ἐστίν, ὥστε] ἐν τῷ θανάτῳ· κλίνην γὰρ ἀσφαλῆ λέγει τὸν θάνατον.[2]

ὅλην τὴν κοίτην] Αὐτὸν γὰρ (τὸν ἄνθρωπον) καὶ τὸν τάφον τοῦ ἀνθρώπου μετέβαλεν εἰς ἀφθαρσίαν, κατελθὼν ἐν τῷ ᾅδῃ ὁ κύριος· τὸ γὰρ στρέψαι ἐστὶ τὸ μεταβαλεῖν ἀπὸ τοῦ κακοῦ εἰς τὸ ἀγαθόν.

5. ἐγὼ εἶπα] Ταῦτα ὁ Ἀδὰμ πρὸς τὸν θεὸν ἐβόησεν, ὡς τραυμάτων πλήρη τὴν ψυχὴν ἔχων (πλήρης ὤν) διὰ τὴν παράβασιν.

6. οἱ ἐχθροί μου] Καθάπερ οἱ δαίμονες τῷ Ἀδάμ, οὕτω οἱ Ἰουδαῖοι κατὰ τοῦ Χριστοῦ· αὐτοὶ γὰρ ἐχθροὶ τοῦ κυρίου πρὸς ἀλήθειαν, οἱ λέγοντες· δεῦτε, ἀποκτείνωμεν αὐτόν.

πότε ἀποθανεῖται] Ἔσπευδον γὰρ οἱ Ἰουδαῖοι ἰδεῖν τὸν θάνατον τοῦ κυρίου.

7. καὶ εἰ εἰσεπορεύετο] Ὁ Ἰούδας, εἰσερχόμενος πρὸς τοὺς ἄρχοντας τοῦ λαοῦ (ᾅδου) καὶ συμφωνῶν μετ' αὐτῶν περὶ τοῦ Χριστοῦ· ματαία δὲ ἦν αὐτοῦ ἡ βουλή.

ἡ καρδία αὐτοῦ] Τοῦ Ἰούδα ἡ καρδία ἐπεσώρευσεν ἑαυτῷ τὴν ἀνομίαν, λογισάμενος τὴν φιλαργυρίαν καὶ τὴν προδοσίαν τοῦ Χριστοῦ.

ἐξεπορεύετο] Πάλιν ἐξερχόμενος πρὸς τὸν λαόν, τὰ αὐτὰ συνετάσσετο (συνελάλει) καὶ αὐτοῖς.

8. ἐπὶ τὸ αὐτὸ κατ' ἐμοῦ] Ὁ Ἰούδας καὶ οἱ σὺν αὐτῷ καθ' ἡσυχίαν συνεβουλεύοντο (ἐβουλεύοντο), ποίῳ τρόπῳ πράξουσι τὴν ἀσέβειαν.

9. λόγον παράνομον] Οἱ Ἰουδαῖοι λέγοντες· οὗτος ὁ ἄνθρωπος οὐκ ἔστιν ἐκ τοῦ θεοῦ, ἀλλὰ καὶ δαιμονιῶντα ἐκάλουν.

μὴ ὁ κοιμώμενος] Διαγελᾷ τῶν Ἰουδαίων τὰ σκέμματα (σκώμματα), ὡς οἰόμενοι διὰ τοῦ θανάτου θραύειν αὐτόν, ὡς ἕνα τῶν καθ' ἡμᾶς. ὁ δὲ φησί· πῶς με νομίζετε θανάτῳ περιβαλεῖν τὴν ζωήν; ὕπνος γάρ ἐστιν ἐμοὶ τὸ πάθος (παθεῖν).[3]

---

[1] V. praecedit: *Καὶ οὐ μὴ παραδώσει αὐτόν, τουτέστιν; τουτέστιν* posterioris loci in V. exprimitur verbo *καί*.

[2] V. praebet haec: *Καὶ τῶν παθῶν τοῦ σώματος ἐπὶ τῆς αἰσθητῆς κλίνης λυτροῦνται οἱ πιστοὶ εὐκαίρως, τὸ δὲ ὅλον ἐστὶν ὥστε ἐν τῷ θανάτῳ. κλίνην γὰρ ἀσφαλῆ λέγει τὸν θάνατον.* Sed A. post *τὸ δὲ ὅλον ἐστίν* addidit *περὶ τῆς ἐν θανάτῳ κλίνης*, deinde procedit: *κλίνην γὰρ λέγει τὸν θάνατον ἡ γραφή.*

[3] Ven.: *Νομίζετε, φησίν, Ἰουδαῖοι, ὅτι ἐὰν ὡς δοκεῖτε, φησίν, θανατώσητε τὸν κύριον, οὐκ ἐγείρεται; ἐγείρεται δὲ καὶ σφόδρα καθ' ὑμῶν . .* A. sic: *νομίζετε, φησίν, ὦ Ἰουδαῖοι, θανατώσαντες τὸν κύριον, οὐκ ἐγερθήσεται; καὶ σφόδρα ἐγήγερται καθ' ὑμῶν.*

10. καὶ γὰρ ὁ ἄνθρωπος] Ὁ Ἰούδας, ᾧ πάντα ἐπίστευον ὡς ἀποστόλῳ, καὶ πάντα ἐθάρρουν, καὶ αὐτὸς εὑρέθη κατ' ἐμοῦ.

ὁ ἐσθίων ἄρτους] Ὁ συναυλιζόμενος, φησί, μετ' ἐμοῦ ἐν τῇ τραπέζῃ, ὡς ἀδελφός, οὗτος τοὺς Ἰουδαίους κατ' ἐμοῦ ἐπτέρνισεν εἰς κακόν.

11. σὺ δέ, κύριε] Ὁ κυριακὸς ἄνθρωπος πρὸς τὴν θεότητα λέγων· ἀνάστησόν με καὶ σκορπιῶ αὐτοὺς ἐπὶ πᾶν τὸ πρόσωπον τῆς γῆς.

12. ἐν τούτῳ ἔγνων] Ἐν τῷ ἀναστῆναι καὶ ἀνταποδοῦναι Ἰουδαίοις κατὰ τὰ ἔργα αὐτῶν.

ὅτι οὐ μὴ ἐπιχαρῇ] Κατῃσχύνθη γὰρ ὁ διάβολος καὶ οὐκ ἐχάρη ἐπὶ τῇ ἀναστάσει τοῦ κυρίου καὶ τῇ σωτηρίᾳ τοῦ ἀνθρώπου.

13. ἐμοῦ δέ] Τοῦ Ἀδάμ· ἄκακος γὰρ ὤν, ὑπέπεσε τῇ παραβάσει, ἀνέστη δὲ ὑπὸ τῆς θεότητος.

καὶ ἐβεβαίωσας] Ἀσφαλισάμενος τῇ χάριτι τὸν ἄνθρωπον, συνεγείρας καὶ συγκαθίσας ἐν τῷ οὐρανῷ (συγκαθίσας τὸν ἄνθρωπον).

14. εὐλογητὸς κύριος] Ὁ προφήτης ἐπὶ τοῖς μυηθεῖσι (μηνυθεῖσι) δι' αὐτοῦ μυστηρίοις εὐχαριστεῖ τῷ θεῷ.

XLI.

Εἰς τὸ τέλος· εἰς σύνεσιν τοῖς υἱοῖς Κόρε] Κόρε φαλάκρωμα ἑρμηνεύεται, ἐπειδὴ Ἰουδαίοις ὁ θεὸς ἠπείλησε καὶ φησίν· ἀντὶ τοῦ κόσμου τῆς κεφαλῆς φαλάκρωμα ἕξεις. ἀφῃρέθη γὰρ αὐτῶν (αὐτῷ) πάντα τὰ ἐπιθυμητά. ἀντὶ τούτου φησίν· εἰ βούλοιτο (βούλοιντο) ἐπιστρέφειν οἱ προφῆται παρακαλοῦσι. διὸ λέγει· εἰς σύνεσιν ὁ ψαλμός.

2. Ὃν τρόπον ἐπιποθεῖ] Ἡ (ὁ) ἔλαφος θερμόν ἐστι ζῶον καὶ ἀεὶ σπεύδει πρὸς (ἐπὶ) τὰ ὕδατα· οὕτως, φησίν, ὁ κατὰ θεὸν ἄνθρωπος ὀφείλει μετὰ πόνου ψυχῆς, ὥσπερ διψῶν, σπεύδειν πρὸς τὸν θεόν. λέγει δὲ ὁ προφήτης τὸ βάπτισμα, εἰς ὃ ἐπιποθεῖν ὀφείλουσιν οἱ ἀμύητοι.

οὕτως ἐπιποθεῖ] Ἀνένδοτος γὰρ ὀφείλει εἶναι καὶ ἡ πρὸς τὸν θεὸν ἐπιθυμία τοῦ πιστοῦ ἀνθρώπου καὶ ἀκατάπαυστος.

3. ἐδίψησεν][1] Περὶ γὰρ τῶν τοιούτων μακαρίζει ὁ κύριος λέγων· μακάριοι οἱ πεινῶντες καὶ διψῶντες τὴν δικαιοσύνην. οὕτω γὰρ καὶ ὁ Ἀδὰμ ἐδίψα, φλεγόμενος τῷ καύσωνι τῆς ἁμαρτίας καὶ περιέμενε τὴν παρουσίαν τοῦ θεοῦ (Χριστοῦ).

πότε ἥξω] Τουτέστιν ἥξει πρὸς μὲ ὁ θεὸς καὶ ὀφθήσομαι τῇ δόξῃ αὐτοῦ.

4. ἐγενήθη] Ἀντὶ γὰρ τῶν ἄρτων τῇ φορᾷ τῶν δακρύων ἐτρέφετο· οὔτε γὰρ ἡμέρας οὔτε νυκτὸς

[1] V. incipit sic: θεὸν μὲν τὸν πατέρα εἰπών, ἰσχυρὸν δὲ τὸν υἱόν, ζῶντα δὲ τὸ παράκλητον πνεῦμα. Post δικαιοσύνην add. ὅτι αὐτῶν ἐστιν ἡ βασιλεία τῶν οὐρανῶν οὕτως κτλ.

ἐπαύετο θρηνῶν, βαρυνόμενος (βαρούμενος) τῇ ἁμαρτίᾳ.

ἐν τῷ λέγεσθαι] Ὠνείδιζον γὰρ οἱ δαίμονες τὸν ἄνθρωπον καθ' ἑκάστην λέγοντες· ποῦ ἐστιν, ὃν προσδοκεῖς (προσδοκεῖ) εἰς βοήθειαν, ὡς οἱ Ἰουδαῖοι κατὰ μίμησιν τῶν δαιμόνων ἔλεγον τῷ Χριστῷ· εἰ υἱός ἐστι τοῦ θεοῦ, σωσάτω ἑαυτόν.

5. ταῦτα ἐμνήσθην] Τίς ὁ μνησθείς; ὁ Χριστός. ἐμνήσθη γὰρ τοῦ ἀνθρώπου, ὅτι καταποθεὶς ἐτύγχανεν ὑπὸ τῶν δαιμόνων καὶ ἐξέχεε τὸ ἔλεος αὐτοῦ ἐπ' αὐτόν, ἐλθὼν πρὸς ἀναζήτησιν αὐτοῦ.

ὅτι διελεύσομαι] Σκηνή, ὡς σωματικῶς θελήσας καὶ κατασκηνώσας ἐν αὐτῇ· καὶ οἶκος, ὡς ἐνοικήσας ὁ θεός. λέγει τὸ σῶμα τοῦ Ἀδάμ, ὃ ἀναλαβὼν (ὁ κύριος) ἔσωσε τὸν ἄνθρωπον.

ἐν φωνῇ] Ἐν γὰρ τῷ ἐπιδημῆσαι τὸν κύριον ἐπὶ τῆς γῆς πάντα ἐπλήρωσεν ἀγαλλιάσεως, ἐξομολογουμένης τῆς ἀνθρωπότητος τῷ θεῷ, ὡς ἦχον γενέσθαι πάσῃ τῇ κτίσει τὴν σωτηρίαν τὴν γενομένην, ἑορταζόντων τῶν πιστῶν ἐπὶ τοῖς μυστικοῖς.

6. ἵνα τί περίλυπος] Ὁ Πέτρος γὰρ περιπεσὼν τῇ ἀρνήσει, περίλυπος ἐγένετο ἕως θανάτου, ὅθεν ἔκλαυσε πικρῶς, ταρασσόμενος τῇ διανοίᾳ καὶ συνεχόμενος.

ἔλπισον] Ἐλπίδα γὰρ εἶχε σωτηρίας, ὅτι ᾔδει, ὅτι οὐκ ἀπὸ καρδίας ἠρνήσατο, ἀλλὰ διὰ φόβον, ὅθεν ἔλεγε πρὸς ἑαυτόν· ἔλπισον ἐπὶ τὸν θεόν, ὅτι ἐξομολογήσομαι αὐτῷ.

σωτήριον] Κατὰ πρόσωπον γὰρ ἑώρα τὴν ἐσομένην σωτηρίαν καὶ ὅτι διὰ τοῦτο παρεγένετο, ἵνα ἁμαρτωλοὺς καλέσῃ εἰς μετάνοιαν.

7. πρὸς ἐμαυτόν] Θόρυβον γὰρ καὶ τρόμον εἶχεν ἐν τῇ ψυχῇ ὁ Πέτρος, ὅτι μὴ ἄρα εἰς τὸ τέλος ἀποβληθῇ. αἰνίττεται δὲ καὶ τὴν ὥραν τοῦ πάθους, ἐν ᾗ ἔλεγεν ὁ κύριος· περίλυπός ἐστιν ἡ ψυχή μου ἕως θανάτου.

διὰ τοῦτο μνησθήσομαι] Ἐκ γῆς Ἰορδάνου, ὅτι ἐν αὐτῷ κατέβη ὁ κύριος. Ἑρμωνιείμ δὲ ἑρμηνεύεται ἀνάθημα. ἐν τῷ Ἰορδάνῃ οὖν ὑπέδειξε τὸ λουτρὸν τῆς ἀφθαρσίας. διὰ δὲ τοῦ ὄρους ἀνέθηκεν ἑαυτῷ τὸν ἄνθρωπον. αἰνιγματωδῶς οὖν ὁ προφήτης ἑκάτερα ἐφανέρωσεν.

8. ἄβυσσος] Ἄβυσσος ὁ υἱὸς ὡς ἀκατάληπτος· ἄβυσσος ὁ πατὴρ ὡς ἀνεξιχνίαστος· ἐπεκαλέσατο δὲ ὁ υἱὸς ἐν τῷ σταυρῷ τὸν πατέρα, ὅταν ἔκραξεν ἐλωεὶ ἐλωεὶ εἰς ἀκοὴν τῶν οὐρανίων δυνάμεων, ὅ ἐστιν οἱ καταρράκται.

πάντες] Οἱ πειρασμοὶ τὰ πάθη τὰ ἀνθρώπινα, ὅσα ἐπανέστησαν τῷ Χριστῷ διὰ τὸν ἄνθρωπον.

9. ἡμέρας ἐντελεῖται] Ὅλην γὰρ τὴν ἡμέραν ἐπὶ τοῦ σταυροῦ ἔπραττε τὴν σωτηρίαν τοῦ ἀνθρώπου (κόσμου).

καὶ νυκτὸς δηλώσει] Νυκτὸς γὰρ ἡ ἀνάστασις· ὄρθρου γὰρ βαθέος ἐγένετο. ᾄδεται δὲ παρὰ τοῖς πιστοῖς ἕως τοῦ αἰῶνος.

παρ' ἐμοὶ προσευχή] *Πάντες γὰρ ἐν ὕμνοις καὶ προσευχαῖς τὴν νύκτα τελοῦσιν ἐκείνην.*

10. ἐρῶ τῷ θεῷ] *Ὡς ἄνθρωπος γὰρ προσεύχεται ἐκ προσώπου τοῦ Ἀδάμ, ἵνα βεβαιώσῃ τὴν σάρκα.*

ἵνα τί σκυθρωπάζων] *Ἐν γὰρ τῷ πάσχειν τὸν Χριστὸν πάντες οἱ τοῦ Χριστοῦ ἐν θλίψει ἦσαν τυγχάνοντες (στυγνάζοντες).*

11. ἐν τῷ καταθλᾶσθαι] *Ἐν τῷ διὰ τῶν ἥλων τιτρᾶσθαι (τιθλᾶσθαι) τὰ ὀστᾶ μου τῶν χειρῶν καὶ τῶν ποδῶν μου ἐπὶ τοῦ σταυροῦ οἱ Ἰουδαῖοι ὠνείδιζον τὸν σωτῆρα.*

ἐν τῷ λέγειν] *Ἔλεγον γάρ· εἰ υἱός ἐστι τοῦ θεοῦ, καταβάτω ἀπὸ τοῦ σταυροῦ· σωσάτω αὐτόν, ὅτι θέλει αὐτόν.*

12. ἵνα τί περίλυπος] *Πρὸς τὸν χορὸν τῶν ἀποστόλων ὁ λόγος· ἐταράσσοντο γὰρ ἐν τῷ καιρῷ τοῦ σταυροῦ αἱ ψυχαὶ αὐτῶν καὶ ἦσαν περίλυποι σφόδρα.*

ἔλπισον] *Πιστεύσατε τουτέστι τῷ θεῷ ἐξομολογούμενοι, ὅτι θεὸς σαρκὶ πάσχει (πάσχων), ἀναστήσεται δὲ καὶ χαιρήσεσθε.*

ἡ σωτηρία] *Καὶ γὰρ θεὸς καὶ σωτὴρ πάντων αὐτὸς ὑπάρχει.*

XLII.

Ψαλμὸς τῷ Δαυίδ] *Περὶ τῶν αὐτῶν ἡ προφητεία λαλεῖ εἰς Χριστόν.*

1. Κρῖνόν με] *Ὁ Χριστὸς πρὸς τὸν πατέρα περὶ τοῦ ἔθνους τῶν Ἰουδαίων ὡς ἀνοσίων τὴν δίκην ἐπιζητεῖ, ὡς κακὰ ἐπ' αὐτὸν λογισαμένων.*

ἀπὸ ἀνθρώπου] *Λέγει μὲν περὶ τοῦ διαβόλου, λέγει δὲ καὶ περὶ τοῦ Ἰούδα, ὅτι τὸν δόλον ἐτέκταινεν ἐν τῇ καρδίᾳ.*

2. ὅτι σὺ εἶ] *Ὁ ἄνθρωπος λέγει πρὸς τὸν θεόν (τῷ θεῷ)· ὅτι ἔργον τῶν χειρῶν σου εἰμί. διατί παρέδωκάς με τῷ ἐχθρῷ;*

ἵνα τί ἀπώσω με] *Ἐν γὰρ τῷ ἐπικεῖσθαί μοι τὸν διάβολον πάσης χαρᾶς ἐστέρημαι, φησὶν ὁ ἄνθρωπος.*

3. ἐξαπόστειλον] *Τουτέστιν ἐλθάτω λοιπὸν ὁ Χριστός, ὁ λέγων· ἐγώ εἰμι τὸ φῶς καὶ ἡ ἀλήθεια, καὶ ἐλευθερωσάτω τὸν ἄνθρωπον ἐκ τῆς τυραννίδος τοῦ διαβόλου.*

αὐτά με ὡδήγησαν] *Αὐτὸς γὰρ ὁ Χριστός, ἐπιστρέψας τὸν ἄνθρωπον, ἤγαγεν ἐπὶ τὴν πίστιν· ὅρος γὰρ ἡ πίστις ὡς ἀσάλευτος ἢ ὡς καὶ αὐτὸς ὁ Χριστός, ἑαυτὸν προσενέγκας ἐπὶ τὸ ὄρος τοῦ Γολγοθᾶ.*

καὶ εἰς τὰ σκηνώματα] *Λέγει τὰς ἐκκλησίας· σκηνώματα γὰρ θεοῦ αἱ ἐκκλησίαι εἰσίν. ἐκεῖ γὰρ ἤγαγε τὸν ἄνθρωπον ὡς εἰς λιμένα.*

4. καὶ εἰσελεύσομαι] *Τοῖς γὰρ θυσιαστηρίοις λοιπὸν παρεδρεύουσιν οἱ πιστοί, ἐκεῖθεν τὴν διατροφὴν ἔχοντες τὴν μυστικήν.*

πρὸς τὸν θεόν] Εὐφροσύνη γὰρ τῷ ἀνθρώπῳ ἀθάνατος τὸ νέον μυστήριον, ὅ ἐστι τὸ σῶμα καὶ τὸ αἷμα τοῦ Χριστοῦ.

ἐξομολογήσομαι] Κιθάρα δέ ἐστιν ἡ γλῶσσα τοῦ ἀνθρώπου, ὥστε, φησίν, οὐκέτι ἀργεῖ [ἡ γλῶσσα τοῦ ἀνθρώπου] ἐξομολογουμένη.

5. ἵνα τί περίλυπος εἶ] Θεοῦ γὰρ παρόντος καὶ λύπης καὶ ταραχῆς ἀπηλλάγη ὁ ἄνθρωπος ὁ πιστός.

ἔλπισον] Τῇ ἐλπίδι γὰρ τῇ εἰς θεὸν ὀχυρώτερος (ὠχυροῦτο λοιπὸν) ὁ ἄνθρωπος.

σωτήριον] Καὶ σωτηρία καὶ θεὸς τοῦ προσώπου τοῦ ἀνθρώπου ἐγένετο ἡ παρουσία Χριστοῦ καὶ θεοῦ (τοῦ κυρίου ἡμῶν, Ἰησοῦ Χριστοῦ καὶ θεοῦ).

XLIII.

Εἰς τὸ τέλος· τοῖς υἱοῖς Κόρε εἰς σύνεσιν ψαλμός] Περὶ Ἰουδαίων ὁ λόγος, ὧν ὁ κόσμος τῆς κεφαλῆς ἀφῃρέθη, τουτέστιν ὁ Χριστός. ἐξ αὐτῶν γὰρ ἐγεννήθη, ἀλλὰ τοῖς ἔθνεσιν ἐδόθη. εἰς σύνεσιν οὖν, ὥστε ἐπιστρέψαι αὐτοὺς ἡ προφητεία δηλοῖ (λέγει).

2. Ὁ θεός] Οἱ ἐκ τοῦ λαοῦ τῶν Ἰουδαίων πιστεύσαντες ταῦτα πρὸς τὸν θεὸν λέγουσιν εὐχαριστοῦντες.

οἱ πατέρες ἡμῶν] Προέλεγον γὰρ τὴν σὴν παρουσίαν, κύριε ὁ θεὸς ἡμῶν.

ἔργον ὃ εἰργάσω] Ὅσα ἐποίησας μετ' αὐτῶν [φησίν], ἐμάθομεν· πῶς θάλασσαν ἐξήρανας, πῶς ἐν τῇ ἐρήμῳ τὸν λαὸν ἐτροποφόρησας, καὶ τὰ λοιπὰ θαυμάσια. καὶ διὰ τοῦτο καταφεύγομεν ἐπὶ σέ, ὁ θεὸς ἡμῶν.

3. ἡ χείρ σου] Τὰ ἔθνη τῶν Ἀμορραίων καὶ Χετταίων καὶ τὰ ἑξῆς. ταῦτα γὰρ ἐξωλόθρευσας, ἵνα τὸν λαὸν κατοικίσῃς.

ἐκάκωσας] Τοὺς τῶν Ἰουδαίων· ἐκάκωσας αὐτοὺς καὶ ἐξέωσας αὐτοὺς τοῦ νόμου καὶ τοῦ τόπου· οὐ γὰρ ἐνόησαν τὸν Χριστὸν εἶναι θεόν, ὑπερασπιστὴν αὐτῶν.

4. οὐ γὰρ ἐν τῇ ῥομφαίᾳ] Οὐ γὰρ ἐν τῇ ἰδίᾳ δυνάμει ἔλαβον τὴν γῆν τῆς ἐπαγγελίας, ἀλλὰ θελήματι θεοῦ· οὐκ ἐνόησαν δὲ ὡς ἀχάριστοι ἀεί.

καὶ ὁ βραχίων] Οὔτε γὰρ ἐν ἰσχύι ἰδίᾳ ἐσώθησαν ἀπὸ τῶν πολεμούντων αὐτούς· βραχίων γὰρ δύναμις ἑρμηνεύεται· ἀλλὰ δύναμις ⟨δυνάμει⟩ θεοῦ, οὐκ ἐνόουν δέ.

ἀλλ' ἡ δεξιά] Ἡ δεξιὰ γὰρ τοῦ θεοῦ καὶ ἰσχὺς καὶ ὁ φωτισμὸς (τὸ φῶς) τῆς δόξης τοῦ προσώπου τοῦ θεοῦ κατεκληροδότει αὐτοῖς τὰ ἀγαθά.

ὅτι εὐδόκησας] Ὅτι θέλημά σου ἦν ἐν αὐτοῖς.

5. σὺ εἶ αὐτός] Ὁ ἐνανθρωπισθεὶς θεὸς καὶ σώσας τὸ γένος τὸ

ἀνθρώπινον καὶ βασιλεύων εἰς τοὺς αἰῶνας.

ὁ ἐντελλόμενος] Ὁ προστάξας τὴν σωτηρίαν τοῦ νέου λαοῦ, ὅ ἐστι τοῦ Χριστοῦ. Ἰακὼβ γὰρ πανταχοῦ ὁ Χριστὸς ἑρμηνεύεται.

6. ἐν σοὶ τοὺς ἐχθρούς] Ὁ πιστὸς λαός, ὁ ἐξ ἐθνῶν, ἐχθροὺς λέγει τοὺς δαίμονας· τούτους ἐξώσαμεν τῇ δυνάμει τοῦ σταυροῦ. κέρας γὰρ ὁ σταυρός· διὸ λέγει κέρατα ἐν χερσὶν αὐτοῦ.

καὶ ἐν τῷ ὀνόματι] Τουτέστιν μισήσομεν· βδελυκτὴ γὰρ ἡ εἰδωλολατρεία (ὑπερηφανία) μετὰ τὴν ἄφιξιν τοῦ Χριστοῦ.

7. οὐ γὰρ ἐπὶ τῷ τόξῳ] Οὔτε γὰρ ἐπὶ τῇ εὐγλωττίᾳ ἑλληνικῇ οὔτε δυνάμει οἰκείᾳ (ἰδίᾳ) ἐπέγνωμεν τὸν θεόν (Χριστόν), φησὶ τὰ ἔθνη, ἀλλὰ ἀγαθότητι θεοῦ ἐσώθημεν.

8. ἔσωσας] Τῶν πνευμάτων τῆς πλάνης, ὅτι ἔθλιψαν τὰ ἔθνη διὰ τῆς εἰδωλολατρείας.

καὶ τοὺς μισοῦντας] Τοὺς δαίμονας· ἐξ ἀρχῆς γὰρ μῖσος πρὸς τὸν ἄνθρωπον κέκτηνται.

9. ἐν τῷ θεῷ] Ὁ ἔπαινος γὰρ τῶν πιστῶν ἐκ τοῦ θεοῦ ὅλην τὴν ἡμέραν, τουτέστιν ἕως τοῦ αἰῶνος.

καὶ ἐν τῷ ὀνόματι] Ἕως γὰρ τοῦ αἰῶνος οὐ παύονται οἱ πιστοὶ ἐξομολογούμενοι καὶ δοξάζοντες (δοξολογοῦντες) τὸν θεόν.

Διάψαλμα· μεταφορὰ τῆς προφητείας [εἰς τὸν λαὸν τῶν Ἰουδαίων].

10. νυνὶ δὲ ἀπώσω] Ὁ λαὸς τῶν Ἰουδαίων[1] κράζει ὡς ἀπωσθεὶς ἀπὸ (ὑπὸ) θεοῦ.

καὶ οὐκ ἐξελεύσῃ] Οὐκέτι γὰρ μετ' αὐτῶν εἰς ἀντίληψιν πάρεστιν ὁ θεός, οὔτε εἰς πόλεμον.

11. ἀπέστρεψας] Ἀπεστράφησαν γὰρ οἱ Ἰουδαῖοι ὀπίσω τῶν δαιμόνων, (ὡς) ἐχθρῶν ἑκουσίων.

καὶ οἱ μισοῦντες] Εἰς διαρπαγὴν γὰρ παρεδόθησαν τοῖς ἐχθροῖς διὰ τὴν ἀσέβειαν αὐτῶν.

12. ἔδωκας ἡμᾶς] Εἰς τὸ κατεσθίεσθαι ὑπὸ πάντων τῶν ἐθνῶν (ἐχθρῶν) καὶ τῶν δαιμόνων.

καὶ ἐν τοῖς ἔθνεσιν] Εἰς πᾶν γὰρ πρόσωπον τῆς γῆς ἐσκορπίσθησαν οἱ Ἰουδαίων παῖδες.

13. ἀπέδου τὸν λαόν] Ὅταν τοῖς Βαβυλωνίοις δίχα τιμῆς ἀπεδόθησαν· οὔτε γὰρ ἐτιμήθησαν παρὰ Χαλδαίοις ὡς θεοῦ γένος.

καὶ οὐκ ἦν πλῆθος] Τουτέστιν οὐκ ἦν ἀριθμὸς ἐν τοῖς θρήνοις ἡμῶν.

14. ἔθου ἡμᾶς ὄνειδος] Κατεγέλων γὰρ αὐτοὺς οἱ ἔγγιστα (αὐτῶν), ὅτι (πῶς) γένος θεοῦ ὑπάρχοντες αἰχμάλωτοι τυγχάνουσι.

μυκτηρισμόν] Οἱ γὰρ κύκλῳ αὐτῶν ἐχλεύαζον αὐτοὺς μυκτηρίζοντες, ὅτι πῶς ἀπερρίφησαν ἀπὸ τοῦ θεοῦ αὐτῶν.

---

[1] V. addidit: τῶν ἀπειθῶν, τῶν ἀγνωμόνων, τῶν ἀχαρίστων, ταῦτα κράζει κτλ.

15. ἔθου ἡμᾶς] Τουτέστιν τὰ ἔθνη, φησίν, ἔλεγον· οὕτως μὴ γενώμεθα ὡς Ἰουδαῖοι βδελυκτοί.

κίνησιν κεφαλῆς] Πάντες γὰρ οἱ ὁρῶντες αὐτοὺς ἐκίνουν τὰς κεφαλάς, θαυμάζοντες ὅτι πῶς ἀπὸ τῆς δόξης τοῦ θεοῦ ἐξέπεσον οἱ Ἰουδαῖοι.

16. ὅλην τὴν ἡμέραν] Ἕως γὰρ τοῦ αἰῶνος οὐκ ἀφαιρεθήσεται τὸ ὄνειδος ἀπ' αὐτῶν.

καὶ ἡ αἰσχύνη] Τότε μάλιστα, ὅταν ἴδωσιν τὸν Χριστὸν ἐπὶ θρόνου δόξης κρίνοντα ζῶντας καὶ νεκρούς.

17. ἀπὸ φωνῆς] Τὰ γὰρ ἔθνη πιστεύσαντα μεγάλῃ φωνῇ ὠνείδιζον τοὺς Ἰουδαίους, πῶς ἀπ' αὐτῶν ἡ δόξα εἰς τὰ ἔθνη μετέστη.

ἀπὸ προσώπου] Τοῦ διαβόλου καὶ τῶν δαιμόνων· ὑπ' αὐτοῦ γὰρ ἀπατηθέντες διώκονται, ὡς μισητοί.

18. ταῦτα πάντα ἦλθεν] Φησί, τὴν θεοσέβειαν ἐφύλαττον τὸ τέλειον, μὴ δεξάμενοι (τουτέστι) τὸν Χριστόν.

καὶ οὐκ ἠδικήσαμεν] Τὸν νόμον γὰρ τῷ δοκεῖν ἐφύλαττον, ἀλλὰ τὸν λόγον καὶ θεὸν οὐκ ἐδέξαντο.

19. καὶ οὐκ ἀπέστη] Φησὶ γάρ· οὐκ ἀπέστησαν τοῦ θεοῦ, ἀλλὰ τοῦ υἱοῦ τὴν παρουσίαν οὐκ ἐδέξαντο.

καὶ ἐξέκλινας] Ἀπερρίφησαν γὰρ καὶ τοῦ νόμου καὶ τῆς χάριτος, ὅ ἐστιν ὁδὸς ἀληθείας, ὥστε μὴ βαδίζειν (περιπατεῖν) ἐν αὐτῇ (ἐν αὐτοῖς).

20. ὅτι ἐταπείνωσας] Ἔξω τῆς γῆς αὐτῶν γενόμενοι καὶ ἐν τοῖς ἔθνεσιν διασπαρέντες (ἐν αὐτῇ κατασπαρέντες).

καὶ ἐπεκάλυψεν] Σκιὰν γὰρ εἶχεν (ὡς σκιὰν γὰρ ἔχων) ὁ νόμος τοῦ θανάτου τοῦ Χριστοῦ καὶ τῆς ἀναστάσεως, καὶ ἐν αὐτῇ ἐθανατώθησαν, μὴ δεξάμενοι τὴν ἀλήθειαν.

21. εἰ ἐπελαθόμεθα] Ἐνταῦθα πάλιν τὰ ἔθνη βοᾷ καὶ λέγει· ἡμεῖς τῷ ὀνόματί σου πιστεύσαντες ἐσώθημεν.

καὶ εἰ διεπετάσαμεν] Οὐκέτι γὰρ εἰδώλοις τὰς χεῖρας ἡμῶν ἐξετείναμεν· θεῷ γὰρ ζῶντι ἐπιστεύσαμεν.

22. οὐχὶ ὁ θεός] Οὕτως ἠθέλησας ζητῆσαι (αὐτὸς θελήσας ἐζήτησε) τὴν ἐπιστροφὴν τῶν ἐθνῶν.

αὐτὸς γάρ] Ἠπίστατο γὰρ ὁ (ὡς) θεὸς τὴν ἐπιστροφὴν τῶν ἐθνῶν, τὴν μέλλουσαν ἔσεσθαι ἐπὶ τέλει.

23. ὅτι ἕνεκα σοῦ] Ἐξ αὐτῶν γὰρ οἱ μάρτυρες ἦσαν, οἵτινες ὑπὲρ Χριστοῦ ἀπέθανον.

ἐλογίσθημεν] Τὸν ἑαυτῶν δεσπότην μιμησάμενοι, ὃς ὡς πρόβατον ἐπὶ σφαγὴν ἤχθη, καὶ αὐτοὶ δίκην προβάτων κατεθύοντο, θυσίαν ἑαυτοὺς τῷ θεῷ προσφέροντες.

24. ἐξεγέρθητι] Διὰ τί, φησί, μακροθυμεῖς ἐπὶ τοσοῦτον ἐπὶ τοῖς φαύλοις ἀνθρώποις; τὴν μακροθυμίαν γὰρ τοῦ θεοῦ ὁ προφήτης ὕπνῳ ἀπείκασε. τὸ δὲ ὅλον τὴν ἀνάστασιν τοῦ Χριστοῦ αἰνίττεται.

ἀνάστηθι] Τουτέστι καὶ μετὰ τὴν ἀνάστασιν δέξαι τοὺς ἁμαρτήσαντας μετανοοῦντας.

25. ἵνα τί τὸ πρόσωπον] Τουτέστι[1] μὴ ἀποστρέψῃς.

ἐπιλανθάνῃ] Τουτέστι μὴ ἐπιλάθῃ, ὅτι ἐν πτωχείᾳ θεοσεβείας (θεογνωσίας) ἦμέν ποτε (δὲ καὶ) θλιβόμενοι.

26. ὅτι ἐταπεινώθη] Πεπατημένοι ὑπὸ τῶν δαιμόνων τῇ εἰδωλολατρείᾳ καὶ τῇ πλάνῃ.

ἐκολλήθη] Ἐσθίοντες τὰ κεράτια καὶ τῇ νοητῇ λιμῷ τηκόμενοι, ἀλλὰ σπεῦσον, φησὶ τὰ ἔθνη, δοῦναι ἡμῖν τροφὴν τὸ σῶμά σου καὶ τὸ αἷμά σου.

27. ἀνάστα] Ἀναστὰς γὰρ ὁ κύριος ἐκ νεκρῶν τὰ ἔθνη ἐφωταγώγησεν.

καὶ λύτρωσαι] Τῷ ὀνόματι γὰρ τοῦ θεοῦ ἐλυτρώθη τὰ ἔθνη ἐκ τῆς τυραννίδος τοῦ διαβόλου.

XLIV.

Εἰς τὸ τέλος· ὑπὲρ τῶν ἀλλοιωθησομένων . . .] Ἐπὶ τέλει τῶν αἰώνων ὁ προφήτης φησὶν ὑπὲρ τῆς ἐκστάσεως (ἐκπτώσεως) τῶν Ἰουδαίων· ἀλλοίωσις γὰρ μεταβολή ἐστιν, υἱοὶ δὲ Κόρε οἱ Ἰουδαῖοι, ὡς πάντα ἀπολέσαντες καὶ φαλακρώματι (φαλακρώμασι) περιπεσόντες. τότε ὑπὲρ Χριστοῦ τὴν ᾠδὴν τῆς προφητείας ἐλάλησε τὸ πνεῦμα τὸ ἅγιον διὰ τοῦ Δαυίδ, ὅ ἐστιν ὑπὲρ τοῦ ἀγαπητοῦ.

2. ἐξηρεύξατο] Ὁ προφήτης καυχᾶται· ἐλάλησε γὰρ περὶ τοῦ Χριστοῦ καὶ τῆς αὐτοῦ ἐλεύσεως ἐπὶ τῆς γῆς.

λέγω ἐγώ] Ὁ προφήτης φησίν· ἔγνωσται τὰ ἔργα μου τῷ θεῷ.

ἡ γλῶσσά μου] Πότε γὰρ δύναται κάλαμος ὀξέως οὕτως γράψαι χειρὶ ἀνθρώπου, ὥσπερ ἡ γλῶσσά μου τὰ περὶ τοῦ Χριστοῦ ὀξέως ἀπαγγέλλουσα, φησὶν ὁ προφήτης.[2]

3. ὡραῖος κάλλει] Οὔτε γὰρ ἐν τοῖς υἱοῖς τῶν ἀνθρώπων τὸ κάλλος τῆς δόξης τοῦ Χριστοῦ ἀπεικασθῆναι δύναται· ὡς γὰρ θεὸς ἀσύγκριτος τοῖς ἀνθρώποις.

ἐξεχύθη] Τῷ λόγῳ γὰρ τοῦ στόματος αὐτοῦ, δηλονότι τῶν χειλέων, οἱ οὐρανοὶ ἐστερεώθησαν (ἐπερείσθησαν) καὶ πᾶσα ἡ κτίσις, ὡς τὴν χάριν ἔχουσα τοῦ πατρός.

διὰ τοῦτο] Ὑπὸ πάσης γὰρ κτίσεως καὶ πνοῆς εὐλογεῖται ὁ υἱός, ὡς μεσίτης θεοῦ καὶ ἀνθρώπων.

4. περίζωσαι] Τὴν γὰρ θεότητα περιέθηκεν ἐπὶ τοῦ κυριακοῦ ἀνθρώπου, ὅ ἐστι μέρος θεοῦ· ἡ δὲ θεότης δύναμις, ὅ ἐστιν ἡ ῥομφαία.

τῇ ὡραιότητι] Τῇ μεγαλοπρεπείᾳ καὶ τῇ δόξῃ ὑπερέχων πᾶσαν τὴν κτίσιν, ὡς ἄκτιστος.

5. καὶ ἔντεινον] Ἔντεινον τὸ τόξον, τὸ τοῦ σταυροῦ· κέντησον

[1] V. praecedit: *Διὰ τί, κύριε, τὸ πρόσωπόν σου ἀπ' ἐμοῦ ἀποστρέφεις; εἰ καὶ ἥμαρτον*

[2] V. Bar. add. *λέγεται δὲ γραμματεὺς τὸ πνεῦμα τὸ ἅγιον.*

τὸν διάβολον, βασίλευσον τῆς κτίσεως, κατευόδωσον τὸν ἄνθρωπον.

ἕνεκεν ἀληθείας] Ἀλήθεια γὰρ ἡ αὐτοῦ παρουσία, πραότης δὲ ὅτι ἤπιος ὡς θεός, δικαιοσύνη δὲ ὡς δικαιοῦσα (δικαιοῦντος) τὸν ἀσεβῆ.

καὶ ὁδηγήσει] Ἡ δεξιὰ τοῦ υἱοῦ ὁ πατήρ, ὡς αὐτοῦ συνευδοκήσαντος πρᾶξαι τὴν σωτηρίαν τοῦ ἀνθρώπου.

6. τὰ βέλη σου] Οἱ ἀπόστολοι· βέλη γὰρ οὗτοι τοῦ Χριστοῦ, ὡς κατὰ πᾶσαν τὴν οἰκουμένην τοξεύσαντες τὴν πλάνην καὶ τὴν ἀλήθειαν κηρύξαντες.

λαοὶ ὑποκάτω] Οἱ πιστεύσαντες τῇ διδαχῇ τῶν ἀποστόλων· πεσόντες γὰρ προσκυνοῦσι (προσκυνήσουσι) τῷ Χριστῷ ὡς βασιλεῖ.

ἐν καρδίᾳ] Ἐχθρὰ γάρ ποτε τὰ ἔθνη τοῦ Χριστοῦ· νῦν δὲ αἱ καρδίαι αὐτῶν συνέπεσαν τῇ πίστει πρὸς τὸν θεὸν τῷ πόθῳ.

7. ὁ θρόνος σου] Ὡς βασιλεύσαντος ἐπὶ τὰ ἔθνη ἀσάλευτος ὁ θρόνος, τουτέστιν ἀδιάδοχος ἡ βασιλεία τοῦ Χριστοῦ (κυρίου).

ῥάβδος] Ὁ σταυρός, ὃν Ἱερεμίας λέγει ῥάβδον· αὕτη γὰρ ἡ ῥάβδος κατεύθυνεν πᾶσαν τὴν κτίσιν.

8. ἠγάπησας] Ὡς θεὸς μισῶν (μισεῖ) τὰ πονηρὰ ἀεί.

διὰ τοῦτο ἔχρισεν] Διὰ τοῦτο γὰρ ὁ Χριστός, ὡς χρισθεὶς τῇ χάριτι καὶ δοξασθεὶς παρὰ πᾶσαν τὴν κτίσιν· μετοχὴ γὰρ θεοῦ ἡ κτίσις. αἰνίττεται δὲ καὶ τὸ χρίσμα τοῦ βαπτίσματος.

9. σμύρνα καὶ στακτή] Σμύρναν λέγει τὸ ἄφθαρτον τῆς σαρκός· ἐν ταύτῃ γὰρ οἱ νεκροὶ συντιθέμενοι οὐ φθείρονται. στακτὴν δὲ ὡς ἀπαύγασμα τοῦ πατρὸς ἀποσταλάξας. κασσίαν δὲ ὡς τῇ εὐωδίᾳ τοῦ πνεύματος χρισθεὶς ἀπὸ τῶν ἐνδυμάτων τῆς χάριτος, ὅ ἐστιν ἱμάτια (ἱματίων).

ἀπὸ βάρεων] Βάρεις οἶκοί εἰσιν ὑψηλοί. λέγει οὖν τὰς ἐκκλησίας ἐλεφαντίνων, ὡς εὐπρεπεῖς καὶ ἰσχυραί·[1] ἐν αὐταῖς δὲ εὐφραίνεται ὁ κύριος ἐπὶ τοῖς σωζομένοις δι' αὐτῶν.

10. θυγατέρες] Θυγατέρας βασιλέων λέγει τὰς ψυχὰς τῶν ἁγίων, αἵτινες συνανέστησαν τῷ Χριστῷ. τιμὴ γὰρ τοῦ Χριστοῦ μεγάλη τὸ ἀναστῆναι (ἡ ἀνάστασις) ἐκ νεκρῶν καὶ τὸ συνεγεῖραι τὰς ψυχὰς τῶν ἁγίων.

παρέστη] Ἡ τοῦ κυρίου ψυχή, περὶ ἧς οἱ προφῆται· καὶ αὕτη ἀνέβαινεν. πόθεν; ἐκ τοῦ ᾅδου. καὶ αἱ δοῦλαι αὐτῆς ἤγοντο (ἠγοῦντο). ποῖαι; αἱ τῶν ἁγίων ψυχαί. ἐν ἱματισμῷ, τουτέστιν σὺν τῷ σώματι· διαχρύσῳ, ὡς τῷ καθαρῷ ἀπὸ παντὸς ῥύπου· ἐκ δεξιῶν, ὡς τοῦ πατρὸς ἐκ δεξιῶν (δεξιᾷ) καθήμενος. αἰνίττεται δὲ καὶ τὴν ἐκκλησίαν.

περιβεβλημένη] Χάριτι καὶ δόξῃ κεκοσμημένη. οὕτω δὲ καὶ ἡ ἐκκλησία κοσμεῖται (κεκόσμηται).

---

[1] V. discrepat solum in ἐλεφαντίνως εὐπρεπεῖς καὶ ἰσχυράς.

11. ἄκουσον] Ὁ λόγος πρὸς τὴν ἐκκλησίαν, προτρέπων αὐτὴν ἐπὶ τὴν χάριν τῆς μετανοίας.

καὶ ἐπιλάθου] Τουτέστιν ἐπιλάθου τῶν εἰδώλων καὶ τοῦ πλήθους τῶν δαιμόνων, ὅ ἐστι λαός, οἵτινες ἐκολάκευσάν σε τῇ ἀπάτῃ. καὶ τοῦ οἴκου, τουτέστιν τῆς πλάνης τοῦ διαβόλου.

12. ὅτι ἐπεθύμησεν] Ὁ Χριστός, ὁ (ὡς) βασιλεὺς τῶν αἰώνων, ἀγαπήσει σε, ὡς ἐν τῇ ἐπιστροφῇ ἀστράψασα(ν) τὸ κάλλος τῆς δόξης.

ὅτι αὐτός ἐστιν] Ὁ Χριστός· αὐτὸς γὰρ ἐξελέξατό σε αὐτῷ νύμφην. οὐκέτι οὖν προσκυνήσεις ἑτέρῳ, ἀλλ' ἢ αὐτῷ μόνῳ.

13. καὶ προσκυνήσουσιν] Τύρος συνοχὴ ἑρμηνεύεται. λέγει οὖν τὴν ἐκκλησίαν καὶ ὡς τῶν ἐθνῶν οὖσαν καὶ ὡς ἐκ τῆς συνοχῆς τῶν εἰδώλων· ἐν αὐτῇ γὰρ τὰ δῶρα καθ' ἑκάστην τῷ θεῷ προσφέρεται (τὰ ἔθνη τὰ δῶρα καθ' ἑκάστην τῷ θεῷ προσφέρει).

τὸ πρόσωπόν σου] Καὶ οἱ βασιλεῖς καὶ πᾶσα ἐξουσία μεγίστη τὸ πρόσωπον τοῦ Χριστοῦ καὶ τῆς ἐκκλησίας[1] μετὰ φόβου (ἐν φόβῳ) δοξάζουσιν.

14. πᾶσα ἡ δόξα] Ὅλη γὰρ (πᾶσα) ἡ δόξα τῆς ἐκκλησίας ἔσωθεν τυγχάνει, ὅ ἐστιν ὁ κόσμος αὐτῆς, καὶ ὁ αἰσθητὸς καὶ ὁ νοητός.

ἐν κροσσωτοῖς] Χρυσῷ γὰρ καὶ ἀργύρῳ καὶ λίθοις τιμίοις καὶ ἱματισμῷ πολυτελεῖ ἡ ἐκκλησία κεκόσμηται ἀεί. εἰσὶ δὲ καὶ χρυσαυγεῖς ἀρεταὶ τῶν μετὰ φόβου ἐν αὐτῇ συναγομένων.

15. ἀπενεχθήσονται] Τῷ Χριστῷ αἱ ψυχαί, αἱ ἐν ἁγνείᾳ ζώσασαι. ὀπίσω αὐτῆς τουτέστιν διὰ τῆς ἐκκλησίας.

αἱ πλησίον] Καὶ αἱ λοιπαὶ ψυχαὶ τῶν ἁγίων, ὡς ἀδελφαὶ τῆς ἁγνείας, πολιτευσάμεναι καὶ αὐταὶ τῷ Χριστῷ.

16. ἀπενεχθήσονται] Εὐφραινόμενοι τότε καὶ ἀγαλλιώμενοι τοῖς πόνοις τῶν ἔργων τὰς ἀμοιβὰς ἀπολαμβάνουσι.

ἀχθήσονται] Εἰς τὴν ἄνω Ἱερουσαλήμ· αὕτη γὰρ πρὸς ἀλήθειαν ναὸς θεοῦ καὶ μένουσα εἰς τοὺς αἰῶνας.

17. ἀντὶ τῶν πατέρων] Ἀντὶ γὰρ τῶν προφητῶν ἐγεννήθησαν οἱ ἀπόστολοι.

καταστήσεις] Πάσης γὰρ τῆς γῆς ἦρξαν καὶ ἐκυρίευσαν τῇ διδασκαλίᾳ καὶ τῷ κηρύγματι.

18. μνησθήσονται] Ἀφ' οὗ γὰρ ἐδέξαντο οἱ πιστοὶ τὴν σφραγῖδα τοῦ ὀνόματος τοῦ Χριστοῦ, ἀφαιρεθῆναι ἀπ' αὐτῶν οὐ δύναται εἰς τὸν αἰῶνα· κατὰ γενεὰν γὰρ καὶ γενεὰν ἀνακαινίζεται.

διὰ τοῦτο λαοί] Διὰ τοῦ κηρύγματος τῶν ἀποστόλων οἱ λαοὶ ἐξομολογούμενοι τῷ θεῷ οὐ παύονται εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

---

[1] Post *τῆς ἐκκλησίας* V. intercalavit *λιτανεύοντες*, A. *λιτανεύουσι καὶ*

XLV.

Εἰς τὸ τέλος· ὑπὲρ τῶν υἱῶν Κόρε . . .] *Ὑπὲρ τῶν κρυφίων υἱῶν Κόρε λέγει, μερικῶς ὅλον τὸ ἔθνος τῶν Ἰουδαίων αἰνιττόμενος, ὡς ἀγνωμονοῦν κρυφίων τῶν μελλόντων γενέσθαι, τέως δὲ παρ' αὐτοῖς ἀποκεκρυμμένων.*

2. Ὁ θεὸς ἡμῶν] *Περὶ τοῦ λαοῦ τοῦ ἐξ ἐθνῶν ὁ λόγος· αὐτοὶ γὰρ κατέφυγον πρὸς τὸν θεὸν ἐκ τῆς αἰχμαλωσίας τῶν χαλεπῶν ἐχθρῶν, τῶν δαιμόνων.*

βοηθός] *Γυμνάζων γὰρ ὁ θεὸς τὸν λαὸν τῶν Ἑβραίων πρὸς θεοσέβειαν, διὰ πολλῶν θλίψεων ἦγεν αὐτούς.*

3. διὰ τοῦτο] *Εἶχον γὰρ ἐλπίδα τότε οἱ πατέρες αὐτῶν· ᾔδεισαν γάρ, ὅτι ὑπερασπίζει αὐτῶν ὁ θεός, ταρασσομένης πάσης τῆς γῆς κατ' αὐτῶν.*

καὶ μετατίθεσθαι] *Ὁ γὰρ Κάρμηλος τὸ ὄρος ἀνασπασθεὶς (ἀναγκασθεὶς) ἀπὸ τῆς δύσεως εἰς τὴν ἀνατολὴν διὰ τῆς θαλάσσης μετετέθη. μακροθυμῶν τὸν λαὸν τότε, καὶ φησίν· ὡς τοῦτον μετέθηκα, οὕτω ἄξω καὶ τὴν αἰχμαλωσίαν τοῦ λαοῦ μου.*

4. ἤχησαν] *Τῆς θαλάσσης, δῆλον ὡς τῶν ὀρέων δι' αὐτῆς προεχόντων (τρεχόντων). λέγει δὲ καὶ τὰ ὕδατα τοῦ βαπτίσματος, ταρασσόμενα τῇ ῥύμῃ (ὁρμῇ) τοῦ ἁγίου πνεύματος.*

ἐταράχθησαν] *Ἡνίκα τὸ Θαβὼρ ὄρος [ἀπὸ τῆς Ἰουδαίας] μετέβαινεν (μετέβαλλεν) εἰς τὴν ἔρημον, τύπος δὲ ἦν τοῦ μέλλοντος λαοῦ πιστοῦ ἀναδείκνυσθαι.*

Διάψαλμα· ἀνοχὴ τοῦ πνεύματος καὶ μεταβολὴ (μετάβασις) τῆς προφητείας.

5. τοῦ ποταμοῦ] *Τοῦ Ἰορδάνου τὰ ῥεύματα, τῇ χάριτι κινούμενα, εὐφραίνει τὴν Ἱερουσαλήμ, ὅτι ἐν αὐτῷ κατῆλθεν ὁ θεὸς λόγος, ἁγιάζων τὰ ὕδατα.*

ἡγίασεν] *Ἡνίκα ἐν αὐτῷ κατῆλθεν ὁ υἱός, καὶ ἡ φωνὴ τοῦ πατρὸς ἐν αὐτῷ ἐγένετο, καὶ τὸ πνεῦμα ἐν εἴδει περιστερᾶς κατῆλθεν ἐπ' αὐτόν.*

6. ὁ θεὸς ἐν μέσῳ] *Τῆς Ἱερουσαλήμ, καὶ τῆς νοητῆς καὶ τῆς αἰσθητῆς, ἔστι δὲ ἡ ἐκκλησία.*

βοηθήσει] *Τῇ ἐκκλησίᾳ διὰ τῆς ἀναστάσεως· ὄρθρου γὰρ ἡ ἀνάστασις τοῦ κυρίου ἐγένετο.*

7. ἐταράχθησαν] *Μετὰ γὰρ τὴν ἀνάστασιν τοῦ Χριστοῦ (κυρίου) [συνετρίβησαν καὶ] συνεταράχθησαν πάντα τὰ ἔθνη, πιστεύσαντα καὶ μετατιθέμενα ἀπὸ τῆς πλάνης, καὶ αἱ βασιλεῖαι τῆς γῆς ἔκλιναν ἑαυτὰς εἰς τὴν πίστιν τοῦ Χριστοῦ (κυρίου).*

ἔδωκεν φωνήν] *Ὅταν ἐπὶ τοῦ σταυροῦ ὁ Χριστὸς κράξας ἀφῆκε τὸ πνεῦμα, τότε ἡ γῆ ἐσείσθη καὶ αἱ πέτραι ἐσχίσθησαν.*

8. κύριος τῶν δυνάμεων] *Τουτέστιν ἔγνωσαν πάντα τὰ ἔθνη, ὅτι μετ' αὐτῶν ὁ θεὸς ἐγένετο, καὶ ὅτι ἐλυτρώθησαν ἐκ (ἀπὸ) τῆς πλάνης.*

9. δεῦτε, ἴδετε] Ἄλληλα γὰρ συγκαλοῦσι τὰ ἔθνη, πιστεύσαντα καὶ ὁρῶντα τὴν σωτηρίαν αὐτῶν (ὁρῶντα Θεόν).

ἃ ἔθετο τέρατα] Τὰ σημεῖα λέγει, ἃ ἐποίησεν ὁ Χριστός, ἐπιδημήσας τῇ γῇ.

10. ἀνταναιρῶν] Τοὺς τοῦ διαβόλου καὶ τοὺς τῶν δαιμόνων αὐτοῦ πολέμους παύσας ἀπὸ τῆς γῆς πάσης.

τόξον συντρίψει] Τὴν δυναστείαν τοῦ διαβόλου λέγει ὅπλον, καὶ τὸ τόξον τὸν θάνατον, ἀμφότερα δὲ κατήργησεν ἐπὶ τοῦ σταυροῦ ὁ Χριστός.

καὶ θυρεούς] Οὓς ᾠκοδόμησεν ὡς θυρεοὺς ἡ ἁμαρτία, τούτους ἐξανήλωσεν τῷ πυρὶ τοῦ πνεύματος τοῦ ἁγίου.

11. σχολάσατε] Τουτέστι καρτερήσατε, ἐπιμείνατε τῇ πίστει καὶ γνώσεσθε, ὅτι οὐκ ἔστι θεὸς πλὴν ἐμοῦ.

ὑψωθήσομαι] Ἐνδοξασθήσομαι, φησὶν ὁ θεός, ἐπὶ τοῖς ἔθνεσιν· ὑψωθήσομαι ἐν τῇ γῇ, τουτέστιν ἐπὶ τοῦ σταυροῦ.

12. κύριος τῶν δυνάμεων] Τῶν πιστῶν εὔδηλον πάντων ἀντιλήπτωρ ὁ θεός, ὡς ἐν τῷ ὀνόματι αὐτοῦ κληρωθέντες.

XLVI.

Εἰς τὸ τέλος· ὑπὲρ τῶν υἱῶν Κόρε ψαλμός] Ὁ γὰρ θεὸς ὡς ἀγαθὸς οὐκ ἐβούλετο ἀποβαλέσθαι τὸν Ἰουδαισμόν, ἀλλ' ἑωρακὼς τὴν σκληροκαρδίαν αὐτῶν, ἀντεισήνεγκε τὰ ἔθνη.

2. Πάντα τὰ ἔθνη] Προτροπὴ τῶν ἐθνῶν, ὅπως συμπλακῶσι κρατοῦντες ἀλλήλους καὶ προτρέποντες ἐπὶ τὴν πίστιν.

ἀλαλάξατε] Ἐν ψαλμοῖς καὶ ὕμνοις ᾄδοντες, [φησίν,] ἐν ταῖς καρδίαις ὑμῶν, καθώς φησι ὁ ἀπόστολος.

3. ὅτι κύριος] Φοβερὸς ὡς θεὸς ἐκ τῶν κόλπων τοῦ πατρός· βασιλεὺς ὡς πᾶσαν τὴν γῆν δρακὶ κατέχων (κρατῶν).

4. ὑπέταξεν] Περὶ τῶν ἀποστόλων ὁ λόγος· αὐτοῖς γὰρ πάντα τὰ ἔθνη καὶ οἱ λαοὶ ὑπετάγησαν διὰ τοῦ κηρύγματος.

5. ἐξελέξατο] Τὰ ἔθνη λέγει, ὡς σύσσωμα καὶ συγκληρονόμα γενόμενα κατὰ τὸν ἀπόστολον Παῦλον.

τὴν καλλονήν] Τὸν λαὸν τὸν πιστόν. Ἰακὼβ γὰρ παῖς θεοῦ (ὁ θεὸς) ἑρμηνεύεται καὶ ὅσοι τοῦ λαοῦ τῶν Ἰουδαίων ἐπίστευσαν. ἐξ αὐτῶν γὰρ ὁ Παῦλος ⟨καὶ οἱ ἀπόστολοι⟩.

Διάψαλμα· ἀνοχὴ τοῦ λόγου.

6. ἀνέβη ὁ θεός] Τὴν ἀνάληψιν λέγει, τὴν ἀπὸ γῆς εἰς οὐρανούς, τοῦ Χριστοῦ μετὰ σαρκός.

7. ψάλατε τῷ θεῷ] [Τῷ πιστῷ λαῷ ἐπιτάσσει τὸ πνεῦμα τὸ ἅγιον.]

ψάλατε τῷ βασιλεῖ] Πάλιν ταῖς

ἄνω δυνάμεσι ἐπιτάσσει τὸ πνεῦμα τὸ ἅγιον.

8. ὅτι βασιλεύς] Οὐκ ἐν μέρει, ἀλλὰ πάσης τῆς γῆς, ὡς πατήσας αὐτὴν καὶ ὡς ἐν τῇ χειρὶ αὐτοῦ κρατῶν πᾶσαν (αὐτὴν ἅπασαν).

ψάλατε συνετῶς] Συνετῶς τουτέστιν νοοῦντες, ὅτι πάντων τῶν ἐθνῶν κυριεύει ὁ Χριστός, προσδεξάμενος αὐτὰ ἐν τῇ πίστει.

9. ἐβασίλευσεν] [Ἐπάρθη ἡ βασιλεία καὶ ἐδόθη τοῖς ἔθνεσιν.]

ὁ θεὸς κάθηται] Θρόνος θεοῦ ψυχὴ ἁγία, ἐν ᾗ ἐπαναπαύεται ὁ κύριος. νόει δέ μοι καὶ τὴν σάρκα τὴν ἁγίαν, ἐν ᾗ ᾤκησεν ἡ θεότης καὶ ἐπανεπαύσατο ὡς ἐν θρόνῳ.

10. ἄρχοντες λαῶν] Οἱ ἀπόστολοι ὡς ἄρξαντες τῆς οἰκουμένης τῷ λόγῳ τοῦ εὐαγγελίου μετὰ Χριστοῦ· Ἀβραὰμ γὰρ πατὴρ ὑψηλὸς ἑρμηνεύεται. πατὴρ δὲ πάντων ὁ Χριστός, ὡς μέγας καὶ ὑψηλός.

ὅτι τοῦ θεοῦ] Κραταιοὶ τοῦ θεοῦ, τουτέστιν φίλοι, οἱ ἀπόστολοι καὶ πάντες οἱ ἅγιοι. οὗτοι σφόδρα τῆς γηίνης πολιτείας ἐπήρθησαν, τουτέστιν ὑψώθησαν.

XLVII.

Ψαλμὸς ᾠδῆς τοῖς υἱοῖς Κόρε, δευτέρᾳ σαββάτου] Εἰς ἐπήκοον τῶν Ἰουδαίων, ὡς πάντων γυμνωθέντες· Κόρε γὰρ φαλάκρωμα ἑρμηνεύεται· ᾐδέτωσαν οἱ πιστοὶ τὸ ᾆσμα τὸ καινόν. λέγει δὴ τὸ τῆς ἀναστάσεως· δευτέρᾳ γὰρ σαββάτου ἐπράχθη ἡ ἀνάστασις.

2. Μέγας κύριος] Κράζειν μὲν τοῦτο ὤφειλον οἱ Ἰουδαῖοι, κράζουσι δὲ οἱ πιστοί, ὡς ἀξιωθέντες τῆς χάριτος.

ἐν πόλει] Ἐν τῇ Ἱερουσαλὴμ ἐπὶ τὸ ὄρος τοῦ Γολγοθᾶ· ἐκεῖ γὰρ ὑψωθεὶς τῇ σαρκί, ἐμεγαλύνθη τοῖς θαύμασιν.

3. εὐρίζῳ ἀγαλλιάματι] Ἐκεῖ γὰρ εὗρε τὸ ἀγαλλίαμα πάσης τῆς γῆς ἐπὶ τοῦ σταυροῦ καὶ ἐπλάτυνε ἐπὶ πάσης τῆς γῆς. εὖρος γὰρ πλάτος ἑρμηνεύεται.[1]

ὄρη Σιών] Σιὼν ἑρμηνεύεται σκοπεύτρια (σκοπουρία), ὅ ἐστιν ἐκκλησία, ὅτι δι' αὐτῆς ἐπισκοπεῖ ὁ θεὸς τὸν ἄνθρωπον. αὕτη δὲ διὰ τῶν ὅπλων, τῶν δεξιῶν καὶ ἀριστερῶν, τῶν δύο πλευρῶν, ἀντιτάττεται τοῖς ἔργοις τοῦ σκότους. βορρᾶς γὰρ σκότος ἑρμηνεύεται.

ἡ πόλις] Τοῦ Χριστοῦ ἡ Ἱερουσαλήμ, ὅ ἐστιν ἡ ἐκκλησία.

4. ὁ θεὸς ἐν ταῖς βάρεσιν] Ἐν ταῖς ἐκκλησίαις· βάρις (βαρεῖς, βάρεις) γὰρ οἶκός ἐστιν. οἶκος δὲ θεοῦ αἱ ἐκκλησίαι (ἡ ἐκκλησία). γινώσκεται δὲ ἐν αὐτῇ (αὐταῖς) ὁ θεός, σώζων αὐτήν.

---

[1] V. add. καλὰς ῥίζας ἔχων χαροποιούς. Pro εὗρε τὸ ἀγαλλίαμα A. scribit εὐριζοῦται

5. ὅτι ἰδού] Καὶ οἱ βασιλεῖς καὶ οἱ ἄρχοντες καὶ πᾶσα ἐξουσία, ἐν τῇ ἐκκλησίᾳ συνερχόμενοι, προσκυνοῦσι τῷ θεῷ.

ἤλθοσαν] Οὔτε γὰρ ἔτι ἀποστῆναι δύνανται, ἀλλὰ πάλιν συνερχόμενοι ἐν αὐτῇ προσκυνοῦσι τῷ θεῷ.

6. αὐτοὶ ἰδόντες] Ἰδόντες (εἰδότες) τὰ μυστήρια, τὰ ἐν τῇ ἐκκλησίᾳ τελούμενα, κατεπλάγησαν τῷ θαύματι.

ἐταράχθησαν] Οἱ βασιλεῖς τῶν ἐθνῶν, ἀκούσαντες τὰ σημεῖα, ἃ ἐποίησε ὁ Χριστός, ἐταράχθησαν τῷ φόβῳ.

7. τρόμος ἐπελάβετο] Ὠδῖνες γὰρ αὐτοὺς ἔλαβον ὡς γυναικὸς τικτούσης ἀπὸ τοῦ φόβου, τὰ ἔθνη, ἀκούσαντα (ἀκούσαντες) τὰ μεγαλεῖα, ἃ ἐποίει ὁ Χριστός.

8. ἐν πνεύματι] Τῷ πνεύματι τοῦ στόματος αὐτοῦ ὁ Χριστὸς συνέτριψε τὰ πλοῖα, τὰ μεγάλα καὶ ἰσχυρά, τουτέστιν οὓς ἐσκύλευσεν ἡ ἁμαρτία ἐν τῇ θαλάσσῃ τῇ βιωτικῇ νήχεσθαι, ταῦτα κατήργησεν.

9. καθάπερ ἠκούσαμεν] Τὰ ἔθνη φησί· ὡς ἠκούσαμεν τὰ μεγαλεῖα τοῦ θεοῦ, οὕτως καὶ παρελάβομεν παρὰ τῶν ἀποστόλων.

ἐν πόλει] Ἐν τῇ ἐκκλησίᾳ. πόλις γάρ, ὡς ἐν αὐτῇ τελούμενοι οἱ θεσμοὶ τοῦ βασιλέως Χριστοῦ. λέγει δὲ καὶ τὴν Ἱερουσαλὴμ ὡς πόλιν θεοῦ.

ὁ θεὸς ἐθεμελίωσεν] Ἐπὶ τῆς πέτρας (ἐν τῇ πέτρᾳ), ὡς ἀσάλευτον τὴν ἐκκλησίαν.[1]

Διάψαλμα· μεταβολὴ τῆς προφητείας [ἢ μουσικοῦ μέλους ἢ τροπῆς γενομένης ἢ ῥυθμοῦ ἢ δυνάμεως λόγου ἐναλλαγῆς ἢ ἐνθουσιασμὸς ἐκ πνεύματος ἁγίου γενομένου τοῦ Δαυίδ].

10. ὑπελάβομεν] Τουτέστιν ἐκ τοῦ λαοῦ τῶν Ἰουδαίων· λαὸς γὰρ θεοῦ πρῶτος ⟨ἦν⟩ ἐκ μέσου οὖν αὐτῶν ὁ λαὸς πιστὸς ὑπέλαβον τὸν Χριστόν, ὅ ἐστι τὸ ἔλεος.

11. κατὰ τὸ ὄνομά σου] Κατὰ τὴν μεγαλωσύνην τοῦ ὀνόματος τοῦ θεοῦ οὕτως καὶ ἡ δόξα ἐπὶ πάσης τῆς γῆς (πᾶσαν τὴν γῆν)· πανταχοῦ γὰρ γῆς ᾄδεται τὰ μυστήρια τοῦ Χριστοῦ.

δικαιοσύνης] Τουτέστιν δικαίως τὰ πάντα ἐποίησεν, ὡς θεοῦ δεξιὰ δικαιοσύνης καὶ ἀληθείας.

12. εὐφρανθήτω] Ὡς μήτηρ τῶν ἐκκλησιῶν εὐφραίνεται ἐπ' αὐτάς. Σιὼν γὰρ σκοπὴ (σκοπεύουσα) ἑρμηνεύεται.

ἀγαλλιάσθωσαν] Αἱ θυγατέρες· αἱ ἐκκλησίαι. πάλιν ἐπὶ τῇ μητρὶ ἀγαλλιάσθωσαν τῇ Σιών· αὗται γὰρ θυγατέρες τῆς ἐξομολογήσεως. Ἰουδαία γὰρ ἐξομολόγησις ἑρμηνεύεται. ἐν γὰρ τῇ ἐκκλησίᾳ ἐξομολογεῖται πᾶς ἄνθρωπος.[2]

ἕνεκα τῶν κριμάτων] Ἕνεκεν τῶν ἐντολῶν σου, φησίν, κύριε· κρί-

---

[1] V. add. ἔστιν δὲ ἡ πέτρα ὁ Χριστός, αὐτὸς γὰρ βαστάζει τὴν ἐκκλησίαν.

[2] V. sub finem sic: ἐν γὰρ Ἰουδαίᾳ πᾶς ὁ ἄνθρωπος ἤτοι τῇ ἐκκλησίᾳ ἐξομολογεῖται.

ματα γὰρ θεοῦ ὁ νόμος καὶ αἱ ἐντολαί. ἐν γὰρ τῇ ἐκκλησίᾳ ταῦτα εὑρήσεις πραττόμενα.

13. κυκλώσατε] *Οἱ πιστοὶ τὴν ἐκκλησίαν περιλάβετε, τουτέστιν μὴ χωρίζεσθε ἀπ' αὐτῆς.*

διηγήσασθε] *Πύργοι τῆς ἐκκλησίας αἱ ἀρεταί, ὡς ὑψηλαί· ἐν αὐταῖς, φησί, γυμνάζεσθε.*

14. θέσθε τὰς καρδίας] *Τουτέστιν ἀπὸ καρδίας τῇ εὐχῇ καρτερεῖτε.*

καὶ καταδιέλεσθε] [*Καταμερίσατε, φησί, τὰς ἐκκλησίας καὶ κληρώσατε ἑαυτοὺς καθεκάστην κλήρους καὶ λαούς.*]

ὅπως ἂν διηγήσησθε] *Ὅπως, φησί, καὶ τοῖς μετέπειτα*[1] *διηγήσεσθε τὰ θαυμάσια τοῦ θεοῦ καὶ πιστεύσουσιν (πιστεύωσιν).*

15. ὅτι οὗτός ἐστιν] *Διδάξατε (διδάξουσι), φησίν, ἀλλήλους, ὅτι οὐκ ἔστιν ἄλλος θεὸς πλὴν αὐτοῦ.*

αὐτὸς ποιμανεῖ] *Αὐτὸς γάρ ἐστιν ὁ διατρέφων τὸν ἄνθρωπον τῇ ἰδίᾳ σαρκί.*

XLVIII.

Εἰς τὸ τέλος· τοῖς υἱοῖς Κόρε ψαλμός] *Τουτέστιν τοῖς Ἰουδαίοις ἡ ἔχουσα γενέσθαι ἐπ' ἐσχάτων κατάγνωσις ἐδηλώθη.*

2. Ἀκούσατε ταῦτα] *Κατὰ πλάτους μαρτύρεται (μαρτυρεῖτε) πάντα τὰ ἔθνη· ἀκούσατε, φησίν, ἃ ἐποίησέ μοι ὁ λαός μου Ἰσραήλ.*

ἐνωτίσασθε] *Πάσης γὰρ τῆς οἰκουμένης εἰς τὰς ἀκοὰς εἰσῆλθε, ὅσα ἐγένετο ἐν τῷ Ἰσραήλ.*

3. οἵ τε γηγενεῖς] [*Καὶ οἱ νεκροί, φησί, καὶ οἱ ζῶντες ἀκούσατε, ἃ ἐποίησαν οἱ Ἰουδαῖοι.*]

ἐπὶ τὸ αὐτό] *Καὶ πένητες καὶ πλούσιοι, καὶ μικροὶ καὶ μεγάλοι, μάθετε τὰ γενόμενα.*

4. τὸ στόμα μου] *Διδάσκων τὸν Ἰσραὴλ καὶ παρατιθέμενος καὶ ὑποδεικνύων τὰ θαύματα, καὶ οὐκ εἰσηκουσαν.*

καὶ ἡ μελέτη] *Συνετὸς γὰρ ἀκροατὴς ὁ Χριστὸς παρὰ τῷ Ἡσαίᾳ χρηματίζει· συνετῶς γὰρ ἀκροᾶται τὰ ἡμέτερα.*

5. κλινῶ] *Πολλὰ γὰρ καὶ ἐν παραβολαῖς καὶ ἐν φωτὶ ἐδίδαξα Ἰουδαίους, ἀλλὰ τὸ ὠτίον αὐτῶν ἀνήκοον καὶ σκληρὸν ἐγένετο.*

ἀνοίξω] *Ἐγὼ γὰρ καὶ ἐν ψαλμοῖς καὶ ἐν προφήταις τὰ εἰρημένα περὶ ἐμοῦ ἐπλήρωσα, πιστεῦσαι δὲ Ἰουδαῖοι οὐκ ἠθέλησαν.*

6. ἵνα τί φοβοῦμαι] *Ὁ Ἰούδας φησίν· οὐ φοβοῦμαι παραδοῦναι τὸν κύριον.*

ἡ ἀνομία] *Ὡς γὰρ ἐδόκει πτερ-*

---

[1] Ven. incipit sic: *Ἵνα διδαχθῶσιν καὶ οἱ μετέπειτα τὰ μεγαλεῖα*

νίζειν [τὸν κύριον], ἐπτερνίσθη· ἐδέξατο γὰρ τὸν μισθὸν τὸ σχοινίον.

7. οἱ πεποιθότες] Τοὺς ἄρχοντας λέγει τῶν Ἰουδαίων.

καὶ ἐπὶ τῷ πλήθει] Οἱ Ἰουδαῖοι ὡς πλουτοῦντες τοῖς δώροις τοῦ θεοῦ καὶ ἔχοντες πάντων τὰ τοῦ νόμου.

8. ἀδελφός] Οὓς οἱ προφῆται καὶ οἱ πατριάρχαι οὐκ ἔσωσαν, ἔσωσεν ὁ Χριστός· ἄνθρωπον γὰρ αὐτὸν ἡ γραφὴ λέγει.

οὐ δώσει] Ὁ λαὸς Ἰουδαίων οὐκ ἔδωκαν τῷ θεῷ δόξαν, ἐξιλάσασθαι αὐτοὺς ἀπὸ τῆς ἀνομίας.

9. καὶ τὴν τιμήν] Ἀργυρίου γὰρ ἠγόρασαν τὸν Χριστόν.

10. καὶ ἐκοπίασεν ... καὶ ζήσεται] Ὁ λαὸς ὁ ἐξ ἐθνῶν, ὡς πολὺν χρόνον κοπιάσας ἐν τῇ πλάνῃ.

11. ὅταν ἴδῃ] Ὅταν ἴδῃ τοὺς Ἰουδαίους, ὡς σοφοὺς ὄντας, ἀποθνήσκοντας δὲ τῇ ἁμαρτίᾳ, ὁ λαὸς τῶν ἐθνῶν αὐτὸς ἀσφαλίζεται, μὴ ὑποπεσεῖν τῇ αὐτῶν ἀποφάσει.

ἐπὶ τὸ αὐτό] Ὁ διάβολος καὶ ὁ θάνατος, μὴ νοήσαντες, ὅτι θεῷ πυκτεύουσι. λέγει δὲ καὶ τὸν Ἰούδαν τὰ ὅμοια πεπονθότα.

καὶ καταλείψουσιν] Ὁ λαὸς τῶν Ἰουδαίων τὸν πλοῦτον, ὃν εἶχε, τοῖς ἔθνεσι παρεχώρησαν. ὁμοίως καὶ ὁ διάβολος καὶ ὁ θάνατος πεπόνθασι· τὸν πλοῦτον γάρ, ὃν εἶχον, ἐσκόρπισεν (ἐσκύλευσεν] ὁ Χριστός.

12. καὶ οἱ τάφοι] Ζῶντες γὰρ εἰς τὸν ᾅδην κατέβησαν, τὰς χεῖρας αὐτῶν κατὰ θεοῦ ἐπάραντες.

σκηνώματα αὐτῶν] Οὔτε γὰρ ἀνακληθῆναι ἔτι Ἰουδαῖοι δύνανται.

ἐπεκαλέσαντο] Ἕκαστος γὰρ ἐπὶ τῆς γῆς αὐτῶν θρηνούμενοι ἐκφωνοῦνται.

13. καὶ ἄνθρωπος] Ὁ Ἰούδας· ἐπιστεύετο γὰρ τὰ βασταζόμενα (ἐβάσταζε γὰρ τὰ πιστευόμενα), ὡς μαθητής. ἦν γὰρ ἀγνώμων.

παρασυνεβλήθη] Ἔχων γὰρ τὴν χάριν τῆς ἀποστολῆς, ταύτην ῥίψας ἀργύριον ἐπεπόθησεν.

14. αὕτη ἡ ὁδός] Τοῖς Ἰουδαίοις καὶ τῷ Ἰούδᾳ ἡ κατὰ τοῦ Χριστοῦ συμβουλία.

καὶ μετὰ ταῦτα] Τῷ ἰδίῳ γὰρ στόματι ὁ Ἰούδας ὡμολόγησε λέγων· ἥμαρτον παραδοὺς αἷμα ἀθῶον.

Διάψαλμα· μεταβολὴ τῆς προφητείας.

15. ὡς πρόβατα] Κατεστρώθησαν γὰρ ἐν τῇ ἐρήμῳ, ὡς πρόβατα θηριάλωτα, τρωθέντα ὑπὸ τοῦ διαβόλου.

καὶ κατακυριεύσουσιν] Οἱ πιστεύσαντες τῇ ἀναστάσει τοῦ Χριστοῦ· ὄρθρου γὰρ ἡ ἀνάστασις ἐγένετο.

καὶ ἡ βοήθεια] Ἣν ἐδόκουν ἔχειν βοήθειαν οἱ Ἰουδαῖοι τὸν νόμον καὶ τὸ γράμμα, ἐπαλαιώθη ἐν τῷ κατελθεῖν τὸν κύριον ἐν τῷ ᾅδῃ (εἰς τὸν ᾅδην), ὃν αὐτοί, ὡς ἐδόκουν, ὤρυξαν τῷ σωτῆρι (Χριστῷ). διὰ γὰρ τοῦ τάφου τοῦ δεσποτικοῦ ἡ δόξα αὐτῶν ἔπεσεν.

16. πλὴν ὁ θεός] Ὁ Χριστὸς λέγει περὶ τῆς ἀναστάσεως αὐτοῦ.

Διάψαλμα· ἀποχὴ (ἐποχὴ) τοῦ πνεύματος καὶ μετάθεσις τοῦ λόγου.

17. μὴ φοβοῦ] Αἰνίττεται τὸν Ἰούδαν, ὡς λαμβάνοντα τὸ τίμημα τοῦ Χριστοῦ· ἐδόκει γὰρ πλουτεῖν. λέγει[1] *δὲ καὶ κατὰ κοινοῦ μάλιστα τοὺς ἐξ ἁρπαγῆς πλουτοῦντας ⟨καὶ⟩ τοὺς ὑπερηφάνους.*

καὶ ὅταν πληθυνθῇ] Τοῦ ἀσεβοῦς καὶ ἀλαζόνος· πᾶσα γὰρ ἡ δόξα ἀνθρώπου ὡς ἄνθος χόρτου.

18. ὅτι οὐκ ἐν τῷ ἀποθνήσκειν] Οὔτε γὰρ ὁ Ἰούδας ἐκέρδησε (ἐκέρδανε) τὰ ἀργύρια, ἀπήγξατο γάρ. οὔτε πάντες οἱ διακενῆς πλουτοῦντες· κεναῖς ⟨γὰρ⟩ χερσὶν ἀπέρχονται.

οὐδὲ συνκαταβήσεται] Οὔτε γὰρ τῷ Ἰούδᾳ συνκατέβη ὁ χρυσός, οὔτε παντὶ ἀνθρώπῳ πλουτοῦντι· μένει γὰρ ἐπὶ τῆς γῆς τὰ χρήματα, ἐκεῖ δὲ προλαμβάνει (ἀπολαμβάνει) τὰ ἔργα.

19. ὅτι ἡ ψυχή] Τοῦ γὰρ ἁμαρτωλοῦ ἐν τῇ ζωῇ αὐτοῦ εὐλογεῖται (εὐλογηθήσεται) τουτέστιν τρυφᾷ, χαίρεται· μετὰ δὲ τὴν ἐνταῦθα ζωὴν κατακρίνεται.

ἐξομολογήσεται] Ὅταν γὰρ εὐμενῆ ἔχῃ (σχῇ) τὸν θεόν, τότε ἐξομολογεῖται ὁ ἄνθρωπος.

20. εἰσελεύσεται] Ὁ ἄνθρωπος γὰρ ἐξακολουθεῖ τοῖς ἔργοις τῶν προγόνων, οἱ μὲν τοῖς ἀγαθοῖς, οἱ δὲ τοῖς [σκολιοῖς καὶ] κακοῖς, τουτέστιν τὸ γένος εἰσελεύσεται.

ἕως αἰῶνος] Ὁ διάβολος καὶ οἱ ἐξακολουθήσαντες αὐτῷ διηνεκῶς ἐν σκότει κολάζονται.

21. ἄνθρωπος ἐν τιμῇ] Ἐλέχθη εἰς τὸν Ἰούδα καὶ διάβολον· ἄμφω (ἀμφότεροι) γὰρ τῆς τιμῆς ἐξέπεσαν καὶ πάντες, ὅσοι ἀναίσθητοί εἰσιν, μὴ συνιέντες.

XLIX.

Ψαλμὸς τῷ Ἀσάφ.] Ἡ προφητεία περὶ τῆς συναγωγῆς· Ἀσὰφ γὰρ συναγωγὴ ἑρμηνεύεται. περὶ οὖν τῆς ἀποβολῆς Ἰουδαίων αἰνίττεται.

1. Θεὸς θεῶν] Θεὸς[2] *οὐχὶ τῶν αἰσθητῶν θεῶν, τῶν εἰδώλων, ἀλλὰ τῶν νοητῶν, περὶ ὧν εἴρηται· ἐγὼ εἶπα, θεοί ἐστε, ὧν ὁ βίος οὐράνιος. οὕτως κράξας ἐπὶ τοῦ σταυροῦ πᾶσαν τὴν γῆν ἐκλόνησεν ⟨ἐκάλεσεν⟩.*

ἀπὸ ἀνατολῶν] Ἀνατολὴ γὰρ καὶ δύσις, ἄρκτος καὶ μεσημβρία ὑπήκουσαν τῷ λόγῳ τοῦ εὐαγγελίου (ὑπήκουσαν τῷ εὐαγγελίῳ) καὶ τὰ γενόμενα ἐν Ἱερουσαλήμ.

2. ἐκ Σιών] Ἐν γὰρ τῇ εὐπρε-

---

[1] V. post πλουτεῖν prosequitur sic: *λέγει δὲ καὶ τὰ κοινούμενα ἐξ ἁρπαγῆς, μάλιστα τοὺς πλουτοῦντας, τοὺς ὑπερηφάνους.*

[2] V. praecedunt haec: *Θεὸς ὁ πατήρ, θεοὶ οἱ καλῶς ἀγωνισάμενοι, κυρίως τὸ πνεῦμα τὸ ἅγιον, ἐλάλησε καὶ ἐκάλεσε πᾶσαν τὴν ὠμότητα.*

πείᾳ τῆς ἐκκλησίας ἡ ὡραιότης τοῦ Χριστοῦ τουτέστι τὸ κάλλος ὁρᾶται.

3. ὁ θεὸς ἐμφανῶς] Ἐν τῇ δευτέρᾳ παρουσίᾳ.

ὁ θεὸς ἡμῶν] Οὐκέτι γὰρ παρακεκαλυμμένος (παρακεκαλυμμένως) ἥξει ὁ κύριος, ἀλλὰ μετὰ παρρησίας καὶ μετὰ παρατάξεως καὶ δόξης πολλῆς, μὴ παρασιωπῶν τὰ ἡμέτερα.

πῦρ ἐναντίον] Τότε ἐν τῇ κρίσει. οὕτω γὰρ καὶ Δανιὴλ εἶπεν· ὅτι ποταμὸς πυρὸς εἷλκεν ἔμπροσθεν αὐτοῦ.

καὶ κύκλῳ] Τὰ τάγματα τῶν ἐπουρανίων δυνάμεων, τῷ φόβῳ καταπλήσσοντα καὶ ξηραίνοντα πάντας. καταιγίζειν γὰρ ξηραίνειν ἐστίν.

4. προσκαλέσεται] Ἐνειλήσει (ἐνειλίσσει) γὰρ αὐτὸν ὡς βιβλίον, καθὼς γέγραπται· ἀντὶ τοῦ παῦσαι αὐτὸν τοῦ εἶναι.

καὶ τὴν γῆν] Συνάξει γὰρ πάντα τὰ ἔθνη τότε· γῆ γὰρ ὁ ἄνθρωπος· ὥστε ποιῆσαι κρίσιν ζώντων καὶ νεκρῶν.

5. συναγάγετε] Τότε γὰρ συνάγουσιν οἱ ἄγγελοι τοὺς ἁγίους, καθὼς γέγραπται· ἐκ πάντων τῶν ἀνθρώπων εἰς τὸν παράδεισον.

τοὺς διατιθεμένους] Ὅσοι γὰρ τὴν διηνεκῆ θυσίαν διὰ τῆς εὐχῆς ἔθυον τῷ θεῷ, φυλάττοντες τὴν διαθήκην τοῦ θεοῦ, οὗτοι γὰρ οἱ ἀληθινοί εἰσιν (ὅσιοι).

6. καὶ ἀναγγελοῦσιν] Οὐρανοὺς καλεῖ, ὅσοι οὐράνιον βίον μεμελέτηκαν. οὗτοι τότε κράζουσι, δοξάζοντες τὴν κρίσιν τοῦ θεοῦ (δοξάζοντες τὸν θεὸν καὶ τὴν δικαίαν κρίσιν).

ὅτι θεός) Τότε γὰρ πάντες γνώσονται, ὅτι θεὸς κριτὴς δίκαιος.

Διάψαλμα· μετάθεσις τῆς προφητείας.

7. ἄκουσον] Πρὸς τὸν λαὸν τῶν Ἰουδαίων ὁ λόγος· ὡς ἀγαθὸς γὰρ θεὸς συγκαταβὰς διαλέγεται τῷ λαῷ.

Ἰσραήλ] Μαρτύρεται ὡς ἄνθρωπος πρὸς ἄνθρωπον ὁ θεὸς τοῦ ⟨τῷ⟩ Ἰσραήλ, ἵνα δείξῃ, ὅτι ἀναίτιος θεὸς κακῶν.

ὁ θεός] Τουτέστιν ἐγώ εἰμι ὁ θεός σου, καὶ πῶς ἐμὲ ἐγκαταλείψας ἐκολλήθης εἰδώλοις (εἰδώλοις προσετέθης);

8. οὐκ ἐπὶ ταῖς θυσίαις] Τουτέστιν οὐκ ἐμοὶ προσέφερες τὰς θυσίας; διατί (πῶς) νῦν προσφέρεις αὐτὰς εἰδώλοις;

τὰ δὲ ὁλοκαυτώματα] Οὐχὶ τὰς ὁλοκαυτώσεις σου ἐτίθεις ἐνώπιόν μου; πῶς οὖν τοῖς δαίμοσι παρεχώρησας;

9. οὐ δέξομαι] Τουτέστιν βδελύσσομαι τὰς θυσίας σου.

οὐδὲ ἐκ τῶν] Ἔπαυσα γὰρ [λοιπὸν] τὰς δι' αἵματος θυσίας· οὐ γὰρ εὐδοκῶ ἐν αὐταῖς.

10. ὅτι ἐμά ἐστιν] Λέγει μὲν γὰρ καὶ τὰ θηρία, πλὴν τὰ ἔθνη αἰνίττεται, σώσας αὐτὰ ὁ θεὸς (αὐτοὺς Χριστὸς) ἐκ τῆς συνοχῆς τῶν εἰδώλων.

κτήνη] Ὡς κτήνη γὰρ ἐπλανήθησαν ἐν τοῖς ὄρεσι τῆς ἁμαρτίας,

ἃ ἔγειραν οἱ δαίμονες· ὡς δὲ βόες εἶλκον τὸν ζυγὸν τῆς πλάνης. ταῦτα (τούτους) δὲ ἐλυτρωσάμην ὡς ἐμοὶ διαφέροντα (διαφέροντας).

11. ἔγνωκα πάντα] Τοὺς ἔχοντας οὐράνιον καὶ ὑψηλὸν βίον.

καὶ ὡραιότης] Τὸν παράδεισον λέγει, οὗ ὡραιότερον οὐδέν ἐστι τῶν ἐπὶ τῆς γῆς.

12. ἐὰν πεινάσω] Οὔτε γὰρ ἐπιδέεται ὁ θεὸς ἀνθρώπου· οὔτε γὰρ πεινᾷ ἢ διψᾷ, ὡς γηγενεῖς (γηγενής).

ἐμὴ γάρ ἐστιν] Πάντα γὰρ ἔσω τῆς χειρὸς ἔχει ὁ θεός (κύριος).

13. μὴ φάγομαι] Τουτέστιν βδελυκταί μοι αἱ θυσίαι τοῦ νόμου· ἡ γὰρ χάρις πολιτεύεται.

14. θῦσον τῷ θεῷ] Τὴν διὰ νηστείας (αἰνέσεως) καὶ προσευχῆς θυσίαν· ταύτην γὰρ ἐπιζητεῖ ὡς ἀναίμακτον.

15. καὶ ἐπικάλεσαι] Ἐν ταύτῃ γὰρ τῇ ἀναιμάκτῳ θυσίᾳ ἐπικαλοῦ, φησί, κἀγώ σου εἰσακούσομαι (ἐπακούσομαι).

καὶ ἐξελοῦμαι] Μετὰ γὰρ τὸ ῥυσθῆναι τὸν ἄνθρωπον, τουτέστιν τὸν Ἀδάμ, ἐκ τῆς περιεχούσης αὐτὸν θλίψεως, δοξάζων οὐ παύεται ἕως τοῦ αἰῶνος.

16. τῷ δὲ ἁμαρτωλῷ] Τῷ λαῷ τῶν Ἰουδαίων δηλαδή.

ἵνα τί σύ] Τί ἔτι, φησί, μελετᾷς τὰ νόμιμά μου, κατ' ἐμοῦ λογισάμενος κακά.

καὶ ἀναλαμβάνεις] Οὔτε γὰρ προσήκει σοι ἔτι ἀναγινώσκειν τὸν νόμον, μιάναντα (μιάνας) τὴν γλῶσσαν τῇ βλασφημίᾳ.

17. σὺ δὲ ἐμίσησας] Ἐγὼ γὰρ οὐκ ἐπαυσάμην διδάσκων ἐν ταῖς συναγωγαῖς ὑμῶν, ὑμεῖς δὲ τοὺς λόγους μου ἐβδελύξασθε.

18. εἰ ἐθεώρεις] Τῷ Ἰούδᾳ, ὡς κλέπτῃ καὶ προδότῃ, οἱ Ἰουδαῖοι συνέτρεχον, ἐπισπεύδοντες αὐτόν (αὐτῷ).

καὶ μετὰ μοιχῶν] Τῷ γὰρ Ἡρώδῃ μοιχεύοντι συνήσθιον οἱ Ἰουδαῖοι καὶ συνέπιον καὶ συνετίθεντο τῇ παρανομίᾳ αὐτοῦ.

19. τὸ στόμα σου] Ἡμέρας γὰρ καὶ νυκτὸς καταλαλῶν τοῦ Χριστοῦ καὶ τῶν ἀποστόλων οὐκ ἐπαύσατο.

καὶ ἡ γλῶσσα] Τὸν δόλον μελετῶν ὁ Ἰούδας κατὰ πᾶσαν ἡμέραν κατὰ τοῦ Χριστοῦ καὶ θεοῦ.

20. καθήμενος] Κατὰ τοῦ χοροῦ τῶν ἀποστόλων· ἐξ Ἰουδαίων γὰρ ἦσαν ἐκλελεγμένοι καὶ αὐτοί, καὶ τούτους δὲ λοιδοροῦντες οὐκ ἐπαύσαντο.

καὶ κατὰ τοῦ υἱοῦ] Τῷ Πέτρῳ ἑτοιμάσας τὴν κόρην τὴν θυρωρόν· ἦν γὰρ καὶ αὐτὸς ἐκ τῆς συναγωγῆς τῶν Ἰουδαίων ἐκλελεγμένος.

21. ταῦτα ἐποίησας] Μακροθυμήσας καὶ ἐκδεχόμενος τὴν μετάνοιάν σου, αὐτὸς δὲ οὐ μετενόησας (αὐτοὶ δὲ οὐ μετενόησαν).

ὑπέλαβες] Οὕτως γὰρ προσδοκήσαντες οἱ Ἰουδαῖοι, ὅτι ὅμοιος ὑμῶν (ὅμοιος σοῦ) εἰμι ἄνθρωπος ψιλός, μὴ δυνάμενος ἀποδοῦναι ὑμῖν (σοὶ) κατὰ τὰ ἔργα ὑμῶν (σου).

ἐλέγξω σε] Τότε ὅτε πάντα γυμνὰ καὶ τετραχηλισμένα, ὅταν ἴδωσι τὸν Χριστόν, τὸν παρ᾽ αὐτοῖς ἐξουθενηθέντα, ἐπὶ θρόνου ὑψηλοῦ καὶ ἐπηρμένου καθήμενον καὶ κρίνοντα ζῶντας καὶ νεκρούς· τότε οἱ Ἰουδαῖοι ὁρῶντες ἐλέγχονται καὶ κατακρίνονται.

22. σύνετε δὴ ταῦτα] (Οἱ) ὑπερήφανοι καὶ ἅρπαγες καὶ πλεονέκται καὶ κακόπιστοι νοήσατε, ὅτι ἐστὶ (ἔσται) κρίσις τότε.

μή ποτε ἁρπάσῃ] Τουτέστιν μή ποτε φθάσῃ ὁ θάνατος καὶ οὐκ ἔστιν ὁ ἐξαιρούμενος, καὶ τί ποιήσουσιν οἱ ἀμετανόητοι τῇ ὥρᾳ ἐκείνῃ.

23. θυσία αἰνέσεως] Ἣν αὐτὸς ἐκαίνισας (ἐκαίνισεν) ἡμῖν θυσίαν, ζῶσαν καὶ ἀναίμακτον μετὰ αἰνέσεως καὶ ἐξομολογήσεως· ἐν αὐτῇ γὰρ μόνῃ ἀρέσκεται (ἀρκεῖται) ὁ θεός.

καὶ ἐκεῖ ὁδός] Ἐν αὐτῇ γὰρ τῇ ἀναιμάκτῳ θυσίᾳ ὑπεδείχθη ἡμῖν ἡ ὁδὸς τῆς αἰωνίου ζωῆς, ἡ σωτήριος.

L.

Εἰς τὸ τέλος. ψαλμὸς τῷ Δαυίδ.

2. Ἐν τῷ ἐλθεῖν πρὸς αὐτὸν Ναθὰν τὸν προφήτην, ἡνίκα εἰσῆλθε πρὸς Βηρσαβεέ, τὴν γυναῖκα τοῦ Οὐρίου] Ἐν τῷ ποιῆσαι τὴν ἁμαρτίαν καὶ τὴν ἀνομίαν τὸν Δαυὶδ πέμπεται πρὸς αὐτὸν Ναθὰν ὁ προφήτης, ὃ ἑρμηνεύεται δόσις. ᾔδει γὰρ ὁ θεός, ὅτι δοθήσεται ἄφεσις τῷ προφήτῃ, ἐμπεσόντι (ἐν τῷ πεσεῖν αὐτὸν) εἰς τὸ φρέαρ τῆς πλάνης. Βηρσαβεὲ γὰρ φρέαρ ἑρμηνεύεται. τύπος γὰρ ὁ Δαυὶδ πᾶσι τοῖς μετανοοῦσιν ἐγένετο, γράψας ψαλμὸν ἐξομολογήσεως.

3. ἐλέησόν με] Μεγάλου ἐλέους χρεία μοι, φησὶν ὁ Δαυίδ· μεγάλη γὰρ ἡ ἁμαρτία μου ἐγένετο.

καὶ κατὰ τὸ πλῆθος] Πολλῶν οἰκτιρμῶν χρεία πρὸς τὸ τραῦμα τῆς ἁμαρτίας· ὑπέρογκον γὰρ καὶ βαρὺ γέγονεν. εἰ οὖν θεραπεύεις τὸ τραῦμα, καὶ τὴν οὐλὴν περίελαι (πάριδε), ἵνα μὴ ἔχῃ (ἔχω, σχῶ) μῶμον.

4. ἐπὶ πλεῖον] Ἐὰν γὰρ μὴ σύ με πλύνῃς ἀπὸ τῆς παρανομίας μου, οὐκ ἔστιν ἄλλος ὁ δυνάμενος πλῦναί με ἀπ᾽ αὐτῆς. αἰνίττεται δὲ καὶ τὸ βάπτισμα.

καὶ ἀπὸ τῆς ἁμαρτίας] Τουτέστιν εἰ τὴν ἀνομίαν συγχωρεῖς, συγχώρησον καὶ τὴν ἁμαρτίαν, κἀκεῖ μὲν τότε τοῖς δάκρυσιν, ὧδε δὲ μετέπειτα τοῖς ὕδασι τοῦ βαπτίσματος.

5. ὅτι τὴν ἀνομίαν] Οἶδα γάρ, πῶς ἔπραξα τὴν ἀνομίαν (ἁμαρτίαν)· διὰ τοῦτο αἰτοῦμαι τὴν συγχώρησιν.

καὶ ἡ ἁμαρτία] Οὐ μόνον γάρ, ὅτι ἔπραξα τὸ κακόν, ἀλλὰ καὶ καρπός μοι ἐξ αὐτῆς ἐβλάστησεν, ὃν βλέπων ἀεὶ συνταράσσομαι.

6. σοὶ μόνῳ ἥμαρτον] Σοὶ μόνῳ ἐγνώσθη τὰ ἔργα μου ὡς θεῷ, καὶ

διὰ τοῦτο σοῦ μόνου χρῄζω πρὸς τὴν συγχώρησιν.

ὅπως ἂν δικαιωθῇς] Τίς γὰρ ἀνταποκριθήσεταί σοι, δικαίως κρίνοντι (κρίνων) τὸν ἁμαρτωλὸν ὡς θεός.

καὶ νικήσῃς] Ὅταν γὰρ κρίνῃς τὰ ἐν ἡμῖν πεπραγμένα, τότε αὐτὸς τῆς νίκης ἐπανῄρησαι τὸ τρόπαιον, ὡς δίκαιος κριτής.

7. ἰδοὺ γάρ] Οὐκ ἐν τῇ γαστρὶ μόνον, ἀλλ' ἐπειδὴ παρέλαβόν με (παρεσυνελαβόμην) τὰ ἔργα τῆς παρανομίας, τὰ τοῦ φόνου καὶ τὰ τῆς ἀλλοτρίας κοίτης, ἣν παρανόμως ἐσύλησα.

καὶ ἐν ἁμαρτίαις][1] Τὰ τῆς ἡδονῆς αἰνίττεται ὁ προφήτης.

8. ἰδοὺ γὰρ ἀλήθειαν] Ὡς ἀληθὴς θεὸς ἀλήθειαν ἠγάπησας (ἀγαπᾷς)· ἐγὼ δέ, φησί, τῷ ψεύδει προσεχώρησα.

τὰ ἄδηλα] Τῇ προφητείᾳ, φησί, κατεκόσμησάς με, ἔδειξάς μοι (ἐδίδαξας) τὰ μήπω γεγονότα καὶ ἐπὶ τούτοις [πᾶσιν] ἀμελήσας ὠλίσθησα.

9. ῥαντιεῖς με] Προμηνύει ὁ προφήτης τὸ βάπτισμα, ἐπειδὴ ὁ νόμος ὑσσώπῳ περιερραίνετο· ὕσσωπος δέ ἐστι τὸ ἄνθος τοῦ καλάμου.

πλυνεῖς με] Ὁ θεὸς (Χριστὸς) γὰρ ὅπου (ὁπότε) συγχώρησιν νεύσει (νεύει), καθάρσιόν ἐστι μέγιστον, λευκαίνεται δὲ ἡ ψυχὴ ὑπὲρ χιόνα. νόει δέ μοι τὸ βάπτισμα.

10. ἀκουτιεῖς] [Τὰ τῆς σῆς παρουσίας προσμηνύσας μοι μυστήρια, ἐν ᾗ ἔμελλον ἀγαλλιᾶσθαι οἱ πιστοί.]

ἀγαλλιάσονται] Μετὰ γὰρ τῆς ψυχῆς καὶ τὰ ὀστᾶ μου συνετάραξε καὶ συνέτριψεν ἡ ἁμαρτία, φησὶν ὁ προφήτης· λέγει δὲ καὶ τὴν ἀνάστασιν τοῦ Χριστοῦ, δι' ἧς τῷ πολλῷ χρόνῳ [φθειρόμενα τὰ] ὀστᾶ τῶν δικαίων ἠγαλλιάσαντο.

11. ἀπόστρεψον] Τουτέστιν μὴ στηρίσῃς τὸ πρόσωπόν σου ἐπὶ τὰς ἁμαρτίας μου, ἀλλὰ πάριδε ὡς θεός.

καὶ πάσας] Ἐὰν γὰρ θέλῃς, νεύσεις καὶ πᾶσαι ἐξαλείφονται.

12. καρδίαν καθαράν] Ὡς γὰρ αὐτὴν ἔκτισας ἀπ' ἀρχῆς, οὕτως καὶ νῦν καθάρας αὐτὴν κτίσον καινήν.

καὶ πνεῦμα] Τὸ ἅγιόν σου πνεῦμα οἴκησον ἐντός μου, ἵνα ὁ ἔσωθεν καὶ ὁ ἔξωθεν καθαρθῇ ἄνθρωπος.

13. μὴ ἀπορρίψῃς] Μὴ βδελύξῃς με ῥερυπωμένον τῇ ἁμαρτίᾳ, ἀλλὰ ἀνακαίνισόν με τῇ χάριτι (ἀρετῇ).

καὶ τὸ πνεῦμα] Τουτέστι μὴ κωλύσῃς (καταλύσῃς) τὸ πνεῦμά σου

---

[1] V. B. praeced. haec: Ἐπειδὴ ὁ προηγούμενος σκοπὸς τοῦ θεοῦ ἡμῶν ἦν τοῦ μὴ διὰ γάμου γεννᾶσθαι ἡμᾶς (ἡμῶν) καὶ φθορᾶς, ἡ δὲ παράβασις τῆς ἐντολῆς τὸν γάμον εἰσήγαγεν διὰ τὸ ἀνομῆσαι τὸν Ἀδάμ, τουτέστιν ἀθετῆσαι τὸν ἐκ θεοῦ δοθέντα αὐτῷ νόμον· πάντες οὖν οἱ ἐξ Ἀδὰμ γεννώμενοι ἐν ἀνομίαις συλλαμβάνονται, ὑποπίπτοντες τῇ τοῦ προπάτορος καταδίκῃ. τὸ ἐν ἁμαρτίαις ἐκύησέν (ἐκίσσησέν) με ἡ μήτηρ μου σημαίνει, ὅτι ἡ Εὔα πάντων ἡμῶν μήτηρ πρώτη ἐκίσσησε τὴν ἁμαρτίαν, ὥσπερ ὀργῶσα τὴν ἡδονήν. διὰ τοῦτο καὶ ἡμεῖς τῇ τῆς μητρὸς ὑποπίπτοντες καταδίκῃ κισσᾶσθαι (κυήσασθαι) λέγομεν ἐν ἁμαρτίαις.

ἀπ' ἐμοῦ, ὡς ῥυπωθέντος μου, ἀλλ' ὡς τὸ ἀπ' ἀρχῆς φωτισάτω (φώτισόν) μου τὴν καρδίαν.

14. ἀπόδος μοι] Εἰ συγχωρεῖς μοι, φησί, τὴν ἁμαρτίαν μου, δός μοι καὶ τὴν προφητείαν μου.

καὶ πνεύματι] Πνεύματι ἀρχικῷ, ἵνα καὶ τὴν βασιλείαν μὴ ἀπολέσω, [καὶ τὴν προφητείαν] πλήρωσόν με, ἵνα δύναμαι πάλιν λαλεῖν περὶ τῶν μελλόντων καὶ τῆς ἐλεύσεώς σου.

15. διδάξω ἀνόμους] Ὡς ἔχων πεῖραν τῆς ἁμαρτίας καὶ τῆς παρανομίας, συμβουλεύσω χρηστὰ τοῖς παρανομοῦσι, τοῦ λοιποῦ πορεύεσθαι ἐν ὁδῷ δικαιοσύνης.

καὶ ἀσεβεῖς] Ἀκούσαντες γὰρ καὶ ἀσεβεῖς τὰ κατ' ἐμέ, τῷ φόβῳ ἐπιστραφήσονται πρὸς σέ (ἐπὶ σοί).

16. ῥῦσαί με] Τοῦ μηκέτι μολῦναι μου τὰς χεῖρας ἐν αἵματι, καθὼς ἐπὶ τοῦ Οὐρίου.

ἀγαλλιάσεται] Καθαρθεῖσα γὰρ ἤρξατο λαλεῖν τὰ μεγαλεῖα τοῦ θεοῦ ὡς προφήτης.

17. κύριε, τὰ χείλη μου] Καθαρθέντα γὰρ τὰ χείλη διὰ τῆς μετανοίας (τῇ μετανοίᾳ) δύναται πάλιν τὰ τῆς προφητείας φθέγγεσθαι.

18. ὅτι εἰ ἠθέλησας] Ἀλλ' οὐκέτι ταῖς νομικαῖς θυσίαις εὐδοκεῖς.

ὁλοκαυτώματα] Τῇ γὰρ ἀναιμάκτῳ θυσίᾳ, τῇ δι' εὐχῆς, θεραπεύῃ καὶ τῇ διὰ τῆς ταπεινώσεως.

19. θυσία τῷ θεῷ] Παρὰ γὰρ τῷ θεῷ ἡ ταπείνωσις ἐκλεκτή, καθὼς αὐτός φησι· μακάριοι οἱ πτωχοὶ τῷ πνεύματι.

καρδίαν συντετριμμένην] Οὔτε γὰρ πλοῦτος οὔτε δυναστεία οὔτε οὐσία δυσωποῦσι τὸν θεόν, ὡς καρδία ταπεινή (καθαρά).

20. ἀγάθυνον] Τῆς νέας Ἱερουσαλήμ, ἥτις ἐστὶν ἡ ἐκκλησία, ἐφ' ἣν ἀγαθύνθητι στηριχθῆναι τὰ τείχη, τουτέστιν πληθυνθῆναι τοὺς πιστούς, οἵτινές εἰσι τείχη.

21. τότε εὐδοκήσεις] [Τότε. πότε; ὅταν πληθυνθῇ ἡ πίστις καὶ πλεονάσῃ ἡ χάρις, τότε τὸ θέλημα τοῦ θεοῦ γινέσθω (γενήσεται).]

ἀναφοράν] Τότε γὰρ τῷ πυρὶ τοῦ πνεύματος τοῦ ἁγίου σφραγίζονται οἱ πιστοί, ἀναφέροντες ἑαυτοὺς τῷ θεῷ τῷ ἁγίῳ.

τότε ἀνοίσουσιν] Τοὺς διὰ τοῦ βαπτίσματος ἀναγεννωμένους, ὡς ἁπαλὰ μοσχάρια, προσφέροντες τῇ τραπέζῃ τῇ μυστικῇ.

LI.

Εἰς τὸ τέλος· συνέσεως τῷ Δαυίδ.

2. ἐν τῷ ἐλθεῖν] Ἡ προφητεία λέγει (ἐλέγχει) τὸν διάβολον. Δοὴκ γὰρ ἑρμηνεύεται σάλος. τίς δὲ σείει τὰ καλῶς ἑστῶτα ἢ ὁ διάβολος; Ἰδουμαῖα πάλιν ἑρμηνεύεται ἐκλείπουσα· ὁ διάβολος δὲ ἐξέλιπεν ἀπὸ πάσης δυναστείας. Σαοὺλ πάλιν ἑρμηνεύεται

αἰτητός· τοῦτον γὰρ ᾐτήσατο ὁ σατανᾶς, ὅ ἐστι τύπος τοῦ Ἰούδα ἐν τῷ εἰπεῖν· ἦλθε Δαυὶδ εἰς τὸν οἶκον Ἀβιμέλεχ. Ἀβιμέλεχ δέ ἐστι πατρὸς βασιλεία, ὅ ἐστιν ὁ Χριστὸς, εἰς τοὺς κόλπους τοὺς πατρῴους.

3. τί ἐγκαυχᾷ] Τί, φησί, καυχᾶται ὁ διάβολος ὡς δυνατός, ὡς ἰδίᾳ δυνάμει ποιήσας παθεῖν τὸν Χριστόν; μὴ γένοιτο (οὐ γὰρ), ἀλλ' αὐτὸς εὐδοκήσας ἔπαθεν.

3ᵇ—4ᵃ. ἀνομίαν ὅλην τὴν ἡμέραν, ἀδικίαν ἐλογίσατο] Ὅλον[1] γὰρ τὸν αἰῶνα μένει μαρτυρούμενος (τιμωρούμενος, τηρούμενος), ὡς πονηρὰ λογισάμενος κατὰ τοῦ κυρίου (Χριστοῦ) καὶ θεοῦ. νόει δὲ καὶ τὸν Ἰούδαν[2].

ὡσεὶ ξυρόν] Χρηστὰ λαλοῦσα περὶ Χριστοῦ, τεκταίνουσα δὲ τὸν φόνον διὰ τὸν Ἰούδαν (διὰ τοῦ Ἰούδα).

5. ἠγάπησας Τὴν ἀποστολὴν μισήσας ὁ Ἰούδας καὶ προσχωρήσας τοῖς Ἰουδαίοις.

ἀδικίαν] Ἀντὶ γὰρ τοῦ εἰπεῖν· προσκυνήσατε τῷ Χριστῷ, κρατήσατε αὐτόν, λέγει.

Διάψαλμα· διαίρεσις τοῦ λόγου.

6. ἠγάπησας πάντα] Εἰπὼν ὁ Ἰούδας· τί θέλετέ μοι δοῦναι, κἀγὼ ὑμῖν παραδώσω αὐτόν, καὶ τῷ μὲν διδασκάλῳ ἐλάλει ὡς μαθητής, τοῖς δὲ Ἰουδαίοις συνεφώνει ὡς ἔμπορος.

7. διὰ τοῦτο ὁ θεός] Ἆρας ἀπὸ τοῦ Ἰούδα τὴν ἀποστολὴν τῆς χάριτος καὶ ἀπορρίψας (ἀπορριφεὶς) εἰς τέλος.

ἐκτίλαι σε] Ἐξέσπασε γὰρ τὸν Ἰούδαν ἀπὸ τοῦ τόπου αὐτοῦ καὶ μετέστησεν εἰς τὴν γέενναν.

καὶ τὸ ῥίζωμά σου] Οὔτε γὰρ ἔτι ῥιζωθήσεται ὁ Ἰούδας ἐν τῇ γῇ τῆς ἐπαγγελίας, οὔτε ὁ διάβολος εἰς τὴν ἀξίαν τοῦ ἀρχαγγέλου στήσεται.

Διάψαλμα· ἀνοχὴ τοῦ πνεύματος.

8. καὶ ὄψονται] Οἱ λοιποὶ ἀπόστολοι, ἑωρακότες τὴν τοῦ Ἰούδα ἔκπτωσιν, ἐν φόβῳ πολλῷ ἐγένοντο.

καὶ ἐπ' αὐτόν] Καταγνώσονται, φησίν, τοῦ Ἰούδα λέγοντες· διὰ τί καταλείψας τὸ φῶς, τῷ σκότει προσεχώρησας (προσεχώρησεν);

9. ἰδοὺ ἄνθρωπος] Πάντες οἱ πιστοὶ ἐροῦσι· βλέπε, ταλαίπωρος ὁ ἄνθρωπος, [τί ἐποίησε· πῶς] ἀφῆκε τὴν ζωὴν καὶ τῷ θανάτῳ προσεκολλήθη.

ἀλλὰ ἐπήλπισεν] Ὀλίγοις ὀβολοῖς ἀντηλλάξατο, φησί, τὴν δόξαν τοῦ θεοῦ καὶ τὴν ἑαυτοῦ ζωήν.

καὶ ἐδυναμώθη] Ὑπέμεινε (ἐπέμεινε), φησί, τῇ κακίᾳ καὶ οὐ μετεμελήθη τῇ μετανοίᾳ, μὴ λογισάμενος θεὸν εἶναι τὸν διδάσκαλον.

10. ἐγὼ δὲ ὡσεὶ ἐλαία] Ὁ χορὸς τῶν ἀποστόλων ταῦτα βοᾷ ἐν παρρησίᾳ, μείναντες ἐν τῷ οἴκῳ τῆς

[1] V. incipit sic: Ὅλην τὴν ἡμέραν, τουτέστιν ὅλον τὸν αἰῶνα μένει κτλ.
[2] V. add. καὶ ὅσοι πονηρὰ βουλεύονται.

πίστεως καὶ καρποφοροῦντες τὰς ἀρετάς.

ἤλπισα] Ὁ γὰρ μισθὸς τῶν ἀποστόλων καὶ πάντων τῶν δικαίων οὐκ ἐκλείπει (ἐκλείψει) εἰς τὸν αἰῶνα.

11. ἐξομολογήσομαί σοι] Ὁ χορὸς[1] τῶν ἁγίων λέγει πρὸς τὸν θεόν· δοξάζομέν σε, κύριε, ὅτι ἐποίησας θαυμαστὰ πράγματα διὰ τὸν ἄνθρωπον.

καὶ ὑπομενῶ] Πᾶς γὰρ ἄνθρωπος, ὁ βουλόμενος ἐπιτυχεῖν τῆς αἰωνίου ζωῆς, ἐν ὑπομονῇ κτᾶται τὴν ψυχήν, καθὼς ὁρᾷ τοὺς ἁγίους ὑπομείναντας (ὑπομένοντας).

LII.

Εἰς τὸ τέλος, ὑπὲρ Μαελέθ· συνέσεως τῷ Δαυίδ] Ἐπὶ τέλει γὰρ νομίσας νενικηκέναι τὸν Χριστόν, ὁ διάβολος χορεύειν ἤρξατο. Μαελὲθ γὰρ χορεύεσθαι (χορευτὴς) ἑρμηνεύεται. ὑπὲρ τούτου οὖν ἐλέγξαι τὸν διάβολον ἡ προφητεία προεκήρυξεν.

2. Εἶπεν ἄφρων] Ὁ διάβολος [ἄφρων]· ἄφρονα γὰρ πανταχοῦ ἡ γραφὴ τὸν διάβολον λέγει, ὡς ἀφρονήσαντα καὶ ἀπολέσαντα τὴν ἀξίαν. ὁμοίως δὲ καὶ Ἕλληνες.

διέφθειραν] Οἱ δαίμονες, ὡς διαφθαρέντες τῆς ἀξίας, βδελυκτοὶ ἐγένοντο (γενόμενοι) παρὰ τῷ θεῷ.

οὐκ ἔστιν ὁ ποιῶν] Ὁ διάβολος καὶ οἱ δαίμονες, ὡς πονηροί.

3. ὁ θεὸς ἐκ τοῦ οὐρανοῦ] Ὁ Χριστὸς μετὰ σαρκὸς ἐπιδημήσας τῇ γῇ (ἐπὶ τῆς γῆς).

τοῦ ἰδεῖν] Διὰ τοῦτο γὰρ ἦλθε ζητῆσαι [καὶ σῶσαι] τὸ ἀπολωλός· ᾔδει γάρ, ὅτι οὐδεὶς συνιεῖ ζητῆσαι τὸν θεόν.

4. πάντες ἐξέκλιναν] Ἐν γὰρ τῷ ἐκκλῖναι ἀπὸ τοῦ θεοῦ πάντες ἀχρεῖοι ἦσαν πρὸς ἐπιστροφὴν λοιπόν.

οὐκ ἔστιν ποιῶν] Τουτέστιν οἱ δαίμονες· ἔργον γὰρ ἀγαθὸν οὐκ ἦν (ἔστιν) παρ' αὐτοῖς (ἐν αὐτοῖς) παντελῶς.

5. οὐχὶ γνώσονται] Οἱ δαίμονες καὶ ὅσοι τούτοις ἐξηκολούθησαν, μαθήσονται μετ' οὐ πολὺ τὴν ἑαυτῶν ἀπώλειαν καὶ καταστροφήν.

οἱ ἔσθοντες] Κατέπιον γὰρ οἱ δαίμονες πάντας τῇ πλάνῃ, κατεσθίοντες τοῖς ὀδοῦσι, τουτέστιν τοῖς εἰδώλοις τῶν θυσιῶν.

6. ἐκεῖ φοβηθήσονται] Ἐκεῖ γὰρ ἐν τῷ χωρίῳ τῆς κρίσεως φόβῳ πολλῷ κρατηθήσονται, ὃν οὐκ ἐδεδοίκεσαν δι' ἀπιστίαν (ἀποστασίαν). νόει δέ μοι καὶ τοὺς Ἰουδαίους, ὡς φόβῳ πολλῷ μέλλοντας [τότε] κρατεῖσθαι.

ὅτι ὁ θεὸς διεσκόρπισεν] Οἵτινες ἀρέσκειν ἀνθρώποις μᾶλλον σπεύδουσι καὶ οὐχὶ θεῷ, σκορπίζεται τούτων ἡ δυναστεία. ὀστᾶ γὰρ ἡ ἰσχὺς νοεῖται.

---

[1] V. incipit sic: Ἐξομολογήσομαί σοι, κύριε, εἰς αἰῶνα αἰῶνος, ὅτι ἐποίησας κτλ.

κατῃσχύνθησαν] *Ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως, ὅταν ἀπὸ θεοῦ ῥιφῶσιν οἱ ἁμαρτωλοί, τότε λαμβάνουσι τὴν αἰσχύνην τὴν αἰώνιον, καθάπερ (ὥσπερ) οἱ Ἰουδαῖοι τότε.*

7. *τίς δώσει*] *Ὁ κύριος δίδωσιν ἐν τῇ ἐκκλησίᾳ τὴν σωτηρίαν τῷ νέῳ λαῷ, ὅ ἐστιν ὁρατὸς θεοῦ· Ἰσραὴλ γὰρ ὁρῶν θεὸν (κύριον) ἑρμηνεύεται.*

ἐν τῷ ἀποστρέψαι] *Τότε τοῦ λαοῦ τῶν Ἑβραίων, ὕστερον δὲ τοῦ λαοῦ τοῦ ἐξ ἐθνῶν· αἰχμάλωτος γὰρ ἦν τοῖς δαίμοσιν.*

ἀγαλλιάσεται] *Ἑκάτερα ὁ Χριστός, καὶ Ἰακὼβ καὶ Ἰσραήλ· αὐτὸς γὰρ εὐφραίνεται ἐπὶ τοῖς σωζομένοις.*

LIII.

Εἰς τὸ τέλος· συνέσεως τῷ Δαυίδ.

2. *Ἐν τῷ ἐλθεῖν . . .*] *Ἐπὶ τέλει, φησί, πληρουμένων τῶν καιρῶν (ἐτῶν, καὶ) συνετίζομένης τῆς ἀνθρωπότητος ὑπὸ τοῦ Χριστοῦ· Δαυὶδ γὰρ ὁ Χριστός, ὡς ἱκανὸς χειρί. ζηλώσαντες οἱ δαίμονες, ὅ ἐστιν οἱ Ζειφαῖοι, ἐνδιαβάλλουσι τὸν Χριστόν.*

3. *ὁ θεός, ἐν τῷ ὀνόματι*] *Ταῦτα ὁ προφήτης βοᾷ τῷ θεῷ, ὡς διωκόμενος ὑπὸ τῶν ἐχθρῶν· σῶσόν με, φησί, καὶ κρῖνον τὴν κρίσιν μου, ὅτι ἀδίκως διώκομαι. τύπος δὲ ἦν τοῦ Χριστοῦ τὸ τελούμενον.*

4. *ὁ θεός, εἰσάκουσον*] *Ὁ Ἀδὰμ ὡς θλιβόμενος [βοᾷ]· εἰσάκουσον τῆς προσευχῆς μου ὡς θεὸς καὶ ἐνώτισαι, τουτέστιν μὴ παρέργως μου δέξῃ τὴν προσευχήν· πολλοὶ γὰρ οἱ ἐχθροί μου καὶ πανταχοῦ.*

5. *ὅτι ἀλλότριοι*] *Οἱ Ἰουδαῖοι κατὰ τοῦ Χριστοῦ, ὡς ἀλλοτριωθέντες ἀπὸ τοῦ θεοῦ καὶ εἰδώλοις προσχωρήσαντες (προσκυνήσαντες).*

καὶ κραταιοί] *Ἄρχοντες ὡς Πιλᾶτος καὶ βασιλεῖς ὡς Ἡρώδης· οὗτοι κραταιῶς κρατοῦντες.*

οὐ προέθεντο] *Οὐ συνῆκαν, ὅτι ὁ θεός ἐστιν ὁ λαλῶν μετ' αὐτῶν.*

Διάψαλμα· μετάθεσις τοῦ λόγου.

6. *ἰδοὺ γὰρ ὁ θεός*] *Τῷ πιστῷ καὶ κατὰ θεὸν ἀνθρώπῳ, ὡς ὁ πατὴρ τῷ υἱῷ, βεβαιῶν τὴν ἐνανθρώπησιν.*

καὶ ὁ κύριος] *Τῆς τοῦ Ἀδάμ, ἣν αὐτὸς ἀνεδέξατο.*

7. *ἀποστρέψει*] *Τοῖς δαίμοσιν, οἵτινες τὸν ἄνθρωπον ἐσκέλισαν· οὗτοι (αὐτοὶ) γὰρ οἱ ἐχθροὶ τοῦ ἀνθρώπου.*

ἐν τῇ ἀληθείᾳ] *Ὡς ὁ θεὸς ἀληθὴς ἐξεδίωξε τοὺς δαίμονας ἀπὸ (ἐκ) τοῦ ἀνθρώπου.*

8. *ἑκουσίως*] *Ὅταν γὰρ ἀνένηψεν ὁ ἄνθρωπος ἀπὸ τῆς πλάνης, θελήματι ἰδίῳ θύει τῷ θεῷ τὴν διηνεκῆ εὐχήν.*

ἐξομολογήσομαι] *Μετὰ γὰρ φωνῆς αἰνέσεως ἐξομολογοῦνται οἱ πιστοὶ τῷ θεῷ.*

9. ὅτι ἐκ πάσης θλίψεως] Ἣν ἐπήγαγον οἱ δαίμονες τῷ ἀνθρώπῳ.

καὶ ἐν τοῖς ἐχθροῖς] Ἐπέβλεψε γὰρ ἐπὶ τοὺς δαίμονας καὶ ἔθραυσεν αὐτούς.

LIV.

Εἰς τὸ τέλος, ἐν ὕμνοις· συνέσεως τῷ Δαυίδ] Περὶ τῶν ὕμνων, τῶν ἐπὶ τοῦ Χριστοῦ, εἰς σύνεσιν τῶν μελλόντων πιστεύειν.

2. Ἐνώτισαι] Ὁ προφήτης ἐκ προσώπου τοῦ ἀνθρώπου (Ἀδὰμ) βοᾷ, [ὡς τοῦ Χριστοῦ μέλλοντος ἀναλαμβάνειν τὸν ἄνθρωπον· δός, κύριε, τὰ ὦτά σου ἐμοί (ἐπ' ἐμέ), καὶ μὴ ὑπερίδῃς με, κείμενον νεκρὸν τῇ ἁμαρτίᾳ.]

3. πρόσχες μοι] Ἐπίβλεψον ἐπὶ τὴν πτῶσίν μου, ἵνα βοῶντός μου εἰσακούσῃς ὡς θεός.

ἐλυπήθην] Ἐφρόντιζε γὰρ ὁ ἄνθρωπος χρονίζοντος τοῦ κυρίου καὶ ἐν πολλῇ λύπῃ ἐτύγχανε, μή ποτε ἄρα καταλειφθῇ εἰς τέλος.

4. ἀπὸ φωνῆς] Οἱ δαίμονες γὰρ ὠνείδιζον καὶ ὁ διάβολος ἠπείλει· κυκλόθεν οὖν συνείχετο ὁ ἄνθρωπος.

ὅτι ἐξέκλιναν] Εὑρόντες γὰρ τὸν ἄνθρωπον τῇ ἀνομίᾳ κεκλιμένον (κλινόμενον) ἐκονδύλιζον αὐτὸν ἐπεμβαίνοντες.

5. ἡ καρδία] [Ἐκ τῆς συνοχῆς τῶν κακῶν.]

καὶ δειλία θανάτου] Ἐπὶ παντὸς ἀνθρώπου φοβερὸς ὁ θάνατος· βεβαιῶν δὲ τὴν σάρκα ὁ κύριος, ἵνα δείξῃ, ὅτι ἀληθινὸς ἦν ἄνθρωπος, ἐδειλίασεν (ἐδειλία) ἐν τῷ καιρῷ τοῦ πάθους.

6. φόβος καὶ τρόμος] Ἔλεγε γάρ· νῦν ἡ ψυχή μου τετάρακται, ἵνα δείξῃ, ὅτι ἀληθινὴν σάρκα ἐνεδύσατο.

καὶ ἐκάλυψεν] Τουτέστιν[1] ὁ τάφος, ἐν ᾧ ἐτέθη ὁ κυριακὸς ἄνθρωπος τὸ τριήμερον.

7. καὶ εἶπα· τίς δώσει] Ὡς περιστερὰ γὰρ καθαρὰ ἐκ τοῦ τάφου ἀνῆλθεν, ἄφθαρτος καὶ ἀκέραιος [ὢν] ὁ Χριστός.

πετασθήσομαι] Ἀναστὰς γὰρ ἐν τοῖς κόλποις τοῖς πατρῴοις κατέπαυσεν.

8. ἰδοὺ ἐμάκρυνα] Ἐν ταῖς ἐρήμοις γὰρ ηὐλίζετο [ἀεὶ] ὁ κύριος, μακρύνων ἀπὸ τῶν ἀνθρώπων ὡς θεός· πολὺ γὰρ τὸ διάφορον θεοῦ καὶ ἀνθρώπων· ἐπανεπαύετο γὰρ τῇ ἐκκλησίᾳ (ἀνεπαύσατο γὰρ ὁ κύριος ἐν τῇ ἐκκλησίᾳ), ἥτις ἔρημος ἦν τὸ πρότερον, περὶ ἧς γέγραπται· εὐφράνθητι ἔρημος διψῶσα.

Διάψαλμα· μεταβολὴ τοῦ λόγου.

9. προσεδεχόμην] Ἡ ἐκκλησία

[1] V. incipit sic: Τὸ δὲ ἐκάλυψέ με σκότος λέγει τὸν τάφον κτλ.

ἀπεκδεχομένη τὸν Χριστόν, ἐν πολλῇ λειποθυμίᾳ (προθυμίᾳ) ἦν, ἀπὸ τῆς συνοχῆς τῶν εἰδώλων ξηραινομένη· καταιγὶς γὰρ ξηραίνει, πιανθῆναι δὲ ἔζήτει (ζητεῖ) τῷ βαπτίσματι.

10. καταπόντισον] Ἐπόντισε γὰρ τοὺς δαίμονας ἐν τῷ βαπτίσματι καὶ τούτων τὰς γλώσσας ἀπέτεμε τοῦ μηκέτι λυσσᾶν ἐπὶ τὸν ἄνθρωπον (κατὰ τοῦ ἀνθρώπου) καὶ τὴν ἐκκλησίαν (τῆς ἐκκλησίας).

ὅτι εἶδον ἀνομίαν] Ἐν τῇ πόλει, ἣν ᾠκοδόμησεν ἡ ἁμαρτία. ἐν αὐτῇ γὰρ πολιτεύονται (πολιτεύεται) ἀμφότερα· καὶ ἡ ἀνομία καὶ ἡ ἀντιλογία. λέγει δὲ τὴν ἀρχαίαν Ἱερουσαλήμ, ἥτις καὶ αὐτὴ πλήρης ἀνομίας ἦν.

11. ἡμέρας καὶ νυκτός] Οὔτε γὰρ ἡμέρας οὔτε νυκτὸς παύεται ἡ ἀσέβεια, οἰκοδομοῦσα τείχη τῇ ἁμαρτίᾳ [καὶ ἰσχυροποιοῦσα].

ἀνομία καὶ πόνος] Τῆς ἀρχαίας Ἱερουσαλήμ· ἐν αὐτῇ γὰρ ἐπράχθη ἡ παρανομία τῶν Ἰουδαίων. ὁ κόπος, ὃν ἐκοπίασαν εἰς μάτην κατὰ τοῦ Χριστοῦ, καὶ ἡ ἀδικία, ἣν ἠδίκησαν τὰς ἑαυτῶν ψυχάς.

12. καὶ οὐκ ἐξέλιπεν] Τόκον λέγει τὸ ἀργύριον, ὃ ἐτόκισαν ἀγοράσαντες τὸν κύριον· δόλον δέ, ὃν ὁ Ἰούδας ἔκρυπτε συνδιάγων (συνάγων) τῷ διδασκάλῳ.

13. ὅτι εἰ ἐχθρὸς ὠνείδισεν] Εἰ γὰρ ἐχθρὸς ἦν ὁ παραδιδούς με καὶ μὴ μαθητής, ἀνάγκη καὶ ὑπομένειν.

καὶ εἰ ὁ μισῶν] Εἰ γάρ, φησί, μισούμενός τις ἀπ' ἐμοῦ ἢ μισῶν ἐμὲ ἠπείλει μοι ἢ κατεσκήπτετό μου, ἀνάγκη ὑπομένειν.

14. σὺ δέ, ἄνθρωπε] Πρὸς τὸν Ἰούδαν ὁ λόγος· ἰσόψυχος γὰρ ἦν ὡς μαθητής, ἡγεμὼν δέ, ὅτι πάντα αὐτὸς ἐκράτει· γνωστὸς δέ, ὅτι πάντα ἐγίνωσκε τὰ σημεῖα, ἃ ἐποίει (ἐποίησεν) ὁ κύριος, καὶ οὐδὲν ἔκρυπτεν αὐτὸν ὁ κύριος, ὡς ἀπόστολον, ὡς μαθητήν.

15. ὃς ἐπὶ τὸ αὐτό] Καὶ γὰρ ἐν τῷ ἐσθίειν καὶ πίνειν αὐτὸς διηκόνει ὡς βαστάζων τὸ γλωσσόκομον καὶ τὰ βαλλόμενα ἐν αὐτῷ.

ἐν τῷ οἴκῳ] Οὐχὶ καθ' ἡμέραν ἤμην ἐν τῷ ἱερῷ, φησί, καὶ διὰ τί οὐκ ἐκρατήσατέ με;

16. ἐλθέτω θάνατος] Ἰουδαίοις ἠπείλησεν ὁ λόγος· αὐτοὶ γὰρ ᾐτήσαντο λέγοντες· τὸ αἷμα αὐτοῦ ἐφ' ἡμᾶς καὶ ἐπὶ τὰ τέκνα ἡμῶν.

ὅτι πονηρίαι] [Ἔτι γὰρ ζῶντες πλήρεις ἦσαν τῆς πονηρίας.]

17. ἐγὼ πρὸς τὸν θεόν] Ὁ Χριστὸς ὡς ἄνθρωπος προσεύχεται (προσευχόμενος) διὰ τὴν ἐνανθρώπησιν, ἵνα μὴ νομισθῇ σκιά.

18. ἑσπέρας καὶ πρωί] Ἑσπέρας τὸ πάθος, πρωὶ ἡ ἀνάστασις, μεσημβρίας ἐπὶ τοῦ σταυροῦ ἀπέδωκε τὸ πνεῦμα· ἀπὸ γὰρ ἕκτης ὥρας σκότος ἐγένετο ἕως ὥρας ἐννάτης.

ἀπαγγελῶ] Ταῦτα ὁ προφήτης φησί· διηγήσομαι τὰ περὶ τοῦ Χριστοῦ πᾶσι καὶ ἀπήγγειλα προανα-

φωνήσας· εἰσηκούσθην δέ, ὅτι πάντα ἐτελέσθησαν ἐν καιρῷ αὐτῶν.

19. λυτρώσεται] *Περὶ τῶν ἐχθρῶν, τῶν νοητῶν καὶ αἰσθητῶν καὶ οἰκειακῶν, ἐκ προσώπου τοῦ Χριστοῦ ὁ προφήτης βοᾷ· ἦν γὰρ ἐγγὺς Ἰούδας.*

ὅτι ἐν πολλοῖς] *Μετὰ τῶν ἀνθρωπίνων ἐχθρῶν καὶ οἱ δαίμονες κατὰ τοῦ Χριστοῦ (Χριστοῦ καὶ θεοῦ ἀνθρώπου) πολεμοῦντες· ἦν γὰρ καὶ Ἰούδας σὺν τῷ Χριστῷ καὶ τοῖς ἀποστόλοις.*

20. εἰσακούσεται] *Ὁ πρὸ τῶν αἰώνων ὢν καὶ νῦν ἀναστὰς ἐκ νεκρῶν· αὐτὸς γὰρ καὶ αἰσθητοὺς καὶ νοητοὺς [ἐχθροὺς] ἐταπείνωσε.*

Διάψαλμα· ἀνοχὴ τοῦ λόγου.

οὐ γάρ ἐστιν] *Οὐκέτι γὰρ μεταλλαγῆναι ἠδυνήθησαν Ἰουδαῖοι, ὥστε φοβηθῆναι τὸν Χριστόν, ὅτι ἐστὶν θεός, ἀλλ' ἔμειναν ἐν τῇ ἀπιστίᾳ αὐτῶν.*

21. ἐξέτεινεν τὴν χεῖρα] *Ὁ Ἰούδας ἐν τῷ ἀποδιδόναι τὸν κύριον καὶ λαβεῖν τὰ ἀργύρια· ἀνάγκῃ γὰρ ἐξέτεινεν τὴν χεῖρα καὶ λαμβάνει τὸ ἀργύριον, δακτυλοδεικτῶν.*

ἐβεβήλωσαν] *Οἱ Ἰουδαῖοι, λύσαντες τὸν νόμον καὶ προφήτας ἀθετήσαντες (ἀποκτείναντες).*

22. διεμερίσθησαν] *Διὰ ὀργὴν καὶ θυμὸν ἴδιον ἐχωρίσθησαν τοῦ προσώπου τοῦ θεοῦ, ὅ ἐστι διεμερίσθησαν.*

καὶ ἤγγισεν] *Τῶν Ἰουδαίων αἱ καρδίαι τῷ ᾅδῃ καὶ τῇ ἀπωλείᾳ.*

ἠπαλύνθησαν] *Ὅταν ἔλεγον πρὸς τὸν κύριον οἱ Ἰουδαῖοι δόλῳ· διδάσκαλε, οἴδαμεν ὅτι ἀληθὴς εἶ.*

23. ἐπίριψον] *Ὁ κατὰ θεὸν ἄνθρωπος ἀεὶ τῷ θεῷ ὀφείλει καταλιμπάνειν τὴν φροντίδα· πάντα γὰρ ἐκ θεοῦ ἔχει ὁ ἄνθρωπος, τὴν ζωήν, τὴν κίνησιν, τὴν ἀνατροφήν.*

οὐ δώσει] *Τουτέστιν τῷ Χριστῷ· οὔτε γὰρ ἐσαλεύθη ποτέ, οὔτε ἡ σὰρξ αὐτοῦ εἶδε διαφθοράν.*

24. σὺ δέ, ὁ θεός] *Εἰς τὸν βόθυνον (βυθὸν) τοῦ λάκκου, ὃν ὤρυξαν, ὡς ἐδόκουν, τῷ σωτῆρι· ἐκεῖ γὰρ ἐφθάρησαν τῇ ἀπιστίᾳ καὶ τῇ δυσσεβείᾳ αὐτῶν.*

ἄνδρες αἱμάτων] *Οἱ γὰρ φονεῖς καὶ οἱ δόλιοι ἡμιτελεῖς ἀπέρχονται (ἀνέρχονται)· οὐ γὰρ πληροῦσιν ἡμέρας ἀγαθάς. αἰνίττεται δὲ τὸν Ἰούδαν, ὡς μὴ τελέσαντα τὴν ἀποστολήν.*

ἐγὼ δὲ ἐλπιῶ] *Ὁ κυριακὸς ἄνθρωπος, ὡς γεγονὼς αἰώνιος.*

LV.

Εἰς τὸ τέλος, ὑπὲρ τοῦ λαοῦ ...] *Ἐστηλίτευσεν ἡ προφητεία τὸν λαὸν τῶν Ἰουδαίων, μακρυνθέντα ἀπὸ τῶν ἁγίων ἐπὶ τέλει τῶν αἰώνων, ὅταν ἐκράτησαν αὐτὸν ἐν Γέθ. ἑρμηνεύεται δὲ ληνὸς ἡ Γέθ, ἣν ἐν τῷ σταυρῷ ἐπάτησεν ὁ Χριστός, δῆλον κρατηθεὶς ὑπὸ τῶν πεσόντων Ἰου-*

δαίων. ἀλλόφυλοι γὰρ πίπτοντες ἑρμηνεύονται.

2. Ἐλέησόν με] *Ὁ Χριστὸς βοᾷ ὡς ἄνθρωπος περὶ τοῦ Ἰούδα.*

ὅλην τὴν ἡμέραν] *Οὐκ ἐπαύσατο γὰρ ὁ Ἰούδας τῇ ἡμέρᾳ τῆς προδοσίας (προδόσεως) ὧδε κἀκεῖσε περιτρέχων.*

3. κατεπάτησάν με] *Οἱ Ἰουδαῖοι ὅλην τὴν ἡμέραν ἐκείνην τοῦ πάθους ἐμπαίζοντες τῷ σωτῆρι οὐκ ἐπαύσαντο.*

ὅτι πολλοί] *Οἱ δαίμονες ἐκ τοῦ ἀέρος νύσσοντες τοὺς Ἰουδαίους κατὰ τοῦ Χριστοῦ.*

4. οὐ φοβηθήσομαι] *Οὔτε γὰρ τὴν ἡμέραν τοῦ πάθους φοβούμενος ἐβόα, ἀλλ' ἵνα δείξῃ, ὅτι ἀληθινῶς ἐνηνθρώπισεν.*

5. ἐν τῷ θεῷ] *Οἱ γὰρ λόγοι τοῦ σωτῆρος ἐν τῷ πατρὶ καὶ οἱ τοῦ πατρὸς ἐν τῷ υἱῷ.*

ἐν τῷ θεῷ ἤλπισα] *Πότε γὰρ ἡ σὰρξ ἀνθρώπου ἰσχύει (ἴσχυεν) στρατεύεσθαι κατὰ τοῦ θεοῦ (Χριστοῦ);*

6. ὅλην τὴν ἡμέραν] *Ὁπότε γὰρ ἐδίδασκεν ὁ Χριστός, οἱ Ἰουδαῖοι κατεγέλων λέγοντες· πόθεν οὗτος γράμματα οἶδε, μὴ μεμαθηκώς;*

κατ' ἐμοῦ πάντες] *Ἅπαντες γὰρ ἐσκέπτοντο, ποίῳ τρόπῳ θανατώσουσιν αὐτόν.*

7. παροικήσουσιν] *Κυκλοῦντες [γὰρ] παρέμενον, τί εὕρωσιν καὶ ποῖον δόλον ἐργάσωνται κατὰ τοῦ Χριστοῦ.*

αὐτοὶ τὴν πτέρναν] *Παρετήρουν (παρετηροῦντο) γάρ, φησί, τὸν κύριον, εἰ ἐν σαββάτῳ θεραπεύει, ἵνα κατηγορήσωσιν αὐτοῦ (αὐτόν).*

8. ὑπὲρ τοῦ μηδενός] *Ἐβούλετο γὰρ ὁ κύριος εἰς οὐδὲν θέσθαι τὰ γεγενημένα (γενόμενα) καὶ συγχωρῆσαι αὐτοῖς, ἵνα μετανοήσαντες σωθῶσιν· αὐτοὶ δὲ οὐ συνῆκαν.*

ἐν ὀργῇ] *Τοὺς τῶν Ἰουδαίων λαοὺς λέγει, οἵτινες κατήλθησαν ἀπὸ τῆς ἀξίας αὐτῶν.*

9. ὁ θεὸς τὴν ζωήν] *Ὁ πιστὸς ἄνθρωπος τῷ θεῷ πάντα θαρρεῖ.*

ἔθου τὰ δάκρυα] *Ἐζήτησεν γὰρ ὁ θεὸς τὰ δάκρυα τῆς μετανοίας παρὰ τοῦ λαοῦ, ὁποῖα εἶχεν, ὅτε (ὅταν) αὐτοῖς ἐπηγγέλλετο πρὸ τοῦ παρανομῆσαι αὐτούς.*

10. ἐπιστρέψουσιν] *Αἰσχυνθέντες μετὰ τὴν ἀνάστασιν [τοῦ κυρίου] οἱ Ἰουδαίων παῖδες.*

ἐν ᾗ ἂν ἡμέρᾳ] *Ὁπόταν γὰρ μετανοήσαντες ἐπεκαλέσαντο τὸν θεόν, εὗρον αὐτὸν ὑπακούοντα.*

11. ἐπὶ τῷ θεῷ] *Οὔτε γὰρ δίχα θεοῦ φθέγγονται οἱ δίκαιοι.*

— αἰνέσω λόγον] *Καὶ τοὺς λόγους καὶ τὰ ἔργα τῷ κυρίῳ ἀνατίθενται οἱ πιστοί· πάντα γὰρ αὐτῷ θαρροῦσιν.*

12. — ἤλπισα] *Οὔτε γὰρ φόβον ἀνθρώπων δεδοίκασιν οἱ ἅγιοι, τῷ φόβῳ τοῦ θεοῦ νευρούμενοι.*

13. ἐν ἐμοί, ὁ θεός] *Ἐν γὰρ τῷ ἀνθρώπῳ, τῷ κατὰ θεὸν ζῶντι, διηνεκῶς (διηνεκὴς) θυσία τῷ θεῷ ἡ εὐχὴ ὑπάρχει.*

14. ὅτι ἐρύσω] Τὴν ψυχὴν τοῦ Ἀδὰμ ὁ Χριστὸς ἀναλαβών [αὐτήν].

τοὺς ὀφθαλμούς μου] Τὸν δόλον λέγει τῶν εἰδώλων.[1]

τοῦ εὐαρεστῆσαι] Ἐν φωτὶ τῶν ἀγγέλων· αὐτοὶ γὰρ ἀεὶ ζῶσιν ὡς ἀσώματοι.

LVI.

Εἰς τὸ τέλος. μὴ διαφθείρῃς . . .] Τὰ ἐπὶ τέλει στηλιτεύεται, τουτέστιν ὑποδείκνυται τῷ Δαυίδ, ὅ ἐστιν ὁ Χριστός, εἰς τὸ σπήλαιον τῆς Βηθλεὲμ εἰσερχόμενος, λανθάνων τὸν διάβολον. τύπος γὰρ τοῦ Χριστοῦ ἐστιν ὁ Δαυίδ.

2. Ἐλέησόν με] Ὁ λόγος περὶ τοῦ Ἀδάμ· ὁ προφήτης βοᾷ ἐκ προσώπου τοῦ Χριστοῦ, ὁ Χριστὸς πάλιν ἐκ προσώπου τοῦ Ἀδάμ· διπλοῦν ἐπιζητεῖ τὸ ἔλεος ὁ ἄνθρωπος, ὡς τῆς ἁμαρτίας ἐξωγκωμένης.

ὅτι ἐπὶ σοὶ πέποιθεν] Ἐξεδέχετο γὰρ τὴν παρουσίαν τοῦ Χριστοῦ ὁ ἄνθρωπος, ἵνα ἐπισκιάσῃ αὐτὸν (αὐτῷ) ταῖς πτέρυξιν, ὅ ἐστι τὸ σῶμα τὸ δεσποτικόν.

ἕως οὗ παρέλθῃ] Ὅταν γὰρ παραγάγῃς, κύριε, τὴν ἀνομίαν τῆς παραβάσεως, τότε γνώσομαι, ὅτι ἐσώθην, φησὶν ὁ ἄνθρωπος.

3. κεκράξομαι] Οὐ διέλιπε γὰρ ὁ ἄνθρωπος κράζων εἰς τὸν οὐρανόν, ὅτι πολλὴ ἦν ἡ θλῖψις αὐτοῦ.

τὸν θεόν] Ὅστις οὐ παρεῖδε τὸν ἄνθρωπον, ἀλλ' ἐλθὼν [καὶ ἀναλαβὼν] ἠλευθέρωσε τῶν κακῶν.

4. ἐξαπέστειλεν] Ὁ πατὴρ τὸν υἱὸν πέμψας ἔσωσε τὸν ἄνθρωπον.

ἔδωκεν] Τοὺς δαίμονας, τοὺς σκελίσαντας τὸν ἄνθρωπον. νόει δὲ καὶ Ἰουδαίους, τοὺς ἐξουθενήσαντας τὸν Χριστόν.

Διάψαλμα· συνεχὴς μεταβολὴ τῆς προφητείας.

ἐξαπέστειλεν ὁ θεός] Τὸν Χριστὸν ὁ πατὴρ πέμψας εἰς ἀναζήτησιν τοῦ ἀπολομένου ἀνθρώπου· ἔλεος γὰρ καὶ ἀλήθεια ὁ Χριστὸς ὑπάρχει πάσης κτίσεως.

5. καὶ ἐρύσατο] Τὸν Ἀδὰμ ἐκ μέσου τῶν δαιμόνων· ὡς λέοντες γὰρ (οὗτοι γὰρ ὡς λέοντες) κατήσθιον τὸν Ἀδάμ (τὸν ἄνθρωπον), ὡς τὸν Χριστὸν οἱ Ἰουδαῖοι συνεῖχον [ὡς λέοντες] ὠρυόμενοι.

ἐκοιμήθην] Ὁ Χριστὸς ἐν τῷ τάφῳ κοιμηθεὶς τὸ τριήμερον, ὁ δὲ τεταραγμένος, ὅτι μετ' ὀργῆς κατῆλθεν εἰς τὸν ᾅδην, ἵνα τὰς πολλῷ χρόνῳ κατεχομένας (τεταραγμένας) ψυχὰς ἐλευθερώσῃ.

υἱοὶ ἀνθρώπων] Ὀνειδίζει τοὺς θηριώδεις ἀνθρώπους, ὧν πρῶτοί

[1] Interpres slavicus add. ἀπ' αὐτοῦ γὰρ ἐρρύσθη ὁ ἄνθρωπος. Cod. ven. 545 scribit: Τῶν πενθικῶν τῆς ἀσεβείας.

καὶ τοὺς πόδας] Τῆς πλάνης λέγει τῶν εἰδώλων.

εἰσιν οἱ Ἰουδαῖοι, κατὰ τοῦ Χριστοῦ τρίζοντες τοὺς ὀδόντας.

καὶ ἡ γλῶσσα] *Τῶν Ἰουδαίων, ὡς κατὰ Χριστοῦ χαλάσαντες τὰς ἑαυτῶν γλώσσας ὡς κύνες.*

6. *ὑψώθητι*] [*Δηλαδὴ περὶ τῆς ἀναλήψεως αὐτοῦ ὁ λόγος.*]

καὶ ἐπὶ πᾶσαν] *Πλήρης γὰρ ὁ οὐρανὸς καὶ ἡ γῆ τῆς δόξης τοῦ κυρίου, ἐπλήρωσε τὴν γῆν εἰπών· εἰρήνην τὴν ἐμὴν ἀφίημι ὑμῖν.*

7. *παγίδας ἡτοίμασαν*] *Οἱ Ἰουδαῖοι τῷ Χριστῷ· ἤθελον γάρ, φησί, παγιδεῦσαι ἐν λόγῳ.*

καὶ κατέκαμψαν] *Ἀνάγκῃ γὰρ συμπεριεφέρετο αὐτοῖς, ἵνα τύπος γένηται ταπεινοφροσύνης.*

ὤρυξαν] *Τὸν τάφον τὸν δεσποτικὸν λέγει· εἰς αὐτὸν γὰρ καὶ δι' αὐτοῦ ἔπεσαν οἱ Ἰουδαῖοι πτῶμα ἐξαίσιον.*

8. *ἑτοίμη ἡ καρδία*] *Τοῦ ἀναστῆναι καὶ σῶσαι τὸ γένος τῶν ἀνθρώπων (τὸ ἀνθρώπινον).*

ἑτοίμη ἡ καρδία] *Ἀναστὰς γὰρ ἑτοίμως ἐδίδαξα, φησὶ ὁ Χριστός, τὸν ἄνθρωπον τὸ ᾆσμα τὸ καινόν.*

9. *ἐξεγέρθητι*] *Ἡ θεότης ἐξεγείρουσα τὸν ἄνθρωπον, ὡς δόξα (δόξαν) θεοῦ γενόμενον τὸ σῶμα τὸ δεσποτικόν.*

ἐξεγέρθητι] *Ἐξ οὐκ ὄντων γὰρ ὁ ὕμνος τῶν ἀγγέλων ἐδόθη μετὰ τὴν ἔγερσιν τοῦ κυρίου*[1].

ἐξεγερθήσομαι] *Ὁ Χριστός· ὄρθρου γὰρ ἡ ἀνάστασις (ἐξηγέρθη τουτέστιν ἐξανέστη)*[2].

10. *ἐξομολογήσομαι*] *Διδοὺς πᾶσι τοῖς λαοῖς παρρησίαν εἰς τὸ ἐξομολογεῖσθαι καὶ σώζεσθαι.*

ψαλῶ σοι] *Τὰ ἔθνη γὰρ πιστεύσαντα ᾄδουσι τὸ δόγμα τὸ καινόν, τῆς καινῆς διαθήκης τὸ σύμβολον.*

11. *ὅτι ἐμεγαλύνθη*] *Ἀμέτρητον γὰρ τὸ ἔλεος τοῦ θεοῦ, μήτε ἐν οὐρανῷ μήτε ἐπὶ τῆς γῆς χωρούμενον.*

καὶ ἕως τῶν νεφελῶν] *Ὡς γὰρ αἱ νεφέλαι σκέπουσιν τὴν ὑπουράνιον καὶ δροσίζουσιν, οὕτως ἡ ἀλήθεια τοῦ θεοῦ πληροῖ τὰ σύμπαντα καὶ πιαίνει.*

12. *ὑψώθητι*] *Δῆλον (δηλοῖ) τὴν εἰς τοὺς οὐρανοὺς ἄνοδον.*

καὶ ἐπὶ πᾶσαν] *Πλήρης γὰρ ἡ γῆ τῆς δόξης τοῦ θεοῦ ἐγένετο, ἐπιδημήσαντος ἐν αὐτῇ τοῦ κυρίου (ἐπιδημήσας ἐν αὐτῇ ὁ Χριστός).*

LVII.

Εἰς τὸ τέλος· μὴ διαφθείρῃς ...] *Στηλιτεύει τῷ προφήτῃ τὸ πνεῦμα τὸ ἅγιον, τουτέστιν ὑποδείκνυσι τῷ προφήτῃ τὰ ἐπ' ἐσχάτων μέλλοντα*

---

[1] V. add. *λέγεται δὲ ψαλτήριον ὁ νοῦς καὶ κιθάρα ἡ γλῶσσα· ἐν τούτοις δοξάζεται ὁ θεός.*

[2] V. totum scholion sic: *Ὁ Χριστὸς ἐξηγέρθη, τουτέστιν ἐξανέστη· ὄρθρου γὰρ ἡ ἀνάστασις.*

ἔσεσθαι (πράττεσθαι) παρὰ Ἰουδαίων εἰς τὸν Χριστόν. καὶ περὶ τῆς ἐκπτώσεως τῶν Ἰουδαίων καὶ διαφορᾶς[1].

2. Εἰ ἀληθῶς] Ὁ λόγος πρὸς Ἰουδαίους φησίν· ἆρα δίκαιον (δικαίως) λαλεῖτε, συκοφαντοῦντες τὸν Χριστόν;

εὐθεῖα κρίνετε] Πρὸς τοὺς ἄρχοντας τῶν Ἰουδαίων [ὁ λόγος]· ὡς κριταὶ τοῦ λαοῦ διὰ τί οὐ λαλεῖτε ἀλήθειαν, ἀλλὰ κρῖμα διεστραμμένον κατὰ τοῦ Χριστοῦ καὶ θεοῦ ἐκφέρετε;

3. καὶ γὰρ ἐν καρδίᾳ] Λογισάμενοι θανάτῳ καταδικάζειν τὸν ἀθάνατον· καὶ τί τῆς ἀνομίας ταύτης μεῖζον;

ἀδικίαν] Αἰνίττεται τὸν καιρόν, ἐν ᾧ ἤμελλον συμπλέκειν τὸν ἀκάνθινον στέφανον καὶ ἄδικον (καὶ ἄδικον στέφανον).

4. ἀπηλλοτριώθησαν] Λέγει μὲν τοὺς δαίμονας, οἵτινες ἀπ' αὐτῶν ⟨αὐτοῦ⟩ τῶν οὐρανίων χωρῶν ἐρρίφησαν· αἰνίττεται δὲ καὶ τοὺς Ἰουδαίους, οἵτινες πρὸ τοῦ γεννηθῆναι κατεκρίθησαν.

ἐπλανήθησαν] Ἐν γὰρ τῷ κυοφορηθῆναι τὸν θεὸν λόγον ἐν γαστρὶ παρθένου (παρθενικῇ), εὐθέως ἐξ ἀπιστίας τῇ πλάνῃ περιέπεσον (περιέσπευσαν), λαλοῦντες ψευδῆ, ὅτι ἐκ πορνείας συνελήφθη· τοῦτο γὰρ ᾐνίξατο ὁ προφήτης.

5. θυμὸς αὐτοῖς] Καθ' ὃν τρόπον ἐπετιμήθη ὁ ὄφις, πλανήσας τὴν Εὔαν, τὴν αὐτὴν πληγὴν ἐδέξαντο καὶ οἱ Ἰουδαῖοι, διασύροντες τὸ μυστήριον τῆς θεϊκοῦ παρθένου.

ὡσεὶ ἀσπίδος] Ἡ ἀσπὶς γὰρ ἐπὰν αἴσθηται ⟨τὴν φωνὴν⟩ τοῦ ἐπᾴδοντος, τὸ ἓν οὖς τίθησιν εἰς τὴν γῆν καὶ τὸ ἕτερον φράσσει τῇ οὐρᾷ (οὐραίᾳ) αὐτῆς πρὸς τὸ μὴ ὑπακοῦσαι (ὑπακούειν) τῷ καλοῦντι· οὕτως καὶ οἱ Ἰουδαῖοι διδάσκοντι τῷ σωτῆρι οὐ προσέσχον (οὐ παρεῖχον) τὰ ὦτα διὰ φθόνον.

6. ἥτις οὐκ εἰσακούσεται] Ἐν γὰρ τῷ μὴ ὑπάρχειν (παρέχειν) τὰ ὦτα, δῆλον οὐχ ὑπακούει τῷ καλοῦντι. οὔτε[2] γὰρ οἱ Ἰουδαῖοι ὑπήκουσαν τῷ λέγοντι· ἐγώ εἰμι τὸ φῶς τοῦ κόσμου.

φαρμάκου] Ὥσπερ ἡ ἀσπίς, φαρμακευομένη τῷ λόγῳ, ἀνήκοος τυγχάνει, οὕτως ἡ ἀκαμπὴς συναγωγή, παρὰ τοῦ Χριστοῦ διδασκομένη, πολλάκις ἀνήκοος ἔμεινεν ἐξ ἀπιστίας.

7. ὁ θεὸς συνέτριψεν] [Δόξαντες οἱ δαίμονες ψιλὸν ἄνθρωπον εἶναι τὸν Χριστόν, ἐπεχείρησαν καταπιεῖν αὐτὸν ὡς τὸν Ἀδάμ· εὑρόντες δὲ ἐν αὐτῷ τὴν θεότητα, ὡς πέτραν ἰσχυράν, καὶ ἐν τῷ μασᾶσθαι αὐτὸν συνετρίβησαν ἑαυτῶν τοὺς ὀδόντας.]

τὰς μύλας] Τοῦ διαβόλου[3]· λέων γὰρ ὡς ἅρπαξ.

---

[1] V. add. *Ταῦτα τὸ πνεῦμα τὸ ἅγιον ὑποδείκνυσι τῷ προφήτῃ.*

[2] V. cont. sic: *οὕτως Ἰουδαῖοι διδάσκοντι τῷ σωτῆρι οὐ προσέσχον τὰ ὦτα διὰ φθόνον, ἵνα ἀκούσωσι τοῦ ἐπᾴδοντος· ἐγώ εἰμι τὸ φῶς τοῦ κόσμου.*

[3] V. cont. sic: *τῶν δαιμόνων καὶ τῶν Ἰουδαίων ὁ Χριστὸς συνέτριψε τὰς μύλας ἢ ὡς τοὺς ὀδόντας.*

8. ἐξουδενωθήσονται] *Βδελυκτοὶ γὰρ οἱ δαίμονες ἐγένοντο παρὰ τῶν ἀπατηθέντων, ὡς ῥυπαρὸν ὕδωρ παροδεῦον.*

ἐντενεῖ τὸ τόξον] *Τόξον λέγει τὸν λόγον τὸν εὐαγγελικόν· ἐν αὐτῷ γὰρ ἠσθένησαν οἱ ἄπιστοι καὶ οἱ δαίμονες.*

9. ὡσεὶ κηρός] *Ἐτάκησαν γὰρ τῷ φθόνῳ οἱ Ἰουδαῖοι καὶ ἀφανεῖς ἐγένοντο, ὡς κηρὸς ἐν πυρί.*

ἐπέπεσε πῦρ] *Τῷ πυρὶ τοῦ φθόνου τυφλωθέντες, οἱ Ἰουδαῖοι τὸν ἥλιον τῆς δικαιοσύνης ἐπιγνῶναι οὐ δύνανται (ἴσχυσαν, ἠδυνήθησαν).*

10. πρὸ τοῦ συνεῖναι] *Ἡ ῥάμνος ἀκανθῶδές ἐστι ξύλον καὶ πᾶσα δὲ ἄκανθα ἐν χερσώδεσι τόποις γίνεται. οὐ συνῆκαν οὖν οἱ Ἰουδαῖοι, ὅτι χέρσος ἐγενήθη ὁ τόπος αὐτῶν καὶ ἀκανθῶν πεπλήρωται.*

ὡσεὶ ζῶντας] *Τὸ πῦρ, τὸ τοῦ πνεύματος, ἔτι ζῶντας τοὺς Ἰουδαίους κατέφλεξε μετ' ὀργῆς, ὡς ἄκανθαν εἰς χέρσον.*

11. εὐφρανθήσεται] *Ὁ Χριστός, ὁ πρὸς ἀλήθειαν δίκαιος, εὐφρανθήτω τὸ τῆς νίκης ἀράμενος τρόπαιον.*

τὰς χεῖρας] *Ὁ Πιλᾶτος, νιψάμενος τὰς χεῖρας ἐν τῷ αἵματι τοῦ ἁμαρτωλοῦ λαοῦ, τοῦ εἰπόντος· τὸ αἷμα αὐτοῦ ἐφ' ἡμᾶς καὶ ἐπὶ τὰ τέκνα ἡμῶν.*

12. καὶ ἐρεῖ ἄνθρωπος] *Οἱ Ἰουδαῖοι κράζοντες· ἄφες ἴδωμεν, εἰ ἔρχεται Ἠλίας σώζων αὐτόν (καὶ σώζει αὐτόν).*

ἄρα ἐστὶν ὁ θεός] *Ὁ προφήτης φησὶ ὑπὲρ τῶν ἁμαρτησάντων εἰς τὸν κύριον· ἆρα ἐπὶ γῆς ποιήσεις αὐτῶν τὴν κρίσιν (ἐκδίκησιν);*

LVIII.

Εἰς τὸ τέλος· μὴ διαφθείρῃς ...] *Λέγει περὶ τῶν Ἰουδαίων, ὅτι γένος θεοῦ ὠνομάζοντο· ἐπὶ τέλει δὲ διεφθάρησαν. στηλιτεύων τουτέστι δεικνύων τῷ προφήτῃ τὰ ἐσόμενα περὶ τοῦ Χριστοῦ καὶ τοῦ πάθους αὐτοῦ καὶ τὴν κακίαν τῶν Ἰουδαίων.*

2. Ἐξελοῦ με] *Ταῦτα ἐκ προσώπου τοῦ Ἀδὰμ ὁ Χριστὸς βοᾷ· ἐχθροὶ γὰρ τοῦ ἀνθρώπου οἱ πονηροὶ δαίμονες.*

καὶ ἐκ τῶν] [*Ἐπανέστησαν γὰρ τῷ Χριστῷ οἱ Ἰουδαῖοι, ὡς τῷ ἀνθρώπῳ οἱ δαίμονες.*]

3. ῥῦσαί με] *Τοῦ λαοῦ τῶν Ἰουδαίων, ὡς παράνομα καὶ ἀσεβῆ τολμώντων (τολμησάντων).*

καὶ ἐξ ἀνδρῶν] *Ὧν αἱ χεῖρες* [*αἵματος*] *πλήρεις* [*ἐκ*] *τῶν εἰδωλικῶν θυσιῶν,* [*ὡς*] *καὶ τὸ αἷμα τοῦ Χριστοῦ δι' αὐτῶν ἐκχυθὲν ἐν μέσῳ Ἱερουσαλήμ.*

4. ὅτι ἰδοὺ ἐθήρευσαν] *Ὡς θῆρες γὰρ ἄγριοι οἱ Ἰουδαῖοι ἐπετήρουν τὸν Χριστὸν τοῦ θανατῶσαι αὐτόν, ὡς ἐδόκουν.*

ἐπέθεντο] *Οἱ ἄρχοντες τοῦ λαοῦ*

καὶ ὁ Πιλᾶτος, ὡς κρατοῦντες ἐπετήρουν καὶ αὐτοὶ τὸν Χριστόν.

οὔτε ἡ ἀνομία] Οὔτε γὰρ ἥμαρτον εἰς αὐτούς, φησὶν ὁ κύριος, οὔτε παρηνώχλησα αὐτοῖς· αὐτοὺς δὲ τοὐναντίον εὐεργετῶν οὐκ ἐπαυσάμην.

5. ἄνευ ἀνομίας] Ὡς θεὸς δίχα πάσης λύπης καὶ βλάβης συνανεστράφην αὐτοῖς καὶ εὐθεῖαι αἱ ὁδοί μου, καθὼς γέγραπται.

ἐξεγέρθητι] Ἀναστὰς ἐκ νεκρῶν καὶ καταργήσας τὸν θάνατον καὶ ἐλευθερώσας τὸν ἄνθρωπον.

6. καὶ σύ, κύριε] Ὁ προφήτης προσευχόμενος βοᾷ πρὸς τὸν κύριον.

πρόσχες] Φησὶ τὰ ἔθνη· ἑαυτοῖς γὰρ κεκλήρωται τὰ μυστήρια τοῦ θεοῦ.

μὴ οἰκτειρήσῃς] Τὸν Ἰουδαϊκὸν λαόν· αὐτοὶ γὰρ ἐργάται ἀνομίας γεγόνασι. διὰ τοῦτο οὐκ εἰσὶν ἄξιοι οἰκτιρμῶν.

7. ἐπιστρέψουσιν] Οἱ Ἰουδαῖοι· μετὰ τὸ δεῖπνον γὰρ ἐπέβαλον τοῦ κρατῆσαι τὸν Χριστόν, πεινῶντες αὐτοῦ τὸν θάνατον, ὡς κύων ὅταν πεινᾷ καὶ θήραν ζητῇ· οὕτως τὴν πόλιν ὅλην περιέτρεχον, στάσιν κατὰ τοῦ κυρίου σωρεύοντες.

8. ἰδοὺ ἀποφθέγξονται] Δυσπιστοῦντες (δυσπετοῦντες) καὶ λαλοῦντες τὸ ψεῦδος.

καὶ ῥομφαία] Ὤξυναν γὰρ τὰ χείλη αὐτῶν καὶ τὰς γλώσσας κατ' αὐτοῦ, ὡς μαχαίρας διστόμους.

9. ὅτι τις ἤκουσεν;] Τίς γὰρ ἤκουσε ταῦτα; τίς ἑώρακεν ὡς τὰ παρὰ τῶν Ἰουδαίων τολμώμενα; τὸ δὲ ἐκγελάσῃ, ὅτι μάταια καὶ ἀνόνητα ἦν αὐτῶν τὰ σπουδαζόμενα.

ἐξουδενώσεις] Τὰ τῶν δαιμόνων φῦλα.

10. τὸ κράτος μου] Ὁ υἱὸς πρὸς τὸν πατέρα λέγει, τουτέστιν καὶ ἐπὶ τῆς γῆς ὤν, τῶν κόλπων τῶν σῶν οὐκ ἐχωρίσθην οὐδὲ τῆς σῆς δυνάμεως.

ὅτι θεός] Φωνὴ αὕτη τοῦ Ἀδὰμ καὶ τοῦ κατὰ θεὸν ζῶντος ἀνθρώπου.

11. ὁ θεός μου] Τὴν ἐκδίκησιν ἐπὶ τοῖς Ἰουδαίοις· ἐχθροὶ γὰρ τοῦ Χριστοῦ πρὸς ἀλήθειαν οὗτοι (αὐτοί).

12. μὴ ἀποκτείνῃς] Περὶ γὰρ αὐτῶν ὁ κύριος· μὴ στήσῃς αὐτῶν τὴν ἁμαρτίαν ταύτην· οὐ γὰρ οἴδασιν, τί ποιοῦσιν. πανταχοῦ γὰρ τὴν ἐπιστροφὴν αὐτῶν ἐξεδέχετο ὁ κύριος.

διασκόρπισον] Μετὰ γὰρ τὴν ἀνάστασιν ἐσκόρπισεν αὐτοὺς ὁ Χριστός, ὡς θεὸς παντοδύναμος, ἐπὶ πᾶν τὸ πρόσωπον τῆς γῆς.

καὶ κατάγαγε] Κατηνέχθησαν γὰρ ἀπὸ τοῦ θεοῦ καὶ ἀπὸ τῆς συγγενείας τῶν πατέρων καὶ προφητῶν.

13. ἁμαρτίαν] Καὶ στόματι γὰρ καὶ χείλεσι καὶ τῇ καρδίᾳ καὶ ὅλοις τοῖς μέλεσιν ἥμαρτον Ἰουδαῖοι τῷ θεῷ (Χριστῷ).

καὶ συνληφθήτωσαν] Εἴ τι γὰρ ἐξ ὑπερηφανίας [ἢ ἀλαζονείας] εἰργάσαντο, ἐν αὐτοῖς συνελήφθησαν, οἷον τῷ σταυρῷ καὶ τῷ τάφῳ.

καὶ ἐξ ἀρᾶς] Καὶ ἀρὰ γὰρ καὶ

ψεῦδος καταλήψεται αὐτοὺς ἐν τῇ συντελείᾳ, ⟨διὸ κατὰ Χριστοῦ ἐψεύσαντο⟩.

14. ἐν ὀργῇ συντελείας] Ἐν γὰρ τῇ συντελείᾳ οὐχ ὑπομενοῦσι τὴν ὀργὴν τοῦ θεοῦ.

καὶ γνώσονται] Τουτέστιν τότε γνώσονται ἐν τῇ συντελείᾳ, ὅτι ὁ Χριστὸς θεός ἐστι καὶ αὐτὸς δεσπόζει τοῦ λαοῦ καὶ τῶν περάτων τῆς γῆς καὶ πάσης κτίσεως.

Διάψαλμα· μεταβολὴ τῆς προφητείας.

15. ἐπιστρέψουσιν] Ἐλίμωσσον γὰρ οἱ Ἰουδαῖοι ἀπὸ πρωΐ ἕως ἑσπέρας, μήτε φαγῇ (φαγεῖν) εὐκαιροῦντες, σκεπτόμενοι τὸν θάνατον τοῦ σωτῆρος, καὶ ἐν νυκτὶ [μάλιστα] πᾶσαν τὴν πόλιν ὧδε κἀκεῖσε τρέχοντες καὶ ἀνασείοντες πάντας (πᾶσαν τὴν πόλιν) ⟨κατὰ τοῦ Χριστοῦ⟩.

16. αὐτοὶ διασκορπισθήσονται] Ἕκαστος γὰρ εἰς τὸν ἑαυτοῦ οἶκον ἀπῆλθον μεταλαβεῖν τροφῆς ⟨ὡς⟩ ἀπὸ κόπου πολλοῦ.

ἐὰν δὲ χορτασθῶσιν] Οὔτε γὰρ εἰς κόρον μετέλαβον, γογγύζοντες καὶ σπεύδοντες συλλαβεῖν τὸν κύριον.

17. ἐγὼ δὲ ᾄσομαι] Ὁ Χριστὸς πρὸς τὸν πατέρα· ἐδόξασα, φησί, καὶ πάλιν δοξάσω, ὅ ἐστιν ᾄσομαι.

καὶ ἀγαλλιάσομαι] Λέγει περὶ τῆς ἀναστάσεως· ὄρθρου γὰρ ἐγένετο.

ὅτι ἐγενήθης] Αὕτη ἡ φωνὴ τοῦ Ἀδάμ, ὡς σωθεὶς ἐκ τῆς πλάνης τῶν δαιμόνων.

καὶ καταφυγή] Τουτέστι περὶ τοῦ Ἀδάμ, ὅ ἐστι ὁ ἄνθρωπος, ἀνανήψας ἐκ τῆς πλάνης καὶ προσφυγὼν τῷ θεῷ.

18. βοηθός μου] Οὐκέτι γὰρ ὁ ἄνθρωπος καταπαύει σωθεὶς ἐν ψαλμοῖς καὶ ὕμνοις δοξάζων τὸν θεόν.

ὅτι ἀντιλήπτωρ] Αὐτὸς γάρ ἐστι καὶ τὸ ἔλεος καὶ ἡ ζωὴ τοῦ ἀνθρώπου.

LIX.

Εἰς τὸ τέλος· τοῖς ἀλλοιωθησομένοις . . .

2. ὁπότε . .] Περὶ τῆς ἐκπτώσεως τοῦ λαοῦ τῶν Ἰουδαίων ἐπὶ τέλει ἡ προφητεία σημαίνει, ὅτι ἐνεπυρίσθησαν ἐπαρθέντες κατὰ τοῦ θεοῦ.

3. ὁ θεός, ἀπώσω] Ὁ λαὸς ὁ ἑβραϊκὸς κράζει, θεωρήσας τὰ ἔθνη πιστεύσαντα ⟨πιστεύοντα⟩ καὶ εἰσερχόμενα, αὐτοὺς δὲ ἐκβαλλομένους.

ὠργίσθης] Πολλοὶ γὰρ ἐξ αὐτῶν πιστεύσαντες ἐσώθησαν.

4. συνέσεισας] Ὅταν ἐπὶ τοῦ σταυροῦ ἔπασχεν (ἔπαθεν) ὁ Χριστός, ἡ γῆ, μὴ φέρουσα [βλέπειν] τὴν τόλμαν τῶν Ἰουδαίων, ἐταράσσετο σειομένη τῷ φόβῳ.

ἴασαι] Κλονηθεῖσα γὰρ ἡ γῆ πάλιν ἐστερεώθη· ὡσαύτως δὲ καὶ ἡ νοητὴ γῆ, ὅ ἐστιν ὁ ἄνθρωπος ⟨ὁ

Ἀδάμ), συντριβεὶς ὑπὸ τῆς ἁμαρτίας, ⟨πάλιν⟩ ἀνεπλάσθη.

5. ἔδειξας] Τῷ ἰουδαϊκῷ λαῷ· σκληρὸν γὰρ ἐφάνη αὐτοῖς τῶν ἐθνῶν σωζομένων καὶ αὐτῶν πιπτόντων.

ἐπότισας] Τὸν τοῦ θυμοῦ, περὶ οὗ Ἠσαίας· οὐαὶ οἱ μεθύοντες ἄνευ οἴνου. ὡς γὰρ ἀπὸ πολλοῦ οἴνου, οὕτως ἐθερμάνθησαν οἱ Ἰουδαῖοι κατὰ τοῦ σωτῆρος.

6. ἔδωκας] Τῷ πιστῷ λαῷ τὸ (τοῦ) λέγεσθαι χριστιανοὺς καὶ φέρειν ἀεὶ τὸν σταυρὸν ἐπὶ τοῦ μετώπου. διὰ τοῦτο γὰρ ἐκφεύγομεν τὰ βέλη τοῦ πονηροῦ.

Διάψαλμα· ἐναλλαγὴ τῆς προφητείας (τοῦ λόγου).

7. ὅπως ἂν ῥυσθῶσιν] Οἱ δίκαιοι, ἔχοντες ἀεὶ τὴν σφραγῖδα ἐπὶ τοῦ μετώπου, καὶ πάντες οἱ πιστοὶ διασώζονται ἀπὸ παντὸς κακοῦ.

σῶσον τῇ δεξιᾷ] Δεξιὰ τοῦ πατρὸς ὁ υἱός, δι' οὗ ἐσώθη τὸ γένος τὸ ἀνθρώπινον.

8. ὁ θεὸς ἐλαλήσατο] Ὁ πατὴρ ἐν τῷ υἱῷ, ⟨ὁ υἱὸς ἐν τῷ πατρί⟩.

ἀγαλλιάσομαι] Σίκιμα ἑρμηνεύεται ὠμίασις, τοὺς δὲ ὤμους τῶν δαιμόνων τῶν δυνατῶν διεμέρισεν ὁ κύριος, τουτέστιν ἐδίχασεν, ὥστε μὴ δυνατεύειν κατὰ τοῦ ἀνθρώπου.

καὶ τὴν κοιλάδα] Λέγει τὴν κοιλάδα τοῦ κλαυθμῶνος, ὡς ἐν αὐτῇ μέλλων κατασκηνοῦν ὁ κύριος πάντα τὰ ἔθνη. τὸ δὲ διαμετρήσω, ὡς ἐν αὐτῇ μέλλων διαμετρεῖν [καὶ κανονίζειν] τὰ ἔργα πάντων (τῶν ἀνθρώπων).

9. ἐμός ἐστιν] Γαλαὰδ ἑρμηνεύεται μετοικία μαρτυρίας· Μανασσὴς δὲ ἀνθιστάμενος. τὸ δὲ εἰπεῖν ὅτι ἐμός ἐστιν, ὅτι ἡ μετοικία τοῦ Χριστοῦ, τουτέστιν τοῦ ἀναστάντος ἐκ νεκρῶν, μαρτύριον ἐγένετο πάσης τῆς κτίσεως. μετῴκησαν γὰρ [πάλιν] εἰς τὰ πατρῷα.

καὶ Ἐφράιμ] Ἐφράιμ καρποφορία ἑρμηνεύεται. ὁ γὰρ καρπὸς τοῦ πνεύματος κραταίωσίς ἐστι τοῦ χριστιανισμοῦ, ὅ ἐστι κεφαλὴ τοῦ Χριστοῦ.

Ἰούδας] Οἱ ἐξομολογούμενοι δέξονται τὴν βασιλείαν τοῦ θεοῦ· Ἰούδας γὰρ ἐξομολόγησις ἑρμηνεύεται.

10. Μωὰβ λέβης] Μοὰβ πατὴρ ἑρμηνεύεται· λέβης δὲ σκεῦός ἐστιν, ἐν ᾧ ὕδωρ κρατεῖται. λέγει οὖν τὸ βάπτισμα, ὡς καὶ τῷ υἱῷ ἡ φωνὴ τοῦ πατρὸς ἐδόθη βαπτιζομένῳ. ἐλπίς, ὡς διὰ τὸν ἄνθρωπον.

ἐπὶ τὴν Ἰδουμαίαν] Ἰδουμαία ἑρμηνεύεται ἐκλείπουσα, δῆλον ὅτι ἐκλείποντος τοῦ ἀνθρώπου ἐπεδήμησε τῇ γῇ ὁ Χριστός, ἵνα σώσῃ τὸ γένος τὸ ἀνθρώπινον.

ἐμοὶ ἀλλόφυλοι] Τὰ ἔθνη ὡς πατούμενα ὑπὸ τῶν δαιμόνων ὑπετάγησαν τῇ πίστει. ἀλλόφυλοι γὰρ πατούμενοι ἑρμηνεύονται.

11. τίς ἀπάξει] Τὴν νέαν Ἱερουσαλὴμ αἰνίττεται, ἥτις λέγεται πόλις τοῦ μεγάλου βασιλέως.

τίς ὁδηγήσει] *Τουτέστιν τίς ἐποίησεν ἐπιδημῆσαι τῇ γῇ ὡς ἐκλειπούσῃ τὸν λόγον, εἰ μὴ ὁ πατήρ; Ἰδουμαία γὰρ ἐκλείπουσα ἑρμηνεύεται.*

12. οὐχὶ σύ, ὁ θεός] *Τὰ ἔθνη φησὶ τῷ θεῷ· [ἀπώσω ἡμᾶς] διὰ τὴν εἰδωλολατρείαν, ἀλλὰ πιστεύσαντες ἐσώθημεν.*

καὶ οὐχὶ ἐξελεύσῃ] *Οὔτε γὰρ ἡμετέρᾳ δυνάμει ἢ δικαιοσύνῃ ἐξελέξω ἡμᾶς, φησὶ τὰ ἔθνη, ἀλλ' ὡς θεὸς χάριτι ἔσωσας ἡμᾶς.*

13. δὸς ἡμῖν] *Κράζουσι τὰ ἔθνη, ὅπως ἂν ῥυσθῶσιν τῆς εἰδωλικῆς μανίας.*

καὶ ματαία] *Οὔτε γὰρ οἱ προφῆται οὔτε πατριάρχαι ἠδυνήθησαν σῶσαι τὸν ἄνθρωπον, ἀλλ' ὁ θεὸς λόγος ἐπιδημήσας ἔσωσεν.*

14. ἐν δὲ τῷ θεῷ] *Τὰ ἔθνη, ἐπιδεικνύμενα τὴν πίστιν, ἐξουδενοῦσι τοὺς δαίμονας· αὐτοὶ γὰρ θλίβουσιν ἀεὶ τὸν ἄνθρωπον.*

LX.

Εἰς τὸ τέλος· ἐν ὕμνοις τῷ Δαυίδ] *Περὶ τοῦ νέου ὕμνου, ᾀδομένου τῷ Χριστῷ, ἡ προφητεία δηλοῖ ἐπὶ τέλει τῶν αἰώνων.*

2. Εἰσάκουσον] *Ὁ προφήτης (ἡ προφητεία) ἐκ προσώπου τοῦ Ἀδὰμ κράζει πρὸς τὸν θεόν.*

3. ἀπὸ τῶν περάτων] *Ἦν γὰρ ὁ Ἀδὰμ ἐρριμμένος (ῥεριμμένος) ἐν τῇ γῇ διὰ τὴν παράβασιν, εἰς τὸ γήϊνον φρόνημα καταπεσὼν καὶ κράζων.*

ἐν τῷ ἀκηδιάσαι] *Ἐν γὰρ τῷ εἰς ἀπόγνωσιν ἐλθεῖν τὸν ἄνθρωπον, ἀναλαβὼν τοῦτον ὁ σωτὴρ ὕψωσεν ἐν τῇ πέτρᾳ τοῦ Γολγοθᾶ ἐπὶ τοῦ σταυροῦ.*

4. ὡδήγησάς με] *Τῇ ὁδῷ τοῦ εὐαγγελίου ἐπιστήσας ⟨τὸν ἄνθρωπον⟩.*

πύργος ἰσχύος] *Ἔδωκε γὰρ τῷ ἀνθρώπῳ τὴν ἐκκλησίαν πύργον σωτηρίας, ἐν ᾧ ἐχθρὸς ἀντειπεῖν οὐ δύναται.*

5. παροικήσω] *Ἐν τῇ ἐκκλησίᾳ ὁ ἄνθρωπος καὶ ἐν τῇ σαρκὶ τῇ δεσποτικῇ κατοικῶν [ἐν] τῇ πίστει.*

σκεπασθήσομαι] *Πτέρυγες θεοῦ δικαιοσύνη καὶ ἀλήθεια· ἐν τούτοις δὲ σκέπεται ὁ ἄνθρωπος ὁ πιστός.*

Διάψαλμα· διάστασις τοῦ λόγου.

6. ὅτι σύ, ὁ θεός] *Τοῦ κατὰ θεὸν πιστοῦ ἀνθρώπου ἀεὶ ὁ θεὸς ὑπακούει.*

ἔδωκας] *Ὥστε κληρονομεῖν τὴν βασιλείαν τοῦ θεοῦ καὶ λέγεσθαι ἐπὶ γῆς χριστιανούς.*

7. ἡμέρας ἐφ' ἡμέρας] *Ἡμέραν γὰρ ἐξ ἡμέρας καὶ ἕως τοῦ αἰῶνος τὰ ἔτη τοῦ Χριστοῦ ὡς βασιλέως οὐκ ἐκλείψουσιν.*

ἕως ἡμέρας] *Εἰς τὰς γενεὰς ⟨ἡμέ-*

ρας) γὰρ τῶν αἰώνων ὁ Χριστὸς διαμένει.

8. διαμενεῖ] Ὁ υἱὸς ἐνώπιον τοῦ πατρὸς ὡς ἀχώριστος.

ἔλεος καὶ ἀλήθειαν] Ἀνελλιπὴς γὰρ ὁ υἱὸς ὡς θεὸς καὶ τοῦ ἐλέους καὶ τῆς ἀληθείας.

9. οὕτως ψαλῶ] Οὕτως καὶ οὐκ ἄλλως δοξολογῶν ὁ ἄνθρωπος οὐ παύεται εἰς τὸν αἰῶνα

τοῦ ἀποδοῦναι] Οἱ πιστοὶ γὰρ οὐ παύονται λοιπὸν ἡμέραν ἐξ ἡμέρας ἐπιτελοῦντες τὰ μυστικά.

LXI.

Εἰς τὸ τέλος· ὑπὲρ Ἰδιθούμ ψαλμὸς τῷ Δαυίδ] Ὑπὲρ τοῦ ἀνθρώπου, τοῦ ἠπατημένου· Ἰδιθοὺμ γὰρ ἀπάτη ἑρμηνεύεται. ὑπὲρ τούτου ὁ προφήτης τὸν ψαλμὸν ἔγραψεν.

2. Οὐχὶ τῷ θεῷ] Ὁ ἄνθρωπός φησι πρὸς τοὺς δαίμονας· ἀποχωρεῖτε ἀπ' ἐμοῦ, τῷ γὰρ θεῷ ὑπετάγην.

παρ' αὐτοῦ] Αὐτὸς γὰρ ἐλθὼν ἔσωσέ με ⟨ἀπὸ τῶν δαιμόνων⟩.

3. καὶ γὰρ αὐτός] Ὁ Χριστὸς τοῦ ἀνθρώπου, σωθεὶς ὑπ' αὐτοῦ ⟨Ὁ ἄνθρωπος πρὸς τὸν Χριστόν, ὅτι ἐσώθη ὑπ' αὐτοῦ⟩.

ἀντιλήπτωρ] Ἀφ' οὗ γὰρ ὁ Χριστός, ἐλθὼν ἐπὶ τῆς γῆς, ἀνέλαβε τὸν ἄνθρωπον, οὐκέτι ὑποπίπτει τῇ πλάνῃ.

4. ἕως πότε] Πρὸς τοὺς δαίμονας ὁ λόγος, ἐπιτιμῶν αὐτοῖς τὸ πνεῦμα τὸ ἅγον· ἀλλὰ καὶ πρὸς Ἰουδαίους, ἐπιτιθεμένους ἐπὶ κύριον (κατὰ τοῦ κυρίου).

ὡς τοίχῳ] Ὡς εὐτελεῖ ἀνθρώπῳ καὶ μὴ ἔχοντι ἀντίληψιν, οὕτως προσεῖχον (προσέσχον) τῷ Χριστῷ οἱ Ἰουδαῖοι.

5. πλὴν τὴν τιμήν] Ἐμίσουν γὰρ οἱ Ἰουδαῖοι ἀκούειν τὸν Χριστὸν θεὸν καὶ διὰ τοῦτο ἐπολέμουν αὐτῷ ⟨καὶ τὴν τιμὴν ἐβουλεύοντο⟩, διψῶντες τὸν θάνατον αὐτοῦ.

τῷ στόματι αὐτῶν] Ἀεὶ γὰρ εἰρηνικὰ ἐλάλουν μετὰ τοῦ Χριστοῦ οἱ Ἰουδαῖοι, τῇ δὲ καρδίᾳ ἐλογίζοντο κατ' αὐτοῦ κακά.

Διάψαλμα· ἀνοχὴ τοῦ πνεύματος.

6. πλὴν τῷ θεῷ] Ὁ κατὰ θεὸν ἄνθρωπος λέγει πρὸς αὐτόν.

ὅτι παρ' αὐτοῦ] Ὁ θεός ἐστιν ὁ διδοὺς ὑπομονὴν τοῖς ἐλπίζουσιν ἐπ' αὐτόν.

7. ὅτι αὐτὸς θεός] Τοῦ πιστοῦ ἀνθρώπου ὁ θεὸς σωτὴρ κατὰ πάντα καὶ ἐν πᾶσιν ὑπάρχει.

ἀντιλήπτωρ μου] Οὐκέτι γὰρ ὁ ἄνθρωπος μετανάστης ἀπὸ θεοῦ γενήσεται, ἀφ' οὗπερ ἀνέλαβεν αὐτὸν ὁ Χριστός.

8. ἐπὶ τῷ θεῷ] Τοῦ πιστοῦ ἀνθρώπου καὶ κατὰ θεὸν ζῶντος ἡ σωτηρία καὶ ἡ δόξα ὁ θεὸς ὑπάρχει.

ὁ θεὸς τῆς βοηθείας] *Οὕτως χρὴ πάντα ἄνθρωπον λέγειν, τὸν φοβούμενον τὸν θεὸν καὶ ἐλπίζοντα ἐπ' αὐτόν.*

9. *ἐλπίσατε ἐπ' αὐτόν*] *Τουτέστιν μετὰ τὴν παρουσίαν τοῦ Χριστοῦ· ⟨ἀπὸ⟩ τότε γὰρ ἤλπισεν ἐπὶ τὸν θεὸν πᾶσα πνοή.*

ἐκχέετε] *Οὔτε γὰρ χρεία ἑαυτῷ ἐπιτρέπειν ἢ πεποιθέναι τὸν ἄνθρωπον, ἀλλὰ τῷ θεῷ ἑαυτὸν ἀνατιθέναι καὶ τὰ τῆς καρδίας ἀνακαλύπτειν.*

ὁ θεὸς βοηθός] *Δῆλον τῶν φοβουμένων αὐτόν.*[1]

Διάψαλμα· μεταβολὴ τοῦ λόγου.

10. *πλὴν μάταιοι*] *Πάντες ὅσοι κατ' ἄνθρωπον περιπατοῦσι καὶ μὴ τῷ θεῷ πεποιθότες ὡσεὶ (ὡς) μάταιοί εἰσιν.*

ψευδεῖς οἱ υἱοί] *Ὅσοι στάθμια καὶ μέτρα δισσὰ κέκτηνται τοῦ ἀδικεῖν τὸν πλησίον· εἰσὶν δὲ οὗτοι ἅρπαγες καὶ πλεονέκται, οἷς ὁ θεὸς ἀντίκειται.*

11. *μὴ ἐλπίζετε*] *Ὅσοι ἐξ ἁρπαγῆς τὸν πλοῦτον ἀθροίζουσιν (ἁρπάζουσιν)· ὁ γὰρ τοιοῦτος πλοῦτος μάταιος, οὐ μένει γάρ.*

καὶ ἐπὶ ἁρπάγματα] *Οἱ ἐξ ἀλλοτρίων καὶ ἐκ πλεονεξίας (πλεονεξιῶν) πλουτοῦντες, μὴ ἑαυτοῖς πεποίθατε· ἔκδικος γὰρ πάντων ὁ θεός (κύριος).*

πλοῦτος ἐὰν ῥέῃ] *Ὅτι οὐ χρή, φησί, πεποιθέναι ἐπὶ πλούτου ἀδηλότητι· ἀφίπταται γὰρ θᾶττον πτεροῦ δίκην καὶ οἱ προστιθέμενοι αὐτῷ κεναῖς χερσὶν ἀπέρχονται ἐκεῖ.*

12. *ἅπαξ ἐλάλησεν*] *Ἅπαξ ἐλάλησεν ὁ θεὸς διὰ τῶν προφητῶν, δεύτερον ⟨δὲ⟩ διὰ τῶν ἀποστόλων ἠκούσαμεν.*

13. *ὅτι τὸ κράτος — τὸ ἔλεος*] *Τουτέστιν τὸ κράτος ἡ δύναμις τοῦ πατρὸς [ὁ Χριστός]· τὸ ἔλεος ⟨δέ⟩, ὡς ἐν τῷ πατρὶ ὢν καὶ ὁ πατὴρ ἐν αὐτῷ, δι' οὗ (δι' αὐτοῦ) ἐλέησε τὰ σύμπαντα.*

ὅτι σὺ ἀποδώσεις] *Ὁ Χριστὸς ὡς κριτὴς δίκαιος.*

LXII.

Ψαλμὸς τῷ Δαυὶδ ἐν τῷ εἶναι — τῆς Ἰδουμαίας] *Ἔρημος καὶ ἐκλείπουσα ἡ ἐκκλησία, ὑπὲρ αὐτῆς οὖν ἡ προφητεία ἐγράφθη. Ἰδουμαία γὰρ ἐκλείπουσα ἑρμηνεύεται.*

2. *ὁ θεὸς ὁ θεός μου*] *Ἡ ἐκκλησία ἐκέκραγε πρὸς τὸν θεόν· πρὸς σὲ καταφεύγω ἐν τῷ καιρῷ τῆς ἀναστάσεως· ὄρθρου γὰρ ἡ ἀνάστασις ⟨ἐγένετο⟩.*

ἐδίψησεν] *Ἐδίψα γὰρ ἡ ἐκκλησία τὸν θεόν, φλεγομένη ταῖς θυσίαις τῶν εἰδώλων· οὐκ ἦν γὰρ ἐν αὐτῇ οὔπω τὸ ὕδωρ τοῦ βαπτίσματος,*

[1] V. add.: *ἐστιν βοηθὸς ὁ Χριστός.*

ὥστε πληθύνεσθαι τὸ σῶμα τῆς ἐκκλησίας.

ἐν γῇ ἐρήμῳ] *Ἔρημος γὰρ ἦν ἐκκλησία, μὴ πατουμένη τοῖς ποσὶ τοῦ Χριστοῦ· ἄνυδρος δέ, οὐδέπω γὰρ*[1] *εἶχε τὴν πηγήν, τὴν ἐκ τῆς πλευρᾶς τοῦ Χριστοῦ ἐξελθοῦσαν.*

3. *οὕτως ἐν τῷ ἁγίῳ*] *Οὕτως γὰρ ὤφθη ἡ ἐκκλησία τῷ Χριστῷ, διὸ σπλαγχνισθεὶς ἤγειρεν αὐτήν.*

τοῦ ἰδεῖν] *Ἰδοῦσα γὰρ ἡ ἐκκλησία τὸν Χριστόν, ἐπλήσθη δυνάμεως καὶ δόξης.*

4. *ὅτι κρεῖσσον*] *Ὑπὲρ τὴν ζωὴν τοῦ βίου κρεῖσσον τὸ ἔλεος τοῦ θεοῦ, τότε φησὶν τῇ ἐκκλησίᾳ.*

τὰ χείλη] *Χείλη τῆς ἐκκλησίας ὁ λαός· ἐν αὐτῇ γὰρ δοξολογῶν τὸν θεὸν ὁ ἄνθρωπος οὐ παύεται.*

5. *οὕτως εὐλογήσω*] *Οὕτως* [*ἡ εὐλόγησις*]. *πῶς; ὡς ἐδιδάχθη παρὰ Χριστοῦ ὁ ἄνθρωπος.*

ἐν τῷ ὀνόματι] *Οὕτως γὰρ καὶ ὁ Παῦλος ἐδίδαξεν· αἴροντες ὁσίως (ὁσίους) χεῖρας αὐτῶν ἐν παντὶ τόπῳ.*

6. *ὡσεὶ στέατος*] *Στέαρ ἐστὶ τὸ σῶμα τοῦ Χριστοῦ καὶ πιότης τὸ αἷμα Χριστοῦ· ἐκ τούτων χορτάζεται ὁ πιστὸς ἄνθρωπος* ⟨*πᾶς ἄνθρωπος*⟩.

καὶ χείλη] *Τῶν χειλῶν γὰρ ἀνοιγομένων μετὰ χαρᾶς τὸ στόμα δοξάζεται τοῦ ἀνθρώπου,* [*τὸ*] *δεχόμενον τὰ μυστήρια τοῦ Χριστοῦ.*

7. *εἰ ἐμνημόνευόν σου*] *Στρωμνὴ ὁ τάφος τοῦ Χριστοῦ· ὄρθρου γὰρ ἡ ἀνάστασις. ὁ ταῦτα ἀεὶ μνημονεύων (μελετῶν) ἀληθῶς ἔχει ἐλπίδα.*

8. *ὅτι ἐγενήθης*] *Οὕτως γὰρ βοηθοῦνται οἱ πιστοί.*

καὶ ἐν τῇ σκέπῃ] *Ἐν γὰρ τῷ κυριακῷ ἀνθρώπῳ οἱ πιστοὶ τὴν ἀγαλλίασιν ἔχουσιν· πτέρυγες γὰρ τοῦ Χριστοῦ (θεοῦ) ἡ σὰρξ ἡ δεσποτική.*

9. *ἐκολλήθη ἡ ψυχή*] *Αἱ ψυχαὶ τῶν ἁγίων ἀκολουθοῦσαι τῷ Χριστῷ.*

ἐμοῦ ἀντελάβετο] *Ἡ δεξιὰ τοῦ Χριστοῦ, ἐπιλαβομένη τοῦ ἀπολλυμένου (ἐνδόξου) ἀνθρώπου.*

10. *αὐτοὶ δὲ εἰς μάτην*] *Οἱ δαίμονες τοῦ Ἀδὰμ μάτην ἐζήτησαν τὴν ψυχήν* ⟨*ἀναλαβόντες μάτην, ὁ Χριστὸς πάλιν ἐξήγαγε*⟩.

εἰσελεύσονται] *Οἱ δαίμονες, οἱ θλίψαντες τὸν ἄνθρωπον εἰς τὴν ἄβυσσον τὴν κατωτάτην.*

11. *παραδοθήσονται*] *Τουτέστιν εἰς τὰς χεῖρας τῆς γεέννης* ⟨*ἡ ῥομφαία τοῦ πυρὸς γέεννα ἑρμηνεύεται*⟩.

μερίδες] *Εὐτελεῖ καὶ ἀκαθάρτῳ ζώῳ οἱ τὰ τοιαῦτα φρυαττόμενοι δαίμονες ἀπεικάσθησαν.*

12. *ὁ δὲ βασιλεύς*] *Ὁ υἱὸς ἐν τῷ πατρὶ* ⟨*εὐφράνθη*⟩.

ἐπαινεσθήσεται] *Ἔπαινον ἕξει ἀπὸ θεοῦ πᾶς ὁ μνημονεύων τοῦ*

---

[1] V. continuat sic: *εἶχε τὴν γῆν τῆς ἐπαγγελίας, ἣν ὁ κύριος ἐδωρήσατο τοῖς πιστεύουσιν εἰς αὐτόν· οὐ γὰρ εἶχον ὁλοκλήρως τὴν πηγήν, τὴν ἐκ τῆς πλευρᾶς τοῦ Χριστοῦ ἐξελθοῦσαν.*

θεοῦ (Χριστοῦ) καὶ ἐπ' αὐτῷ σεμνυνόμενος ⟨Ἔπαινον ἔχων ἀπὸ θεοῦ καὶ ἐπ' αὐτῷ σεμνυνόμενος πᾶς ἄνθρωπος⟩.

ὅτι ἐνεφράγη] Τῶν βλασφήμων, τῶν ἐπιορκητῶν (ἐπιόρκων), τῶν γοήτων· ἐνεφράγησαν γὰρ τῇ ἀναστάσει (παρουσίᾳ) τοῦ Χριστοῦ. εἰ γὰρ καὶ ἐπιλανθάνουσιν, ἀλλὰ παρρησίαν οὐκ ἔχουσι. νόει δὲ καὶ Ἰουδαίους, οἵτινες ἀδικίαν κατὰ τοῦ Χριστοῦ (Θεοῦ) ἐλάλησαν.

LXIII.

Εἰς τὸ τέλος· ψαλμὸς τῷ Δαυίδ] Περὶ τῶν ἐπὶ τέλει μυστηρίων ἐφανερώθη τῷ προφήτῃ.

2. Εἰσάκουσον] Αὕτη φωνὴ τοῦ Ἀδάμ.

ἀπὸ φόβου] Ἀπὸ τοῦ διαβόλου, φησίν· ἐχθρὸς γὰρ μέγας ἐπερχόμενος τῷ ἀνθρώπῳ ἀεὶ καὶ φοβῶν αὐτόν.

3. ἐσκέπασάς με] Αὕτη φωνὴ τοῦ Χριστοῦ, ὡς ἐκ προσώπου τοῦ ἀνθρώπου. συνεστράφησαν γὰρ οἱ Ἰουδαῖοι κατὰ τοῦ Χριστοῦ, ὡς κατὰ τοῦ ἀνθρώπου (Ἀδὰμ) οἱ δαίμονες.

ἀπὸ πλήθους] Τοῦ ἰουδαϊκοῦ λαοῦ· ἀδικίαν λογισάμενοι κατὰ τοῦ Χριστοῦ καὶ θεοῦ.

4. οἵτινες ἠκόνησαν] Κατὰ τοῦ Χριστοῦ [καὶ θεοῦ] ἐχάλασαν γὰρ τὰς γλώσσας αὐτῶν οἱ Ἰουδαῖοι, φλεγόμενοι τῷ φθονῷ.

Ἐνέτειναν] Τὴν γλῶσσαν ὁπλίσαντες, δι' ἧς οἱ λόγοι ὡς βέλη πέμπονται πεπικρασμένοι (πεπικρασμένα).

5. τοῦ κατατοξεῦσαι] Τὸν Χριστὸν πρὸς ἀλήθειαν ἄμωμον· ἐν παραβύστῳ γὰρ [ἀεὶ] ἐβουλεύοντο κατ' αὐτοῦ θανατῶσαι αὐτόν.

ἐξάπινα] Ὡς ἐδόκουν γὰρ οἱ Ἰουδαῖοι, αἰφνιδίως συνέλαβον τὸν Χριστόν, ὁ δὲ ἦν δίχα φόβου ὡς θεός.

6. ἐκραταίωσαν] Εἰπόντες· δήσομεν τὸν δίκαιον (ἰσχυρόν), ὅτι δύσχρηστος ἡμῖν ἐστιν.

διηγήσαντο] Ἀλλήλοις γὰρ διηγοῦντο οἱ Ἰουδαῖοι περὶ τοῦ Χριστοῦ, τουτέστιν ἀλλήλους ἐδίδασκον τὸ πῶς αὐτὸν παγιδεύσωσιν.

εἶπαν] Οὔτε γὰρ ἐνεθυμήθησαν, ὅτι ἐστὶ θεὸς ὁ καθορῶν [αὐτούς].

7. ἐξηρεύνησαν] Ἐν ᾧ γὰρ ἐξηρεύνων, τί πράξουσι κατὰ τοῦ Χριστοῦ, ἐξέλιπον αὐτῶν αἱ ἐνθυμήσεις ματαιωθεῖσαι.

προσελεύσεται] Ἄνθρωπος ὁ Χριστός, περὶ οὗ γέγραπται· καὶ βαθεῖα ἡ καρδία αὐτοῦ· θεὸν γὰρ καταλαβεῖν ἀδύνατον.

8. καὶ ὑψωθήσεται] Ἐπὶ τοῦ σταυροῦ ⟨ὁ Χριστὸς ὑψωθείς⟩.

βέλος νηπίων] Ἄγονοι παντελῶς καὶ ἀνίσχυροι αἱ τῶν Ἰουδαίων πληγαί· θεοῦ γὰρ κατατολμᾶν ἀνέφικτόν ἐστι καὶ παντελῶς ἀδύνατον.

9. καὶ ἐξουθένησαν] Οὔτε γὰρ ἴσχυσαν κατὰ τοῦ Χριστοῦ τι ἀληθὲς εἰπεῖν· ἐματαιώθησαν γὰρ οἱ λογισμοὶ αὐτῶν.

ἐταράχθησαν] Πάντα τὰ ἔθνη, θεωρήσαντα τὴν τόλμαν τῶν Ἰουδαίων, φόβῳ συνεσχέθησαν.

10. καὶ ἐφοβήθη] Θαυμάζοντες τὴν μακροθυμίαν τοῦ θεοῦ· ἐφ' οἷς ἐμακροθύμησε τοῖς Ἰουδαίοις, τοιαῦτα τολμήσασι κατὰ τοῦ Χριστοῦ.

καὶ ἀνήγγειλαν] Ἐνόησαν τουτέστιν τὴν δύναμιν τοῦ θεοῦ ⟨Χριστοῦ⟩.

11. εὐφρανθήσεται] Εὐφραίνονται γὰρ οἱ ἅγιοι (δίκαιοι), ὁρῶντες τὸν κύριον, τῇ ἐλπίδι τῶν ἀμοιβῶν.

καὶ ἐπαινεσθήσονται] Τὸν ἔπαινον ἀπὸ τοῦ θεοῦ λαμβάνοντες τότε.

LXIV.

Εἰς τὸ τέλος· ψαλμὸς τῷ Δαυὶδ ᾠδῆς Ἱερεμίου καὶ Ἰεζεκιὴλ καὶ τοῦ λαοῦ τῆς παροικίας] Ὅτε ἔμελλον πορεύεσθαι, τὴν ἐπὶ τέλει μέλλουσαν ᾠδὴν προσφέρεσθαι τῷ Χριστῷ. Δαυὶδ γὰρ ὁ Χριστὸς ἑρμηνεύεται, καθὰ μηνύει τὸ πνεῦμα τῇ προφητείᾳ.

2. σοὶ πρέπει ὕμνος] Ἐν τῇ ἐκκλησίᾳ, ὅ ἐστιν Σιών· ἑρμηνεύεται δὲ Σιὼν σκοπεύτρια, ἐν αὐτῇ δὲ ἐπίσκοπος (ἐπισκοπεῖ) ὁ κύριος διὰ τοῦ σώματος καὶ τοῦ αἵματος αὐτοῦ. ἐκεῖ γὰρ δέχεται πάντων τὸν ὕμνον.

καὶ σοὶ ἀποδοθήσεται] Ἐν τῇ ἐκκλησίᾳ ὁμοίως· Ἱερουσαλὴμ γὰρ ἑρμηνεύεται ὅρασις εἰρήνης· ἐν τῇ ἐκκλησίᾳ δέ ἐστιν ἡ εἰρήνη τῶν πάντων.

3. εἰσάκουσον] Πρὸς τὴν ἐκκλησίαν ὁ λόγος· πρὸς αὐτὴν γὰρ πᾶσα σὰρξ ἔρχεται ἐξομολογουμένη.

4. λόγοι ἀνόμων] Οἱ τῶν δαιμόνων καὶ οἱ τῶν ἀσεβῶν ἀνθρώπων· μεγαλορρημονοῦντες (μεγαλορρημονούντων) καὶ ὀνειδίζοντες (ὀνειδιζόντων) τοῖς πιστοῖς καὶ ἐκλύοντες (ἐκλυόντων) τοὺς πλείονας [πεπιστευκότας].

καὶ τὰς ἀσεβείας] Πλασμὸν[1] αἰτοῦντες ζητοῦσι παρὰ θεοῦ.

5. μακάριος] Περὶ τοῦ λαοῦ τοῦ ἐξ ἐθνῶν ὁ λόγος, ὡς ἐκλεχθεὶς ὑπὸ θεοῦ καὶ προσδεχθεὶς τῇ πίστει (φύσει).

κατασκηνώσει] Ἐν ταῖς ἐκκλησίαις τὰ ἔθνη συναθροιζόμενα κατασκηνοῦσι τῇ πίστει.

πλησθησόμεθα] Τὰ ἔθνη εὐχαριστοῦσι (εὐχαριστοῦντες) τῷ θεῷ, ἀπολαύοντα ἐν τῇ ἐκκλησίᾳ τῶν μυστηρίων.

6. ἅγιος ὁ ναός] Ναὸν λέγει τὸ σῶμα τὸ δεσποτικόν, ἐν ᾧ κατῴκησεν ἡ θεότης· αὐτὸς γὰρ πρὸς ἀλήθειαν ἅγιος ναὸς καὶ θαυμαστός.

---

[1] Ven. praecedit: οἱ τῆς ῥαθυμίας ἐκλυόμενοι.

ἐπάκουσον] Οἱ πιστοὶ ταῦτα κραυγάζουσι (κράζουσι) τῷ Χριστῷ.

ἡ ἐλπίς] Πρὸς σὲ γὰρ καὶ γεωργῶν παῖδες καὶ ναυτῶν κεκράγασιν· ἑκατέρων γὰρ ἐλπὶς καὶ βοήθεια ὁ Χριστὸς ὑπάρχει.

7. ἑτοιμάζων] Τὴν Βηθλεέμ, τὸν Σιών, τὸν Γολγοθᾶν, τὸ ὄρος τῶν Ἐλαιῶν καὶ τὸ Σινά· ταῦτα[1] γὰρ ὡς θεὸς δυνατὸς προητοίμασεν εἰς διακονίαν τῶν μυστηρίων, τῶν πραχθέντων ἐν αὐτοῖς. λέγει δὲ ὄρη καὶ τοὺς προφήτας καὶ τὴν θεοτόκον καὶ τὴν πίστιν.

8. ὁ συνταράσσων] Τὴν περιοχὴν λέγει τῆς βιωτικῆς θαλάσσης· ἐτάραξε γὰρ αὐτὴν τοῖς θαύμασι καὶ μετήγαγε τῇ πίστει. λέγει δὲ καὶ τὸ βάπτισμα θάλασσαν.

ἤχους κυμάτων] Κυματουμένην (κυματουμένη) τῇ πίστει καὶ ἠχοῦσαν τοῖς ὕμνοις (ὑμνοῦσα τῇ πίστει)· ἅπασα γὰρ πεπλήρωται τῶν πιστῶν καὶ τοῦ βαπτίσματος.

9. ταραχθήσονται] Ἀπὸ τῶν σημείων τοῦ Χριστοῦ φόβῳ συνεταράχθησαν (συνεχόμενα) τὰ ἔθνη, συσχεθέντα (ταράσσονται) πρὸς μετάνοιαν (μετάθεσιν).

οἱ κατοικοῦντες] Εἰς πάντα γὰρ τὰ πέρατα ἀφῖκται ἡ δόξα τῶν σημείων τοῦ Χριστοῦ καὶ τὰ θαύματα.

ἐξόδους] Ἑσπέραν (ἑσπέρας) λέγει τὸ πάθος τοῦ Χριστοῦ, πρωίαν (πρωίας) δὲ τὴν ἀνάστασιν. τέρψεις δέ, ὅτι ἡ δόξα τούτων καὶ σωτηρία τὸν οὐρανὸν καὶ τὴν γῆν πεπλήρωκεν.

10. ἐπεσκέψω] Διὰ τῆς ἀναστάσεως ἐπλήρωσας τὴν γῆν τῆς χαρᾶς (τῇ χαρᾷ).

ἐπλήθυνας] Τουτέστιν ἐν πλήθει οἰκτιρμῶν ἐπλούτισας πᾶσαν τὴν γῆν τῇ χάριτι.

ὁ ποταμὸς τοῦ θεοῦ] Τὸ βάπτισμα λέγει, ὡς ποταμὸς γὰρ ἐπικλύζει τὴν ἁμαρτίαν.

ἡτοίμασας] Ἡτοίμασε γὰρ τοῖς βαπτιζομένοις τροφὴν τὸ σῶμα τὸ ἴδιον καὶ [πόμα] τὸ αἷμα αὐτοῦ, ὅτι οὕτως προεβουλεύσατο.

11. τοὺς αὔλακας] Τῆς γῆς τῆς νοητῆς, ἥτις ἐστὶν ὁ ἄνθρωπος· αὔλακες δέ εἰσιν ἡ καρδία, ὁ νοῦς, ἡ ψυχή, ὡς ἀροτριασθέντες τῷ σταυρῷ. μεθυσθήσονται δέ, τουτέστιν πληρωθήσονται τῆς χάριτος διὰ τῶν μυστηρίων (μυστικῶν), ἵνα καρπὸν φέρωσι, τὸν τοῦ πνεύματος τοῦ ἁγίου.

ἐν ταῖς σταγόσιν] Καὶ ἡ αἰσθητὴ γῆ, τοῖς ὑετοῖς βλαστάνουσα, καὶ ἡ νοητή, ἥτις ἐστὶν ὁ ἄνθρωπος, τοῖς δάκρυσι τῆς μετανοίας εὐφραινομένη.

12. εὐλογήσεις] Τὸν κύκλον λέγει τῆς ἀναστάσεως, περὶ οὗ λέγει· ἦλθον καλέσαι ἐνιαυτὸν κυρίου δεκτὸν καὶ ἡμέραν ἀνταποδόσεως.

καὶ τὰ πεδία] Τὰ τῆς ἐκκλησίας πεδία, ἃ ὡμάλισεν ἡ χάρις, πλησθή-

[1] Quae praecedunt, V. sic legit: *Τὸ Σινά, τὴν Βηθλεέμ, τὴν Σιών, τὸν Γολγοθᾶν, τὸ ὄρος τῶν Ἐλαιῶν, τὸ Θαβώρ, καὶ πᾶν ὄρος ἅγιον, ἐν ᾧ ὁ θεὸς ἡμῶν δύναμιν πεποίηκεν.*

σονται τοῦ λόγου τοῦ εὐαγγελικοῦ· ἐν αὐτῷ γὰρ πιαίνονται αἱ ψυχαί.

13. πιανθήσεται] Τῆς ἐκκλησίας εὔδηλον· ἔρημος γὰρ ἦν τὸ πρότερον, ὡραῖα δὲ ταύτης λέγει τὰς ψυχὰς τῶν ἀνθρώπων· αὗται δὲ πιαίνονται τῷ ὕδατι τοῦ βαπτίσματος καὶ τῷ χρίσματι τοῦ ἐλαίου.

καὶ ἀγαλλίασιν] Οἱ ἀπόστολοι· βουνοὺς γὰρ ἡ γραφὴ τοὺς ἀποστόλους καλεῖ. αὐτοὶ γὰρ ἠγαλλιάσαντο, ὡς δι' αὐτῶν τὸ κήρυγμα τοῦ εὐαγγελίου πλαθυνθέν (τοῦ κηρύγματος πλαθυνθέντος).

14. ἐνεδύσαντο] Τουτέστιν καὶ οἱ δυνάσται (δυνατοί) τῶν λαῶν καὶ οἱ ἐπ' ἐξουσιῶν ἐνεδύσαντο καὶ αὐτοὶ τὴν χάριν (χαρὰν) τοῦ βαπτίσματος.

καὶ αἱ κοιλάδες] Αἱ συγκαταβάσεις τοῦ Χριστοῦ, εἰσὶν δὲ αἱ ἐκκλησίαι· σῖτον δὲ λέγει τὸν ἄρτον τὸν μυστικόν.

κεκράξονται] Τουτέστιν μετὰ φωνῆς μεγάλης ὑμνήσουσιν οἱ μεταλαμβάνοντες τῶν μυστικῶν (τὰ μυστικά).

LXV.

Εἰς τὸ τέλος· ᾠδὴ ψαλμοῦ ἀναστάσεως] Τουτέστιν ἡ ᾠδὴ τοῦ ψαλμοῦ τούτου περὶ τῆς ἀναστάσεως τοῦ Χριστοῦ ἐπροφήτευσεν.

2. Ἀλαλάξατε] Τουτέστιν μετὰ φωνῆς μεγάλης ὑμνήσατε πάντες οἱ κατοικοῦντες τὴν γῆν· ἀνέστη γὰρ ὁ κύριος, καταργήσας τὸν θάνατον. δοξάσατε οὖν ἐν ψαλμοῖς καὶ ὕμνοις τὸν σώσαντα ὑμᾶς (ἡμᾶς).

δότε δόξαν] Τουτέστιν δοξάσατε τὸν ἑνώσαντα τὸν ἄνθρωπον τῇ θεότητι.

3. εἴπατε τῷ θεῷ] Εὐχαριστοῦντες μεγαλύνατε τὰ ἔργα τοῦ θεοῦ, δι' ὧν ἐσώθη ὁ ἄνθρωπος.

ἐν τῷ πλήθει] Ἐν τῷ ἀναστῆναι γὰρ τὸν κύριον ἐκ νεκρῶν οἱ Ἰουδαῖοι ψεῦδος ἐνόμισαν (νομίσαντες εἶναι) τὴν ἀνάστασιν, ἀρνούμενοι ἐξ ἀπιστίας τὴν δύναμιν τοῦ Χριστοῦ.

4. πᾶσα ἡ γῆ] Πάντες ἄνθρωποι· γῆ γὰρ νοητὴ ὁ ἄνθρωπος. ἐν ψαλμοῖς καὶ ὕμνοις προσκυνήσουσι τῷ ἀναστάντι ἐκ νεκρῶν καὶ σώσαντι τὸν ἄνθρωπον.

ψαλάτωσαν] Τουτέστιν ἀπαύστως δοξάσατε.

Διάψαλμα· μεταβολὴ τῆς προφητείας.

5. δεῦτε, τέκνα] Προτροπὴ τῶν ἐθνῶν εἰς τὴν κλῆσιν, ἵνα ἴδωσι τὴν δόξαν τοῦ θεοῦ.

φοβερὸς ἐν βουλαῖς] Πολὺ γὰρ τὸ διάφορον θεοῦ καὶ ἀνθρώπου· οὕτως καὶ ἡ βουλὴ τοῦ θεοῦ ὑπερέχουσα.

6. ὁ μεταστρέφων] Τότε τοῖς Ἰσραηλίταις τὴν ἐρυθράν, νῦν δὲ

τῆς θαλάσσης τοῦ βίου ξηραίνων τὰ ῥεύματα τῆς ἁμαρτίας τῇ ἐπιδημίᾳ ὁ Χριστός.

Ἐν ποταμῷ] Τότε [γὰρ] τὸν Ἰορδάνην οἱ Ἰσραηλῖται, νῦν δὲ τοὺς ποταμοὺς τῆς ἀσεβείας οἱ πιστοὶ τῷ ποδὶ τῆς πίστεως διαπερῶσιν.

ἐκεῖ εὐφρανθησόμεθα] Ἐκεῖ. ποῦ; ὅπου ἡ χάρις ἐπλεόνασεν.

7. *τῷ δεσπόζοντι] Πάντων [γὰρ] τῶν αἰώνων δεσπότης καὶ κύριος ὁ λόγος ἐστίν, ὁ Χριστός· δι' αὐτοῦ γὰρ ἐγεννήθησαν.*

οἱ ὀφθαλμοὶ αὐτοῦ] Τὰ γὰρ ἔθνη προώρισε κληρονόμους γενέσθαι τοῦ μυστηρίου τῆς χάριτος, ὅθεν ἐπιβλέπει ἐπ' αὐτούς.

οἱ παραπικραίνοντες] Ἰουδαίων παῖδες, ὡς βλάσφημοι καὶ ὑπερήφανοι, διὰ τῶν κακῶν ἔργων παροργίζοντες τὸν θεόν, μὴ ἐπαιρέσθωσαν ἐν ἑαυτοῖς.

Διάψαλμα· μεταβολὴ τοῦ λόγου.

8. *εὐλογεῖτε ἔθνη] Τουτέστιν οἱ ἐξ ἐθνῶν ἐπιστρέψαντες, εὐχαριστοῦντες μὴ παύσησθε.*

καὶ ἀκουτίσασθε] Ἀκουστή, φησί, γένοιτο ἡ αἴνεσις ὑμῶν πάσῃ τῇ κτίσει καὶ τοῖς ὠσὶ τοῦ θεοῦ ἡμῶν.

9. *τοῦ θεμένου] Τοῦ λαοῦ τοῦ ἐξ ἐθνῶν· αὐτῶν γὰρ τὴν ψυχὴν ἐξελέξατο εἰς ζωὴν αἰώνων.*

καὶ μὴ δόντος] Ἀφ' οὗ γὰρ ἐθεμελιώθησαν τῇ πίστει, σαλευθῆναι οὐ δύνανται.

10. *ὅτι ἐδοκίμασας] Τουτέστιν ἔγνως τὴν πρόθεσιν ἡμῶν, κύριε.*

ἐπύρωσας ἡμᾶς] Ἐθερμάνθησαν γὰρ τῷ ζήλῳ τῆς πίστεως καὶ τῷ πυρὶ τοῦ πνεύματος τοῦ ἁγίου [οἱ πιστοί].

11. *εἰσήγαγες] Συνεχώρησε γὰρ ὁ θεὸς τὰ ἔθνη εἰσελθεῖν εἰς τὴν παγίδα τοῦ διαβόλου, ἵνα ἐπιγνῶσι τὸν ἐλευθεροῦντα αὐτούς.*

ἔθου θλίψεις] Κατεβάρησαν γὰρ ἐπὶ τὰ ἔθνη οἱ δαίμονες ὡς κτήνη ἄλογα.

12. *ἐπεβίβασας] Τοὺς ἀπίστους καὶ βλασφήμους ἀνθρώπους, διασύροντας τὰ ἔθνη πιστεύσαντα.*

διήλθομεν] Τουτέστιν διὰ τοῦ πυρὸς τοῦ πνεύματος καὶ διὰ τοῦ ὕδατος τοῦ βαπτίσματος παρερχόμενοι οἱ πιστοί, λαμβάνουσι τὴν ἀναψυχὴν τοῦ παραδείσου.

13. *εἰσελεύσομαι] Ἐν τῇ ἐκκλησίᾳ εἰσερχόμενοι οἱ πιστοί, προσφέρουσι [ὁλοκαύτωσιν] τῷ θεῷ τὴν διηνεκῆ εὐχήν.*

13[b]—14. *ἀποδώσω — ἐν τῇ θλίψει μου] Ἀποδοὺς (ἀποδίδωσιν) ὁ ἄνθρωπος καθ' ἡμέραν τὰς εὐχάς, ἐδιδάχθη καὶ χείλεσι καὶ στόματι καὶ καρδίᾳ ἀνελλιπῶς ⟨δοξάζειν⟩ καὶ μάλιστα, ὅταν ἐν θλίψει ὢν ἀνάθηται τῷ κυρίῳ.*

15. *ὁλοκαυτώματα] Ὁλοκαυτώματα μεμυαλωμένα εἰσίν, ὅσα ἐπιάνθησαν τῇ ἐλεημοσύνῃ καὶ τῇ πίστει (πιότητι) τοῦ πνεύματος ⟨τῇ πίστει καὶ τῷ βαπτίσματι⟩. ταῦτα ἀποδιδόναι ὁ ἄνθρωπος ὀφείλει μετὰ θυ-*

μιάματος, ὅ ἐστιν εὐχή (ἐν εὐχῇ)· κριῶν δὲ τουτέστιν λογισμῶν καθαρῶν.

ποιήσω σοι βόας] *Βόες εἰσὶν αἱ ἐντολαί, ἐζευγμέναι δίκην βοῶν· χιμάρους δὲ λέγει τὰς ἀρετάς, αἵτινες χιμάρων δίκην νέμονται τὰ δόγματα τῶν γραφῶν.*

Διάψαλμα· μεταβολὴ τῆς προφητείας.

16. *δεῦτε, ἀκούσατε*] *Ὁ προφήτης μαρτύρεται, πάντας εἰς σωτηρίαν προσκαλούμενος καὶ διηγούμενος τὰ ἐπὶ τέλει μυστήρια.*

ὅσα ἐποίησεν] *Πῶς; ὑπὲρ αὐτῆς ἀπέθανεν ὁ Χριστός, ἵνα ζήσῃ ὁ ἄνθρωπος.*

17. *πρὸς αὐτόν*] *Πρὸς τὸν θεὸν ὁ προφήτης.*

καὶ ὕψωσα] [*Τουτέστι μετὰ κραυγῆς μεγάλης καὶ ἀπὸ καρδίας ἐβόων πρὸς τὸν θεόν, φησὶν ὁ ἄνθρωπος ⟨προφήτης⟩.*]

18. *ἀδικίαν*] *Ὁ προφήτης φησίν· οὐ μόνον ὅτι οὐκ ἐποίησα, ἀλλ' οὔτε [ἐν καρδίᾳ] ἐλογισάμην.*

19. *διὰ τοῦτο*] *Τῶν γὰρ ἐχόντων καθαρὰν καρδίαν καὶ τὰς χεῖρας ἀκούει ὁ θεὸς εὐχομένων.*

20. *εὐλογητὸς ὁ θεός*] *Ὁ προφήτης ἐκ προσώπου τοῦ Ἀδὰμ εὐχαριστεῖ, ὅτι ἐλεήθη καὶ οὐκ ἐγκατελείφθη.*

LXVI.

Εἰς τὸ τέλος· ψαλμὸς τῷ Δαυίδ] *Προτροπὴ τῶν ἐθνῶν καὶ εὐχαριστία τῶν αὐτῶν, ὅτι ἐλεήθησαν τῇ ἀγαθότητι τοῦ θεοῦ.*

2. *Ὁ θεός*] *Φωνὴ καὶ εὐχαριστία τῶν ἐθνῶν.*

ἐπιφάναι] *Ἐξεδέχοντο γὰρ τὴν ἐπιφάνειαν τοῦ Χριστοῦ, δι' ἧς καὶ ἐλεήθημεν.*

3. *τοῦ γνῶναι*] *Ἔμαθον γάρ, ὅτι ὁ θεὸς ἐπὶ γῆς ὤφθη καὶ τοῖς ἀνθρώποις συνανεστράφη ὡς ἄνθρωπος.*

ἐν πᾶσιν ἔθνεσιν] [*Πᾶσι γὰρ τοῖς ἔθνεσιν ἀκουστὸς ἐγένετο ὁ σταυρός, δι' οὗ ἐσώθη ὁ ἄνθρωπος.*]

4. *ἐξομολογησάσθωσαν*] *Καὶ ὁ τῶν Ἑβραίων λαός, ὅτι καὶ ἐξ αὐτῶν ἐπίστευσαν, καὶ ὁ τῶν ἐθνῶν, ὡς τὴν χάριν δεξάμενοι, πάντες ἐξωμολογήσαντο τὸν θεόν (ἐξομολογησάσθωσαν τῷ θεῷ).*

ἐξομολογησάσθωσαν] *Καὶ μετ' αὐτῶν τὰ λοιπὰ ἔθνη.*

5. *εὐφρανθήτωσαν*] *Ἐπιστρέψαντα τὰ ἔθνη ἐκ τῆς πλάνης καὶ μετασχόντα τῆς χάριτος τῆς μυστικῆς.*

ὅτι κρινεῖς] *Δίκαιος γὰρ κριτὴς τότε ὁ Χριστὸς ἔρχεται, ἀποδοὺς ἑκάστῳ τὰς ἀμοιβὰς τῶν ἔργων.*

καὶ ἔθνη] [*Τὰ ἔθνη τῶν δικαίων ὁδηγήσει*] *ἐν τῇ γῇ τῆς παραγγελίας, δῆλον ὅτι τοῦ παραδείσου.*

Διάψαλμα· ἀνοχὴ τοῦ πνεύματος.

6. ἐξομολογησάσθωσαν] *Πάντες γὰρ οἱ λαοὶ τότε καὶ τὰ ἔθνη ἐξομολογοῦνται τῷ θεῷ, τῷ φόβῳ συνεχόμενοι.*

7. γῆ ἔδωκεν] *Τότε γὰρ ἑκάστου ἀνθρώπου ὁ καρπὸς εὑρίσκεται, (ὁ) τῶν ἔργων· γῆ γὰρ ὁ ἄνθρωπος. αἰνίττεται δὲ καὶ τὸν σταυρόν, ὡς ἀπὸ τῆς γῆς βλαστήσαντα. αἰνίττεται δὲ καὶ τὴν θεοτόκον, ὡς ἐξ ἀνθρώπων ἐξειλεγμένην εἰς τὸ μυστήριον.*

8. εὐλογήσαι] *Τοὺς δικαίους τότε λέγων· δεῦτε οἱ εὐλογημένοι τοῦ πατρός μου, καὶ τὰ ἑξῆς.*

καὶ φοβηθήτωσαν] *Τότε γὰρ πᾶσα ἡ γῆ [τῷ φόβῳ] τινάσσεται κλονουμένη [καὶ] τῷ τρόμῳ.*

LXVII.

Εἰς τὸ τέλος· τῷ Δαυὶδ ψαλμὸς ᾠδῆς] Τὸν ὕμνον λέγει ὁ προφήτης ᾠδήν, ὃν ἐπὶ τέλει οἱ πιστοὶ ἔμελλον ᾄδειν τῷ Χριστῷ, ἐγερθέντι ἐκ νεκρῶν καὶ σώσαντι τὸν ἄνθρωπον.

2. Ἀναστήτω] *Χριστοῦ ἀναστάντος ἐκ νεκρῶν ἐπὶ πᾶν τὸ πρόσωπον τῆς γῆς ἐσκορπίσθησαν οἱ Ἰουδαῖοι, οἱ ἐχθροὶ τοῦ Χριστοῦ, λικμηθέντες τῷ πνεύματι.*[1]

καὶ φυγέτωσαν] *Οἱ Ἰουδαῖοι οἱ πρότερον μισοῦντες τὸν Χριστόν, νῦν φεύγουσιν αὐτόν, ὡς φοβερὸν ἐν δόξῃ.*[2]

3. ὡς ἐκλείπει ὁ καπνός] *Δίκην γὰρ καπνοῦ ἐξέλιπον οἱ Ἰουδαῖοι καὶ τοῦ τόπου καὶ τῆς χώρας καὶ τοῦ νόμου.*[3]

ὡς τήκεται] *Ὡς γὰρ κηρὸς ἀπὸ προσώπου τοῦ πυρός, οὕτως οἱ Ἰουδαῖοι οὐχ ὑπέμειναν τὴν ὀργὴν τοῦ Χριστοῦ [καὶ θεοῦ], ἀλλ' ἐτάκησαν ὡς κηρός.*[4]

4. καὶ οἱ δίκαιοι] *Οἱ ἀπόστολοι, οἱ πρὸς ἀλήθειαν δίκαιοι, οὗτοι ηὐφράνθησαν καὶ εὐφραίνονται ἐπὶ τῇ ἀναστάσει τοῦ κυρίου, ἐφ' οἷς ἐπένθουν τὸ πρότερον.*[5]

---

[1] Vind. Bar. add. *Χριστοῦ ἀναστάντος ἐσκορπίσθησαν οἱ ἐχθροὶ τοῦ ἀνθρώπου, τουτέστιν οἱ δαίμονες, ἰδόντες χερσὶ τοῦ Χριστοῦ κρατοῦντα αὐτὸν καὶ ἰσχυροποιοῦντα τῇ δυνάμει τοῦ σταυροῦ, φεύγουσι μὴ δυνάμενοι στῆναι.*

[2] Vind. Bar. add. *τὸ πνεῦμα τὸ ἅγιον ἐπιτιμᾷ τοὺς δαίμονας, ἵνα φύγωσιν ἀπὸ τῶν ἀνθρώπων.*

[3] Vind. Bar. add. *ὁμοίως καὶ οἱ δαίμονες σταυροῦ (Χριστοῦ) φανέντος ὡς καπνὸς διεσκορπίσθησαν.*

[4] Vind. Bar. add. *ὁμοίως καὶ οἱ δαίμονες· ἀναστάντος τοῦ σωτῆρος ἀπώλετο ἡ ἐλπὶς αὐτῶν, ἣν εἶχον τοῦ κατακρατεῖν τυραννικῶς τὸν ἄνθρωπον. καὶ ὥσπερ ὁ κηρός, προσεγγισθεὶς πυρί, ἀφανίζεται, οὕτως καὶ οἱ δαίμονες, βουληθέντες προσεγγισθῆναι τῷ κυρίῳ ἡμῶν Ἰησοῦ Χριστῷ, ἀφανεῖς ἐγένοντο τῇ διὰ τοῦ σταυροῦ δυνάμει (δυναστείᾳ) ἀπὸ προσώπου κυρίου καὶ ἀπὸ πάντων τῶν δικαίων.*

[5] Vind. Bar. add. *Ηὐφράνθη γὰρ καὶ πᾶς τῶν ἀπ' αἰῶνος κοιμημένων ἁγίων προφητῶν χορὸς ἐν τῷ κατελθῆναι ἐν τῷ ᾅδῃ ὁ κύριος καὶ ἐλευθερῶσαι πάντας.*

ἀγαλλιάσθωσαν] [Οἱ ἀπόστολοι]· πολλῆς γὰρ ἐπλήσθησαν ἀγαλλιάσεως (ἀπολαύσεως καὶ πάντες οἱ ἅγιοι), ὅταν εἶδον τὸν κύριον ἐκ νεκρῶν ἀναστάντα.

τερφθήτωσαν] Ἡὐφράνθησαν γὰρ ἐν (ἐπὶ) τέρψει αἱ ψυχαὶ τῶν ἁγίων, συναναστᾶσαι τῷ Χριστῷ ἀπὸ τῶν νεκρῶν.

5. ᾄσατε τῷ θεῷ] Οἱ πιστοὶ πάντες δοξάζοντες καὶ ὑμνοῦντες, ἐφ' οἷς εἶδον (εἴδοσαν) θαυμασίοις.

ὁδοποιήσατε] Κατὰ δυσμοῦ (δυσμῶν) γὰρ τῆς παλαιᾶς Ἰερουσαλὴμ ἐπέβη ὁ Χριστὸς ἐπὶ τοῦ σταυροῦ ἐν τῷ Γολγοθᾶ· ἐντέλλεται οὖν τοῖς μαθηταῖς προάγειν (προαγαγεῖν) αὐτὸν ἐκεῖ καὶ ἑτοιμάζειν τὸ πάσχα.

κύριος ὄνομα αὐτῷ] Οἱ πιστοὶ πάντες, ὑπὲρ ὧν (οὗ) πάντων τὰς ἁμαρτίας ἐπὶ τοῦ σταυροῦ (ἐν τῷ σταυρῷ) ἀνήγαγεν.

6. ταραχθήσονται] Ἐν γὰρ τῇ ὥρᾳ τοῦ σταυροῦ πολλὴν ταραχὴν οἱ ἀπόστολοι ἔσχον, θεωροῦντες αὐτόν.

τοῦ πατρὸς τῶν ὀρφανῶν] Ὀρφανοὶ τὰ ἔθνη, ὡς μήπω (μήποτε) ἔχοντες τὸν θεὸν πατέρα· χῆραι δὲ αἱ ἐκκλησίαι, ὡς μήπω λαβοῦσαι ἄνδρα τὸν Χριστόν. τούτων [γὰρ] ἕνεκεν ἔπαθεν.

ὁ θεὸς ἐν τόπῳ] [Ἐπὶ τοῦ Γολγοθᾶ ὁ Χριστός.]

7. ὁ θεὸς κατοικίζει] Τοὺς τῇ πίστει ἑνὶ τρόπῳ ἐμμείναντας καὶ ὀρθῶς ἔχοντας περὶ τοῦ θεοῦ, τούτους ὁ θεὸς κατοικίζει ἐν τῇ ἐκκλησίᾳ.

ἐξάγων] Τὰς πολλῷ χρόνῳ δεδεσμένας (δεδημένας) ψυχὰς ἐν τῷ ᾅδῃ ἐγείρας καὶ ἐλευθερώσας ἐν δυνάμει πολλῇ.

ὁμοίως] Οὐ μόνον τοὺς δικαίους, φησίν, (ἀναστήσας), ἀλλὰ καὶ τοὺς ἁμαρτωλοὺς ἐλευθερώσας.

8. ὁ θεός] Ἡνίκα ἐπὶ τὸν τοῦ κρανίου τόπον ἤγετο μετὰ τῶν λῃστῶν ἐνώπιον τοῦ λαοῦ.

ἐν τῷ διαβαίνειν] Λέγει τὴν συναγωγήν· ἔρημος γὰρ ἦν, ἀπολέσασα καὶ τὸν νόμον καὶ τὴν χάριν· δι' αὐτῆς γὰρ διήρχετο.

9. γῆ ἐσείσθη] Ὅταν ἐπὶ τοῦ σταυροῦ ὢν ὁ κύριος ἔσεισε τὴν γῆν, τότε καὶ οἱ οὐρανοὶ ἔσταξαν τὴν συμπάθειαν [καὶ ἀγγέλων παρουσίαν].

ἀπὸ προσώπου] Ὁ αὐτὸς[1] γὰρ τότε καὶ ὁ αὐτὸς νῦν θεωρεῖται.

10. βροχὴν ἑκούσιον] Τὴν χάριν (ταραχὴν) τοῦ πνεύματος λέγει, ἥτις ὡς ὑετὸς δροσίζει τὸν ἄνθρωπον· κληρονομία γὰρ Χριστοῦ ὁ ἄνθρωπος.

καὶ ἠσθένησεν] Ἠσθένησεν ἡ ἀνθρωπότης τῇ εἰδωλολατρείᾳ, ἐλθὼν δὲ ὁ Χριστὸς καὶ ἐπιστρέψας, κατήρτισεν αὐτὴν πρὸς ἑαυτὸν τῇ χάριτι.

11. τὰ ζῷά σου] Οἱ ἄνθρωποι ἐν τῇ γῇ· ζῷα γὰρ οἱ ἄνθρωποι,

---

[1] V. praecedit: Τοῦτο (τότε) καὶ νῦν ὁ αὐτός.

μᾶλλον δὲ πρὸς ἀλήθειαν ἐν τῇ ἐκκλησίᾳ.

ἡτοίμασας] *Τῷ ἀνθρώπῳ τὴν μυστικὴν τράπεζαν τῷ πτωχεύσαντι, ἵνα τρέφηται ἀεί.*

12. κύριος δώσει] *Τοῖς ἀποστόλοις, ἐμφυσήσας αὐτοῖς καὶ εἰπών· λάβετε πνεῦμα ἅγιον. αὐτοὶ γὰρ τῇ οἰκουμένῃ εὐαγγελίσαντο [τὴν χάριν].*

13. ὁ βασιλεύς] *Ὁ Χριστός, περὶ οὗ ἐλέχθη· οὗτός ἐστιν ὁ υἱός μου ὁ ἀγαπητός, ἐν ᾧ εὐδόκησα.*

ὡραιότητι] *Ἐν γὰρ τῇ ἐκκλησίᾳ τὰ σκῦλα τοῦ διαβόλου κατεμερίσθη, ὅ ἐστιν ὁ ἄνθρωπος σκυλευθείς.*

14. ἐὰν κοιμηθῆτε] *Τοῖς ἀποστόλοις λέγει· αὐτοὶ γὰρ ἐκληρώθησαν πάντα τὰ κλήματα τῆς γῆς· ἐάν, φησί, ἐπιμείνητε ἐν μέσῳ (ἀνὰ μέσον) αὐτῶν.*

πτέρυγες] *Λέγει τὰς ἀρετὰς τῶν ἀποστόλων, περὶ ὧν Ἠσαίας· καὶ ὡς περιστεραὶ σὺν νεοσσοῖς πέτανται. αὐτοὶ γὰρ ὡς ἄργυρος, τουτέστιν καθαροὶ καὶ ἀστράπτοντες [ἐν] ταῖς ἀρεταῖς, ἐπετάσθησαν εἰς πᾶσαν τὴν γῆν.*

καὶ τὰ μετάφρενα] *Τῆς περιστερᾶς, ἥτις ἐν Ἰορδάνῃ κατῆλθεν, ταύτης τὰ μετάφρενα, ἅ (ὅ) ἐστι τὰ μεταξὺ τῶν ὤμων, ἀλήθεια καὶ δικαιοσύνη, τῷ νοητῷ πυρὶ ἐσχηματισμένη, χρυσίον ὁ προφήτης ἐλάλησεν.*

Διάψαλμα· ἐναλλαγὴ τῆς προφητείας.

15. ἐν τῷ διαστέλλειν] *Βασιλεῖς λέγει τοὺς ἀποστόλους, ὡς ἄρξαντας τῆς οἰκουμένης. τούτους γὰρ ὁ Χριστὸς διέστειλεν ἐπὶ πᾶσαν τὴν γῆν, ἐντειλάμενος αὐτοῖς βαπτίζειν πάντα τὰ ἔθνη.*

χιονωθήσονται] *Σελμὼν ἑρμηνεύεται εἰρήνη, οἶκος δὲ τῆς εἰρήνης ἡ ἐκκλησία. λέγει δὲ τοὺς βαπτιζομένους· λευκανθήσονται ἐν τῇ εἰρήνῃ, τουτέστιν ἐν τῇ ἐκκλησίᾳ.*

16. ὄρος τοῦ θεοῦ] *Ἡ παρθένος ἡ θεοτόκος, ὡς τὰ ἐν αὐτῇ μέλη [μυστήρια μεγάλα] τετυρωμένα, ὅτι μετέσχε γάλακτος. πῖον δέ, ὅτι ἐπιάνθη τῷ πνεύματι καὶ ὡς διὰ τὴν σάρκα.*

17. ἵνα τί ὑπολαμβάνετε] *Πῶς, φησίν, οἱ ἄπιστοι συγκρίνουσι τὴν θεοτόκον λοιπαῖς γυναιξίν; αὕτη γὰρ ἔκκριτός ἐστι πασῶν τῶν γυναικῶν.*

τὸ ὄρος ὃ εὐδόκησεν] *Ἐν τῇ παρθένῳ γὰρ μόνῃ εὐδόκησεν ὁ θεὸς κατοικῆσαι, ἐν αὐτῇ ὡς ἐκλελεγμένῃ ἀπὸ πάσης τῆς κτίσεως.*

καὶ γὰρ ὁ κύριος] *Ἐν ἀληθείᾳ γὰρ κατεσκήνωσεν ἐν αὐτῇ ὁ θεὸς καὶ οὐ δοκήσει κατὰ τὸν λόγον τῶν ἀπίστων.*

18. τὸ ἅρμα τοῦ θεοῦ] *Ἅρμα λέγει τὴν σάρκα ὁ θεὸς λόγος· μυριονταπλάσια [γάρ] εἰσι τὰ σώματα τῶν ἁγίων, μία δέ ἐστιν ἡ σὰρξ ἡ ἁγία.*

ὁ κύριος ἐν αὐτοῖς] *Ὡς ἐν τῷ Σινά, οὕτως καὶ ἐν τῇ Σιὼν (ἐν τῷ ἁγίῳ) εὐδόκησεν κατασκηνῶσαι ὁ θεός.*

19. ἀναβὰς εἰς ὕψος] Ἀναβὰς (ἀνέβη) ἐπὶ τοῦ σταυροῦ ὁ Χριστός, ᾐχμαλώτευσε τὸν διάβολον, ἐξαρπάσας ἐξ αὐτοῦ τὸν ἄνθρωπον.

ἔλαβες δόματα] Ἔδωκε (ἔλαβε) γὰρ τὴν ἀνθρωπότητα εἰς κληρονομίαν ἑαυτῷ ἐπὶ τοῦ σταυροῦ.

καὶ γὰρ ἀπειθοῦντες] Καὶ ὅσοι γὰρ οὐκ ἤθελον ὑποταγῆναι τῇ πίστει, καὶ οὗτοι μετανοήσαντες ἐπέστρεψαν [τῇ πίστει] πρὸς τὸν θεόν.

20. κύριος ὁ θεός] Πότε γὰρ οὐκ εὐλογητὸς ὁ κύριος; προσήκει γὰρ καθ' ἡμέραν καὶ κατὰ πᾶσαν ὥραν εὐλογεῖν τὸν κύριον.

κατευοδώσει] Τὸ πραχθὲν ἐπὶ τοῦ σταυροῦ δώσει ἡμῖν ἐν τάχει.

Διάψαλμα· ἀνοχὴ τοῦ πνεύματος.

21. ὁ θεὸς ἡμῶν] Διὰ τοῦτο γὰρ ὤφθη ὁ θεὸς ἐπὶ τῆς γῆς, ἵνα σώσῃ τὸν ἄνθρωπον.

καὶ τοῦ κυρίου] Διὰ τοῦτο γὰρ ἐγεύσατο θανάτου, ἵνα τὸν θάνατον καταργήσῃ.

22. πλὴν ὁ θεός] Τὰς τῶν Ἰουδαίων κεφαλάς, οἵτινες ἦραν (ἐπῆραν) κεφαλὴν κατὰ τοῦ Χριστοῦ.

κορυφὴν τριχός] Ἔτιλλον γὰρ τὰς τρίχας αὐτῶν οἱ Ἰουδαῖοι, βρύχοντες (ἔβρυχον) κατὰ τοῦ Χριστοῦ· σὺν πᾶσιν γὰρ τοῖς μέλεσι καὶ ταῖς θριξὶν ἥμαρτον.

23. εἶπεν κύριος] Ἀπὸ τοῦ πάθους τοῦ σταυροῦ, ὡς ἀπὸ αἰσχύνης· Βασὰν γὰρ αἰσχύνη ἑρμηνεύεται. ἐπιστρέψας οὖν, φησί, ἀνταποδώσω αὐτοῖς.

ἐπιστρέψω] Εἰς τὴν θάλασσαν λέγει τὴν τοῦ βίου, τὴν ἄστατον· ἐπέστρεψε γὰρ τοὺς ἐν αὐτῇ χειμαζομένους.

24. ὅπως ἂν βαφῇ] Ἐπὶ τοῦ σταυροῦ τῶν ἥλων πηγνυμένων.

ἡ γλῶσσα] Κύνες οἱ Ἰουδαίων παῖδες, περὶ ὧν ⟨λέγει⟩· ἐκύκλωσάν με [ὡς] κύνες πολλοί. αὐτοὶ γὰρ ὡς κύνες τὰς γλώσσας ἐχάλασαν ἐπὶ τὸν Χριστόν.

25. ἐθεωρήθησαν] Καὶ ἐν τῇ αἰσθητῇ καὶ ἐν τῇ νοητῇ γῇ καὶ θαλάσσῃ περιπατήσας ὁ θεὸς λόγος.

αἱ πορεῖαι] Τοῦ υἱοῦ τοῦ θεοῦ αἱ πορεῖαι, ὡς μετὰ τῶν ἀνθρώπων ἀνεστράφη (ἀναστραφείς)· αὐτὸς γὰρ βασιλεὺς [μετὰ] τῶν ἁγίων ὡς ἅγιος.

26. προέφθασαν] Οἱ ἀπόστολοι ἔφθασαν τῇ γῇ, διδάσκοντες τοὺς ἀνθρώπους ψάλλειν καὶ εὐλογεῖν τὸν κύριον.

ἐν μέσῳ νεανίδων] Λέγει τὰς ἐκκλησίας νεανίδας, ὡς νεαζούσας τῇ πίστει· τυμπανιστρίας δέ, ὡς ἐν αὐταῖς κρουομένης τῆς κιθάρας τοῦ πνεύματος.

27. ἐν ἐκκλησίαις] Ὅταν ἐν ἐκκλησίᾳ, φησίν, ὑπάρχει ὁ ἄνθρωπος, εὐλογείτω τὸν θεὸν καὶ μὴ περισπάσθω ⟨τῷ νῷ⟩.

τὸν κύριον] Δοξάζεται γὰρ ὁ κύριος ἐκ τῶν πηγῶν τοῦ βαπτίσματος· Ἰσραὴλ γὰρ ὅρασις θεοῦ ἑρμηνεύεται.

28. ἐκεῖ Βενιαμίν] Ἀπὸ[1] μέρους ὅλον τὸ ἔθνος αἰνίττεται τῶν Ἰουδαίων, ὅτι ὡς ἐν ἐκστάσει ἐνεανιεύσαντο (ἐδολιεύσαντο) κατὰ τοῦ Χριστοῦ, ὡς γενέσθαι υἱοὺς (υἱὸς) ὀδύνης· Βενιαμὶν γὰρ (δὲ) υἱὸς ὀδύνης ἑρμηνεύεται.

ἄρχοντες Ἰούδα] Οἱ γὰρ ἐκ τῶν Ἰουδαίων πιστεύσαντες καὶ ἐξομολογησάμενοι ἡγεμόνες τουτέστιν ἄρχοντες ἐγένοντο τῶν παθῶν ⟨τῶν ἁμαρτημάτων⟩.

ἄρχοντες Ζαβουλών] Αἰνίττεται τοὺς ἰουδαϊκοὺς ἄρχοντας, οἵτινες ἐν νυκτὶ ἐκράτησαν τὸν κύριον. Ζαβουλὼν γὰρ ῥύσις νυκτὸς ἑρμηνεύεται, Νεφθαλεὶμ δὲ πλατυσμός. ἐπλάτυναν γὰρ τὴν ἀνομίαν καὶ τὴν ἁμαρτίαν αὐτῶν.

29. ἔντειλαι, θεός] Ποίησον ἐν τῇ δυνάμει (δυναστείᾳ) σου ἐκδίκησιν ἐν τοῖς δαίμοσιν (ἔθνεσιν).

δυνάμωσον] Δυνάμωσον, τουτέστιν κραταίωσον τοῦτο, ὅ κατειργάσω (κατηρτίσω) ἡμῖν, τὸν σταυρὸν καὶ τὴν ἀνάστασιν. λέγει δὲ καὶ τὴν ψυχήν.

30. ἀπὸ τοῦ ναοῦ] Ἀπὸ τοῦ ναοῦ τῆς ἀρχαίας Ἱερουσαλὴμ ἐπὶ τὴν νέαν Ἱερουσαλήμ σοι προσάξουσιν οἱ βασιλεῖς τὰ δῶρα. λέγει δὲ καὶ τοὺς μάγους· γένος γὰρ ἦσαν βασιλέων.

31. ἐπιτίμησον] Τοῖς φαρμακοῖς καὶ τοῖς αἱρετικοῖς, τοῖς τὰ κακὰ γράφουσι καὶ πονηρὰ διὰ τοῦ καλάμου.

ἡ συναγωγή] Λέγει τοὺς ἄρχοντας τοῦ ἰουδαϊκοῦ λαοῦ ταύρους, τοὺς δὲ λαοὺς δαμάλεις· ἦγον γὰρ αὐτοὺς ὡς ἐβούλοντο, καθάπερ δαμάλεις.

τοῦ ἀποκλεισθῆναι] Ἐξεκλείσθη γὰρ Ἰούδας τῆς ἀποστολῆς, δοκιμασθεὶς τῷ ἀργυρίῳ [λέγει δὲ καὶ τοὺς φιλαργύρους].

διασκόρπισον] Τοὺς δαίμονας ἐξαφάνισον· οὗτοι γὰρ χαίρουσι καὶ αἰσθητοῖς καὶ νοητοῖς πολέμοις.[2]

32. ἥξουσιν] Αὕτη γὰρ πρώτη ἐδέξατο τὸν σωτῆρα· ἥξουσιν ἐκ θλίψεως εἰς σωτηρίαν. Αἴγυπτος γὰρ ἐκθλίβουσα ἑρμηνεύεται.

Αἰθιοπία] Ὡς ταπεινοὶ προσελεύσονται τῷ Χριστῷ ⟨τῷ θεῷ⟩· Αἰθίοπες γὰρ ταπεινοὶ ἑρμηνεύονται. λέγει δὲ τὸν εὐνοῦχον, ὅτι πρῶτος τῆς χώρας [πάσης] ἐπίστευσε τῷ θεῷ.

33. αἱ βασιλεῖαι] Προτρέπεται ἡ προφητεία, ὥστε καὶ τοὺς βασιλεῖς ᾄδοντας καὶ ψάλλοντας τῷ θεῷ προσκυνεῖν.

34. ψάλατε τῷ θεῷ] Λέγει τὴν ἀνάληψιν τοῦ κυρίου ὁ προφήτης (ἡ προφητεία) ἀπὸ τοῦ ὄρους τῶν ἐλαιῶν, ὅ ἐστι κατὰ ἀνατολὰς τῆς Ἱερουσαλήμ.

---

[1] V. incipit sic: Τὸν ἀπόστολον Παῦλον λέγει ὡς ἐν ἐκστάσει ἐν ᾠδῇ γενόμενος. λέγει δὲ ἀπὸ μέρους κτλ., mox omissum αἰνίττεται.

[2] V. add. λέγει δὲ καὶ πάντας τοὺς βουλομένους συμβουλεύειν πολέμους εὐχόμενος ὁ προφήτης εἰς θεόν, ἵνα διασκορπισθῶσιν, ὅσοι εἰς χριστιανοὺς στρατεύονται.

ἰδοὺ δώσει] *Φωνὴ τοῦ Χριστοῦ οἱ ἀπόστολοι· αὐτοῖς ἔδωκε φωνὴν δυνάμεως τὸ εὐαγγελικὸν κήρυγμα (τὸ εὐαγγέλιον τοῦ κηρύγματος).*

35. *δότε δόξαν*] *Οἱ πιστοὶ θεωρήσαντες τὰς δυνάμεις αὐτοῦ [δόξαν τῷ θεῷ ἔδωκαν].*

ἐπὶ τὸν Ἰσραήλ] *Ἐπὶ τὸν λαὸν τῶν ἐθνῶν· αὐτὸς γάρ ἐστιν ὁ νοητὸς Ἰσραήλ, ὅ ἐστιν ὁ Χριστός· ἐπ' αὐτὸν γὰρ ἡ εὐπρέπεια τοῦ θεοῦ ἐμεγαλύνθη.*

καὶ ἡ δύναμις] *Ἐν τοῖς ἀποστόλοις· νεφέλας γὰρ αὐτοὺς καλεῖ [ἡ γραφή], ὡς τοὺς ὑετοὺς τῆς χάριτος βαστάζοντας.*

36. *θαυμαστὸς ὁ θεός*] *Παρὰ (ἐπὶ) τοῖς γὰρ ἁγίοις ἐθαυμαστώθη ἡ δύναμις τοῦ Χριστοῦ.*

ὁ θεὸς Ἰσραὴλ αὐτὸς δώσει] *Ὁ Χριστός· Ἰσραὴλ γὰρ ἴδιος (εἶδος) θεοῦ ἑρμηνεύεται.*

ὁ θεός] *Αὐτὸς ἐνεδυνάμωσε καὶ ἐκραταίωσε τὸν λαὸν τὸν πιστόν.*

εὐλογητός] *Ἡ σφραγὶς τοῦ λόγου [αὕτη].*

LXVIII.

Εἰς τὸ τέλος· ὑπὲρ τῶν ἀλλοιωθησομένων τῷ Δαυίδ] *Ἐπὶ τέλει γὰρ ἠλλοιώθησαν οἱ Ἰουδαῖοι, τουτέστιν μετεβλήθησαν καὶ ἀπὸ φίλων ἐχθροὶ ἐγένοντο.*

2. *Σῶσόν με*] *Αὕτη (ὧδε) φωνὴ τοῦ Ἀδὰμ φησί· σῶσόν με. τὰ γὰρ ῥεύματα τῆς ἁμαρτίας ἐπλήρωσαν τὴν ψυχήν μου.*

3. *ἐνεπάγην*] *Καὶ εἰς τὸ βάθος τῆς πλάνης (θαλάσσης) καὶ εἰς τὸν πηλὸν τῆς ἁμαρτίας ἐνέβαλόν με οἱ δαίμονες.*

ἦλθον εἰς τὰ βάθη] *Φησὶν ὁ ἄνθρωπος· ἦλθον εἰς τὸν ἄδηλον τῆς βιωτικῆς θαλάσσης τὸν βίον, καὶ συρίσας ὁ δράκων ἐταπείνωσέ με (ἐστεφάνωσέ με)· καταιγὶς γὰρ ἄνεμος*[1] *ἐστι κακός.*

4. *ἐκοπίασα*] *Ἐν τῷ κράζειν τὸν ἄνθρωπον ἐν κλαυθμῷ μεγάλῳ πρὸς κύριον ἔγκοπος ἐγένετο· ὁ δὲ λάρυγξ, γευσάμενος τῶν εἰδωλικῶν θυσιῶν, ἐφράγη.*

ἐξέλιπον] *Τῇ προσδοκίᾳ τῆς παρουσίας τοῦ Χριστοῦ τηκόμενος (νικώμενος) καὶ ὀδυνώμενος (ὀξυνόμενος) καθ' ἑκάστην, ἐξέλιπον οἱ ὀφθαλμοί μου, φησὶν ὁ ἄνθρωπος.*

5. *ἐπληθύνθησαν*] *Φησὶν ὁ Ἀδὰμ διὰ τοὺς δαίμονας, τὸ δὲ ἀληθὲς ὁ Χριστὸς περὶ τῶν Ἰουδαίων [φησίν]· οὐκ ἔδωκα ἀφορμὴν μίσους, ἀλλὰ δωρεὰν ἐμίσησάν με.*

ἐκραταιώθησαν] *Τουτέστιν τῷ (τὸ) δοκεῖν ἐνίσχυσαν οἱ Ἰουδαῖοι τότε ἐκδιῶξαι τὸν κύριον, θεὸς δὲ ἀπείραστος κακῶν.*

[1] V. procedit sic: *ἄνεμοι διερχόμενοι κρούοντες. γίνεται πῦρ καῖον ὕδωρ, ξύλα, γῆν τε καὶ πέτρας· καταιγὶς γὰρ ξηραίνειν ἐστί, διὸ καὶ ἄνεμός ἐστι κακός.*

ἃ οὐχ ἥρπασα] Παρ' αὐτῶν φησίν· ἃ οὐκ ἔλαβον, ἀπεδίδουν αὐτοῖς.

6. ὁ θεός] Ὡς ἄφρων γὰρ ἐλογίσθην αὐτοῖς, μορφὴν δούλου λαβών, ὅλον δὲ τὸ γενόμενον μυστήριον ἐγένετο διὰ τὸν Ἀδάμ.

καὶ αἱ πλημμελίαι] Καὶ ὡς ἄφρονα καὶ ὡς πολλὰ πλημμελήσαντα ἀνέλαβές με, εἰ καθαρίσας ἀποτελέσεις με ἅγιον, φησὶν ὁ ἄνθρωπος.

7. μὴ αἰσχυνθείησαν] Ὁ κυριακὸς ἄνθρωπος φησὶ πρὸς τὴν θεότητα, ἵνα, φησί, κυρώσῃ τὸ γένος.[1]

μὴ ἐντραπείησαν] Διὰ γὰρ τοῦ κυριακοῦ ἀνθρώπου ἐκζητοῦσιν οἱ ἄνθρωποι τὸν θεόν, μηκέτι ἐντρεπόμενοι, τὴν ἀπαρχὴν ἔχοντες ἐν οὐρανῷ.

8. ὅτι ἕνεκα σοῦ] Ἕνεκεν γὰρ τοῦ ἀνθρώπου πάντα ὑπέμεινεν ὁ κύριος.

ἐκάλυψεν ἐντροπή] Ὡς κακοῦργος ἐμπτυόμενος καὶ ῥαπιζόμενος τὸ πρόσωπον.

9. ἀπηλλοτριωμένος] Ἀδελφοὶ γὰρ τοῦ κυρίου τῷ (τὸ) κατὰ σάρκα, νῦν δὲ ἀλλότριοι ἐγένοντο τῇ ἀπιστίᾳ.

καὶ ξένος] Οἱ Ἰουδαῖοι υἱοὶ τῆς συναγωγῆς, ἣν ὡς μητέρα διὰ τὸ συγγενὲς ἐπιγράφεται (ἐπιγράφονται)· αὐτοὶ δὲ (γὰρ) ὡς ξένῳ καὶ ἀλλοτρίῳ προσέσχον.

10. ὅτι ὁ ζῆλος] Ἐσήμανεν ἡ προφητεία τὴν παρουσίαν τοῦ Χριστοῦ, ἡνίκα ἐξέβαλεν ἐκ τοῦ ἱεροῦ τοὺς καταφρονοῦντας καὶ πωλοῦντας καὶ ἀγοράζοντας [ἐκεῖ].

καὶ οἱ ὀνειδισμοί] Ὠνείδιζον γὰρ τότε οἱ Ἰουδαῖοι τὸν Χριστὸν λέγοντες· τί σημεῖον δεικνύεις, ὅτι ταῦτα ποιεῖς;

11. καὶ συνέκαμψα] Ἦν γὰρ νηστεύων καὶ διανυκτερεύων ἐν ταῖς ἐρήμοις, ὡς γέγραπται ἐν τοῖς εὐαγγελίοις.

καὶ ἐγενήθη] Οἱ γὰρ ἄπιστοι ὠνείδιζον αὐτὸν ὡς ψιλὸν ἄνθρωπον, μὴ νοοῦντες τὸ μυστήριον τῆς οἰκονομίας.

12. καὶ ἐθέμην] Ὡς γὰρ ἄνθρωπος καὶ ἱμάτιον ἐνεδιδύσκετο.

καὶ ἐγενόμην] Γελῶντες γὰρ οἱ Ἰουδαῖοι ἔλεγον πρὸς ἀλλήλους· τίς ἐστιν οὗτος ἄρα;

13. κατ' ἐμοῦ ἠδολέσχουν] Ἀεὶ γὰρ καθήμενοι ἐν πύλαις τοῦ ἱεροῦ οἱ Ἰουδαῖοι ἐφρόντιζον, τίς ἂν εἴη ὁ ἄνθρωπος οὗτος.

καὶ εἰς ἐμέ] Καὶ ἐν τοῖς συμποσίοις [γὰρ] οἱ Ἰουδαῖοι τὸν Χριστὸν ὡμίλουν ὀνειδίζοντες καὶ γελῶντες.

14. ἐγὼ δὲ τῇ προσευχῇ] Αὐτὸς δὲ ὁ Χριστὸς ὡς ἄνθρωπος τῇ προσευχῇ ἐκαρτέρει, τύπος γενόμενος τοῖς πιστοῖς.

καιρὸς εὐδοκίας] Ἐξεδέχετο γὰρ τὸν καιρὸν τοῦ πάθους.

ἐν τῷ πλήθει] Προσεύχεται βεβαιῶν τὴν ἐνανθρώπησιν· γενέσθω,

[1] Hunc versiculum neque V. neque slav. interpretatio praebet, sed in Ven. legitur.

φησί, τὸ θέλημά σου, πρὸς· τὸν πατέρα ἔλεγεν ὁ σωτήρ.

15. σῶσόν με] Σῶσαι γὰρ τὸν ἄνθρωπον ἐκ τοῦ πηλοῦ [τῆς γῆς] τῆς ἁμαρτίας, [διὰ τοῦτο] παραγέγονεν ὁ σωτὴρ τοῦ κόσμου (εἰς τὸν κόσμον).

ῥυσθείην] Ῥῦσαί με, φησὶν ὁ Χριστός, διὰ τὸν ἄνθρωπον ἐκ τῶν δαιμόνων· αὐτοὶ γὰρ ἐξ ἀρχῆς μισοῦσι τὸν ἄνθρωπον. καὶ ἀνασπάσω (ἀνάσπασον) αὐτὸν ἐκ τῶν κακῶν, ὅτι ὡς ὕδωρ ἐπεκάλυψεν αὐτὸν ἡ πλάνη.

16. μή με καταποντισάτω] Τὰ κύματα λέγει τῆς ἀσεβείας καταιγίδα, ἧς ῥυσθῆναι τὸν ἄνθρωπον εὐδόκησεν ὁ Χριστός. μεταφορικῶς γὰρ λέγουσιν οἱ προφῆται.

μηδὲ καταπιέτω] Ὁ ἄνθρωπος φησί, μὴ πάλιν εἰς βάθος (βάθη) κακῶν ἔλθω.

μηδὲ συσχέτω] Ὁ γὰρ ἐμπεσὼν εἰς φρέαρ ἐστένωται καὶ οὐκ ἐᾷ αὐτὸν διανήξασθαι (ἡ στενότης οὐκ ἐᾷ αὐτὸν διανήξασθαι)· οὕτως οἱ εἰς τὸν φάρυγγα τοῦ διαβόλου ἐμπεσόντες σπανίως σώζονται.

17. εἰσάκουσόν μου] Ὁ ἄνθρωπος φησίν· ἐπάκουσόν μου, κύριε, καὶ τάχυνον τὴν πρὸς ἡμᾶς σου κατάβασιν (συγκατάβασιν).

κατὰ τὸ πλῆθος] Ἐν πλήθει γὰρ οἰκτιρμῶν ἔσωσεν ὁ Χριστὸς τὸν ἄνθρωπον, οὐχὶ κατὰ δικαιοσύνην ἰδίαν.

18. μὴ ἀποστρέψῃς] Εἰ γὰρ πρὸς τὴν ἁμαρτίαν τοῦ ἀνθρώπου ὁ θεὸς ἀπέστρεψε τὸ πρόσωπον αὐτοῦ ἀπ' αὐτοῦ, οὐκ ἂν ἦν ὁ σώζων.

ὅτι θλίβομαι] Ἐπὶ τοῦ σταυροῦ ὁ Χριστὸς ὡς ἄνθρωπος πάντα πάσχει, ἵνα σώσῃ τὸν ἄνθρωπον.

19. πρόσχες τῇ ψυχῇ] Σὸν γάρ ἐστιν ἐμφύσημα· διὸ μὴ παρίδῃς αὐτήν.

ἕνεκα τῶν ἐχθρῶν] Ἵνα μὴ ἐπιχαρῶσί μοι, φησὶν ὁ ἄνθρωπος, ὡς νικήσαντες οἱ δαίμονες.

20. σὺ γὰρ γινώσκεις] Πάντα γὰρ γνωστὰ τῷ θεῷ, ὅτι διὰ τὸν ἄνθρωπον ὀνειδίζεται ὁ Χριστὸς ὡς κακοῦργος, σταυροῦται ὡς κακοποιός, ἐντρέπεται καὶ ἐμπτύεται παρὰ Ἰουδαίων ὡς ψεύστης. πάντα γάρ, ὅσα ὤφειλεν ὁ ἄνθρωπος (Ἀδάμ), ὁ Χριστὸς ἀποδίδωσιν.

ἐναντίον σου] Ὁ υἱὸς πρὸς τὸν πατέρα περὶ τοῦ λαοῦ τῶν Ἰουδαίων.

21. ὀνειδισμόν] Προεγίνωσκε γὰρ ὁ θεὸς λόγος, ἐρχόμενος ἐπὶ τῆς γῆς, πάντα τὰ τοῦ πάθους, ὅσα ἤμελλε πάσχειν.

καὶ ὑπέμεινα] Οὐκ ἦν ὁ ἀντιλαμβανόμενος τῷ δεσποτικῷ πάθει.

καὶ παρακαλοῦντα] Οὐδὲ γὰρ ἦν τοῦ θνητοῦ ἀνθρώπου παρακαλέσαι θεόν.

22. καὶ ἔδωκαν] Ταῦτα ἐπὶ τοῦ σταυροῦ ὁ Χριστὸς ἔπασχεν· Ἰουδαῖοι δὲ σύμβολα αὐτῶν ἐδίδουν χολήν, ὅτι πικρίας ἐμεμέστωτο αὐτῶν ἡ ψυχή. ὄξος, ὅτι μετεστράφησαν ὡς οἶνος εἰς ὄξος.

23. γενηθήτω] Οὐδὲ γὰρ ἡ

τράπεζα τῶν ἄρτων ἡ ἁγία ὠφέλησεν αὐτούς, ἐγένετο δὲ αὐτοῖς εἰς παγίδα.

καὶ εἰς ἀνταπόδοσιν] Ἐφυσιώθησαν γὰρ οἱ Ἰουδαῖοι ὡς ἄγριοι καὶ ἐγενήθη αὐτοῖς εἰς σκάνδαλον καὶ ἀνταπόδομα κατάρας.

24. σκοτισθήτωσαν] Οἱ νοητοὶ τῆς ψυχῆς, οὐχὶ οἱ σαρκικοί.

καὶ τὸν νῶτον] Τουτέστιν τὸν ἀκαμπῆ τράχηλον αὐτῶν σύγκαμψον τῇ κατάρᾳ τοῦ νόμου.

25. ἔκχεον] Κατὰ πάντων, τουτέστιν πλῆξον αὐτούς ⟨τὸν λαὸν τῶν Ἰουδαίων⟩.

καὶ ὁ θυμός] Ἔφθασε γὰρ ἐπ' αὐτοὺς ἡ ὀργὴ τοῦ θεοῦ ἐν τῷ ἀναστῆναι τὸν κύριον ἐκ νεκρῶν.

26. γενηθήτω] Ἐπαύλεις λέγονται τὰ συνεγγὺς τῶν οἴκων χώρια, ὅ ἐστι τὸ σῶμα τῆς ψυχῆς. ταῦτα δὲ ἐξεπόρθησαν τῇ ἀσεβείᾳ. λέγει δὲ [καὶ] περὶ τοῦ ναοῦ τοῦ ἱεροῦ (τῶν Ἰουδαίων).

καὶ ἐν τοῖς σκηνώμασιν] Λέγει τὰς συναγωγὰς αὐτῶν, [μάλιστα τῶν ναῶν αὐτῶν], ὅτι ἔρημοι πρὸς κατοικίαν ἐγένοντο διὰ τὴν ἀσέβειαν αὐτῶν.

27. ὅτι ὃν σὺ ἐπάταξας] Ὃν γὰρ ὁ πατὴρ ἐβουλεύσατο ἀποστεῖλαι εἰς τὸν κόσμον πρὸς ἀναζήτησιν τοῦ ἀνθρώπου, κατεδίωξαν οἱ Ἰουδαῖοι.

καὶ ἐπὶ τὸ ἄλγος] Τουτέστιν ἐπὶ τῇ ἐκουσίᾳ μου ταπεινώσει προσέθηκαν καὶ αὐτοὶ τὸ μῖσος.

28. πρόσθες ἀνομίαν] Προσέθηκαν γὰρ ἀνομίαν ἐπὶ τῇ ἀνομίᾳ (ἐπὶ τὴν ἀνομίαν)· οὐκ ἠρκέσθησαν γὰρ ἐπὶ τῷ σταυρῷ καὶ τῷ θανάτῳ, ἀλλὰ καὶ τὴν ἀνάστασιν συκοφαντῆσαι ἐπεχείρησαν.

καὶ μὴ εἰσελθέτωσαν] Οἱ γὰρ τοσοῦτον ἁμαρτήσαντες (τοῖς γὰρ τοσοῦτον ἁμαρτήσασι) οὐκέτι πρὸς δικαιοσύνην εἰσὶν εὔθετοι εἰς ἐπάνοδον ⟨εὔθετός ἐστιν ἐπάνοδος⟩.

29. ἐξαλειφθήτωσαν] Ἐξηλείφθησαν γὰρ τῆς συγγενείας τοῦ θεοῦ καὶ τῶν πατέρων οἱ Ἰουδαῖοι καὶ μακρὰν ἐγενήθησαν.

καὶ μετὰ δικαίων] Οὐκέτι γὰρ μετὰ Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακὼβ καὶ τῶν ἄλλων πατριαρχῶν συγκαταριθμηθῆναι δύνανται οἱ Ἰουδαῖοι.

30. πτωχός] Τουτέστιν ἑκουσίως καὶ τὴν ταπείνωσιν καὶ τὴν πτωχείαν ὑπέμεινα, φησὶν ὁ κύριος.

καὶ ἡ σωτηρία] Ἡ σωτηρία, ἡ πραχθεῖσα ὑπὲρ τοῦ ἀνθρώπου, ηὔφρανε τὸν θεόν.

31. αἰνέσω τὸ ὄνομα] Ὁ ἄνθρωπος, φησί, σωθεὶς εὐχαριστίαν μετὰ αἰνέσεως προσφέρει τῷ θεῷ.

μεγαλυνῶ] Οὔτε γὰρ παύσασθαι ἔτι δύναται ὁ ἄνθρωπος μεγαλύνων καὶ δοξάζων καὶ ὑμνῶν (αἰνῶν) τὸν θεόν.

32. καὶ ἀρέσει] Τουτέστιν ἀρέσκει τῷ θεῷ ὁ νέος λαός, τοῖς κέρασι τοῦ σταυροῦ δυναμούμενος. κέρατα (κέρας) γὰρ δύναμις ἑρμηνεύονται (ἑρμηνεύεται). ὁπλὰς δὲ λέγει τὸ ὑποδήσασθαι τὸ εὐαγγέλιον (τοὺς πόδας τῷ εὐαγγελίῳ).

33. ἰδέτωσαν πτωχοί] *Λέγει τὰ ἔθνη· ἐπτώχευσαν γὰρ ἀπὸ θεογνωσίας.*[1]

ἐκζητήσατε] *Ζητήσαντα γὰρ τὰ ἔθνη εὗρον τὴν [χάριν καὶ] ζωὴν τὴν αἰώνιον.*

34. ὅτι εἰσήκουσεν] *Τῶν ἐθνῶν ὡσαύτως, ἐπένοντο γὰρ τῇ ἐλπίδι.*

καὶ τοὺς πεπεδημένους] *Δεδεμένους (πεδημένους) γὰρ τῇ πλάνῃ αὐτοὺς οὐ παρεῖδεν (οὐχ ὑπερεῖδεν).*

35. αἰνεσάτωσαν] *Θαυμάζοντα τὰ μεγαλεῖα τοῦ θεοῦ πάντα τὰ στοιχεῖα (πάντα τὰ στοιχεῖα ἐθαύμαζον τὰ μεγαλεῖα τοῦ θεοῦ), καὶ τὴν δόξαν αὐτοῦ, ἣν κατώρθωσεν ὁ θεὸς λόγος ἐν αὐτοῖς, ἐλθὼν ἐπὶ τῆς γῆς.*[2]

36. ὅτι ὁ θεός] *Τὴν ἐκκλησίαν [ἀνέστησεν γὰρ] κειμένην αὐτὴν χαμαί.*

καὶ οἰκοδομηθήσονται] *Αἱ ἐκκλησίαι πόλεις γὰρ τυγχάνουσι τοῖς ἐξομολογουμένοις· Ἰουδαία γὰρ ἐξομολόγησις ἑρμηνεύεται.*[3]

καὶ κατοικήσουσιν] *Τὰ ἔθνη κατοικήσουσιν ἐκεῖ ἐν τῇ ἐκκλησίᾳ, κληρονομοῦντες τὰ ἐν αὐτῇ ἀγαθά.*[4]

37. καὶ τὸ σπέρμα] *Ἡ διδαχὴ τῶν ἀποστόλων· [ὅ ἐστι δούλων σου. αὐτοὶ] σπέρμα γὰρ ὁ λόγος. αὐτοὶ γὰρ ἄρχουσι τῆς ἐκκλησίας [καὶ τοῦ ἀνθρώπου].*

καὶ οἱ ἀγαπῶντες] *Οἱ πιστοὶ καὶ πάντες οἱ δίκαιοι κατασκηνώσουσιν [ἐν αὐτῇ, τουτέστιν] τῇ πίστει ἐν τῇ ἐκκλησίᾳ· ἐκεῖ γὰρ [οἱ ἀγαπῶντες τὸν θεὸν] λοιπὸν τὴν ἐλπίδα ἔχουσι (ἔχοντες ἀεί).*[5]

LXIX.

Εἰς τὸ τέλος· τῷ Δαυὶδ εἰς ἀνάμνησιν . . .] Ἐπὶ τέλει τῶν αἰώνων εἰς ὑπόμνησιν ἦλθεν (ὅτι ἐλθὼν) ὁ κύριος σῶσαι (σώσει) τὸν ἄνθρωπον.

2. Ὁ θεός, εἰς τὴν βοήθειαν] *Ὁ Χριστὸς ἐκ προσώπου τοῦ ἀνθρώπου παρακαλεῖ, ὡς μὴ παριδεῖν αὐτόν, ἀλλὰ βοηθῆσαι.*

κύριε, εἰς τὸ βοηθῆσαι] *Ὁ Ἀδὰμ πρὸς τὸν θεὸν φησί· σπεῦσον εἰς τὴν ἐμὴν βοήθειαν, ὅτι*

---

[1] V. Bar. add. *εὐφράνθητε οἱ πτωχεύσαντες ἕνεκεν τῆς βασιλείας τῶν οὐρανῶν.*

[2] V. Bar. add. *οὐρανοὺς δὲ λέγει, ὅσοι οὐράνιον φρόνημα ἔχοντες· οὐρανοὶ οἱ ἀπόστολοι, γῆ δὲ οἱ ἄνθρωποι, οἱ ἐρχόμενοι εἰς τὴν θάλασσαν τοῦ βαπτίσματος, καὶ πάντα διδαχθέντες ὑμνοῦσι τὸν θεόν.*

[3] V. Bar. add. *πόλιν λέγει τὸν ἄνθρωπον καὶ ἀνοικοδομεῖται, ἐξομολογούμενος τὰς ἑαυτοῦ ἁμαρτίας.*

[4] V. Bar. add. *οἱ ἐξομολογούμενοι κατοικήσουσιν (κατοικοῦσιν) ἐκεῖ. ποῦ; ἐν τῇ γῇ τῶν πραέων, ὅ ἐστιν αἰώνιος κληρονομία.*

[5] V. Bar. add. *οἱ πιστεύσαντες καὶ βαπτισθέντες καὶ ἐν ἀληθείᾳ ἀγαπήσαντες τὸν κύριον ἐσώθησαν καὶ ἡ χάρις τοῦ ἁγίου πνεύματος κατεσκήνωσεν ἐν αὐτοῖς.*

οὐκέτι φέρω τὸν ὀνειδισμὸν τῶν δαιμόνων.

3. αἰσχυνθείησαν] *Ἐν γὰρ τῷ ἰδεῖν (τοὺς δαίμονας) τοσοῦτον τιμηθέντα τὸν ἄνθρωπον, κατῃσχύνθησαν σφόδρα, τὸ δὲ ὅλον οἱ Ἰουδαῖοι κατῃσχύνθησαν καὶ ἐνετράπησαν κατὰ τοῦ θεοῦ ὁπλισάμενοι.*

ἀποστραφείησαν] *Καὶ τίνες οἱ κατὰ τοῦ Χριστοῦ ἐνενόησαν, ἀλλ' ἢ οἱ Ἰουδαῖοι; ἀπεστράφησαν δὲ κατῃσχυμμένοι, ἀντιστῆναι τῇ σοφίᾳ καὶ τῷ λόγῳ τοῦ θεοῦ μὴ δυνηθέντες.*[1]

4. ἀποστραφείησαν παραυτίκα] *Παραυτίκα, τουτέστιν παρευθὺ κατῃσχύνθησαν οἱ κράζοντες ἐπὶ τοῦ σταυροῦ Ἰουδαῖοι· οὐά, οὐά.*

5. ἀγαλλιάσθωσαν] *Οἱ ἀπόστολοι καὶ ὅσοι δι' αὐτῶν ἐπίστευσαν καὶ ὅσοι ἐπένθουν ἐπὶ τῷ πάθει τοῦ Χριστοῦ ⟨κυρίου⟩· εὐφράνθησαν [γὰρ οὗτοι] ἐπὶ τῇ ἀναστάσει.*

καὶ λεγέτωσαν] *Οἱ πιστοί· αὐτοὶ γὰρ ἀεὶ οὐ παύονται μεγαλύνοντες καὶ δοξάζοντες τὸν κύριον διὰ παντός.*

οἱ ἀγαπῶντες] *Οἱ δεξάμενοι καὶ ἀγαπήσαντες τὴν ἐπιφάνειαν τοῦ κυρίου ἡμῶν.*

6. ἐγὼ δὲ πτωχός] *Ὁ Χριστὸς φησίν, ὁ ἑκουσίως πτωχεύσας διὰ τὸν ἄνθρωπον.*[2]

βοηθός μου] *Αὕτη φωνὴ τοῦ Ἀδάμ· ⟨κύριε⟩, μὴ χρονίσῃς, ἀλλὰ σπεῦσον, φησίν, εἰς τὴν ἐμὴν σωτηρίαν.*[3]

LXX.

Τῷ Δαυὶδ ψαλμὸς τῶν υἱῶν Ἀμιναδάμ (Ἀδάβ) . .] *Περὶ τῆς πρώτης αἰχμαλωσίας τοῦ Ἰσραὴλ ὁ προφήτης λέγει, οἳ ἐταπεινώθησαν εἰς χεῖρας ἐχθρῶν. Ἀμιναδὰμ γὰρ πατρὸς ταπείνωσις ἑρμηνεύεται. δηλοῖ δὲ ὁ ψαλμὸς καὶ τὰ περὶ τοῦ Χριστοῦ μυστήρια.*

1. Ὁ θεός, ἐπὶ σοὶ ἤλπισα] *Ἐκ προσώπου τοῦ ἀνθρώπου ποιεῖται ὁ Χριστὸς τὴν ἱκεσίαν πρὸς τὸν πατέρα.*

2. ἐν τῇ δικαιοσύνῃ] *Κατὰ τὴν δικαιοσύνην γὰρ τοῦ θεοῦ ἐσώθη ὁ ἄνθρωπος, οὐ κατὰ τὰς δικαιοσύνας τὰς ἰδίας (οὐ γὰρ κατ' ἰδίαν δικαιοσύνην).*

κλῖνον πρὸς μέ] *Εἰ μὴ γὰρ ἔκλινεν ὁ θεὸς ἑαυτὸν πρὸς τὸν ἄνθρωπον, πῶς ἠδύνατο σωθῆναι;*

3. γενοῦ μοι] *Ὁ Χριστὸς γὰρ ἐμεσίτευσε θεῷ καὶ ἀνθρώποις.*

εἰς τόπον ὀχυρόν] *Ἰσχυρὸς γὰρ καὶ ἀκαταπόνητος (ἀκαταπόντιστος) ὁ τόπος τῆς ἐκκλησίας, ἐν ᾧ σώζεται ὁ ἄνθρωπος.*

---

[1] V. nonnihil differt: *οἱ . . ἐννοήσαντες ἢ Ἰουδαῖοι; ἀπεστράφησαν δὲ Ἰουδαῖοι κατῃσχυμμένοι καὶ μὴ δυνάμενοι ἀναστῆναι τῇ σοφίᾳ καὶ τῷ λόγῳ τοῦ θεοῦ.*

[2] Ven. in fine add. *ἵνα πλουτήσῃ ὁ ἄνθρωπος;* sed N. A. omittunt.

[3] Ven. sic: *Τουτέστιν μὴ χρονίσῃς εἰς τὴν ἀναζήτησίν μου.*

ὅτι στερέωμα] *Ἐλθὼν γὰρ ὁ κύριος ἐστερέωσε τῇ πίστει τὸν ἄνθρωπον, ὥστε μηκέτι σαλεύεσθαι αὐτὸν ὑπὸ τῶν δαιμόνων.*

4. *ὁ θεός, ῥῦσαί με*] *Ἐκ τοῦ διαβόλου [καὶ τῶν δαιμόνων]· αὐτὸν γὰρ πρὸς ἀλήθειαν ἡ γραφὴ ἁμαρτωλὸν καλεῖ (αὐτοὶ γὰρ ἁμαρτωλοὶ πρὸς ἀλήθειαν).*

ἐκ χειρός] *Ὡσαύτως τοῦ διαβόλου· ἑκάτερα γὰρ αὐτὸς παρασκευάζει τῷ ἀνθρώπῳ.*

5. *ὅτι σὺ εἶ*] *Καὶ ὑπομονὴ καὶ ἐλπὶς τοῦ ἀνθρώπου ὁ Χριστός ἐστιν ἐκ νεότητος ἕως γήρους, ὅ ἐστιν ἀφ' οὗ ἐγεννήθη ἕως τοῦ θανάτου, ἀλλὰ γὰρ καὶ εἰς τὸν αἰῶνα τὸν μέλλοντα.*

6. *ἐπὶ σὲ ἐπεστηρίχθην*] *Δῆλον ἀφ' οὗ γὰρ συνελήφθη ὁ ἄνθρωπος, τῷ θεῷ ἀνάκειται. δίχα γὰρ θεοῦ ἀδύνατον γεννᾶσθαι (γενέσθαι) ἄνθρωπον.*

ἐκ κοιλίας μητρός] *Καὶ ἀπ' αὐτῆς γὰρ πάλιν τῆς κοιλίας προελθὼν ὁ ἄνθρωπος, χειρὶ θεοῦ σκέπεται. ἑκάτερα δὲ πράττει ὁ Χριστὸς ἐν σχήματι ἀνθρώπου, ἵνα σώσῃ τὸν ἄνθρωπον.*

ἐν σοί] *Ἐν τίνι γὰρ ὁ ἄνθρωπος καυχᾶται καὶ μεγαλύνεται; οὐχὶ ἐπὶ τῷ θεῷ; αὐτὸν γὰρ διηνεκῶς ὑμνεῖ.*

7. *ὡσεὶ τέρας*] *Ὁ Χριστὸς φησίν· οὐκ ἐπίστευον γὰρ οἱ Ἰουδαῖοι, ὅτι θεὸς ἐν ἀνθρώπῳ κρύπτεται. περὶ αὐτοῦ γὰρ εἴρηται· καὶ ἔσται εἰς σημεῖον ἀντιλεγόμενον.*

καὶ σὺ βοηθός] *Τοῦ ἀνθρώπου ὁ Χριστός ⟨βοηθός ἐστι⟩.*

8. *πληρωθήτω*] *Ὅταν ἐνεφύσησε τοῖς ἀποστόλοις ὁ Χριστός, εἰπών· λάβετε πνεῦμα ἅγιον, τότε τῶν πιστῶν ἐπληρώθη τὸ στόμα τῆς αἰνέσεως τοῦ Χριστοῦ.*

ὅπως ὑμνήσω] *Ὑμνοῦντες γὰρ οἱ πιστοὶ οὐ παύονται λοιπόν.*

ὅλην τὴν ἡμέραν] *Ὅλον γὰρ τὸν αἰῶνα οὐ παύεται ἡ κτίσις (οὐ παύονται οἱ πιστοὶ) μεγαλύνουσα (μεγαλύνοντες) τὴν δόξαν τοῦ θεοῦ.*

9. *μὴ ἀπορίψῃς*] *Μὴ συγχωρήσῃς με, φησὶν ὁ ἄνθρωπος, ἐλθεῖν εἰς τὸν θάνατον τῆς ἁμαρτίας.*

ἐν τῷ ἐκλιπεῖν] *Φησὶν ὁ ἄνθρωπος· κύριε, ὅταν περιπέσω τῇ ἁμαρτίᾳ μου καὶ ἐκλείπῃ ἡ ἰσχὺς τῆς ψυχῆς μου, μὴ παρίδῃς με.*

10. *ὅτι εἶπαν*] *Οἱ δαίμονες τῷ ἀνθρώπῳ· ποῦ ἐστιν ὁ θεός σου; ὡς καὶ Ἰουδαῖοι τῷ Χριστῷ· πόθεν τούτῳ ἡ σοφία αὕτη;*

καὶ οἱ φυλάσσοντες] *Ὁ Ἰούδας ὡς μαθητὴς καὶ φύλαξ ἐβουλεύετο μετὰ τοῦ λαοῦ τὸ πῶς αὐτὸν παραδῶσαι (παραδώσει) αὐτοῖς.*

11. *λέγοντες· ὁ θεός*] *Ἔλεγον γὰρ οἱ Ἰουδαῖοι, ὅτι ἐχθρός ἐστι τοῦ θεοῦ, ὅτι τὸ σάββατον λύει.*

καταδιώξατε] *Ἀπέστειλαν γὰρ οἱ Ἰουδαῖοι ὑπηρέτας, ἵνα κρατήσωσιν αὐτὸν ὡς φεύγοντα· ἐνόμιζον γὰρ ψιλὸν ἄνθρωπον κρατεῖν.*

12. *ὁ θεός*] *Ὁ Χριστὸς πρὸς τὸν πατέρα προσεύχεται, βεβαιῶν τὴν ἐνανθρώπησιν.*

ὁ θεός μου] Ὁ Χριστὸς ἐκ προσώπου τοῦ ἀνθρώπου βοᾷ.

13. αἰσχυνθήτωσαν] Οἱ Ἰουδαίων παῖδες λοιδοροῦντες [ἕως ἄρτι] τὸν Χριστὸν οὐ παύονται· ἐξέλιπον δὲ ⟨γὰρ⟩ ἐν αἰσχύνῃ, ἰδόντες τὸν Χριστὸν ἐγερθέντα (ἀναστάντα) ἐκ τῶν νεκρῶν.

περιβαλέσθωσαν] Ἐμαρτύρουν γὰρ κατὰ τοῦ Χριστοῦ (κυρίου) ψευδῆ καὶ κατῃσχύνοντο μηδὲν ἀληθεύοντες (ἀληθῆ λέγοντες).

14. ἐγὼ δέ] Ὁ Χριστός φησι πρὸς τὸν πατέρα λέγων· ἐπισυνάξω τὸν ἄνθρωπον καὶ δώσω αὐτῷ ἐλπίδα ζωῆς, ὥστε αἰνεῖν καὶ δοξάζειν ἀκαταπαύστως τὸν θεόν.

15. τὸ στόμα μου] Τοῦ Χριστοῦ· αὐτοῦ γὰρ τὸ στόμα ἀληθείας πλῆρες καὶ τὰ χείλη μὴ ψευσάμενα, ἀλλ' ὅλα (ὅλος) δικαιοσύνης.

ὅλην τὴν ἡμέραν] Ὅλην γὰρ τὴν ἡμέραν ἐκτεταμένος ἐπὶ τοῦ σταυροῦ εἰργάσατο τὴν σωτηρίαν τοῦ ἀνθρώπου.

ὅτι οὐκ ἔγνων] Τουτέστιν οὐκ ἔγνων πονηρίας, ἃς γράφουσι μὲν οἱ ἄπιστοι, ὑπαγορεύουσι δὲ οἱ δαίμονες.

16. εἰσελεύσομαι] Εἰσελεύσομαι, φησὶν ὁ πιστὸς ἄνθρωπος, ἐν δυναστείᾳ κυρίου εἰς τὸν ἀγῶνα τῆς πίστεως.

κύριε, μνησθήσομαι] Μόνης γὰρ τῆς τοῦ θεοῦ δικαιοσύνης χρῄζουσιν οἱ δίκαιοι.

17. ἐδίδαξάς με] Ὡς (ὅσα ἄρα) γεννηθεὶς (ἀνακαινισθεὶς) διὰ τοῦ βαπτίσματος καὶ νέος ὢν ἐδιδάχθην τὰ τῆς πίστεως.

καὶ μέχρι νῦν] Ἕως γὰρ τοῦ αἰῶνος τῇ πίστει ὁ ἄνθρωπος τοῦ θεοῦ τὴν δύναμιν ἀπαγγέλλει.

18. καὶ ἕως γήρους] Ἕως γὰρ ἂν καταγηράσωσιν οἱ αἰῶνες, τὰ τῆς πίστεως λυθῆναι οὐ δύνανται.

ἕως ἂν ἀπαγγείλω] Τῇ γενεᾷ τῇ πιστῇ, τουτέστιν τῷ λαῷ τῷ ἐξ ἐθνῶν, ἕως οὗ διδαχθῶσι καὶ (κατὰ) τὴν δύναμιν τοῦ βραχίονός σου, ὅ ἐστι τὰ μυστήρια.

19. τὴν δυναστείαν σου] Τὴν γὰρ δύναμιν τοῦ Χριστοῦ καὶ τὴν δικαιοσύνην οἱ πιστοὶ διηγοῦνται ἕως τῶν οὐρανῶν.

ἃ ἐποίησας] Ὅσα τῷ γένει τῶν ἀνθρώπων παρέσχεν ὁ θεός, τίς τούτοις ὁμοιωθήσεται ἢ τίς ἱκανὸς διηγήσασθαι;

20. ὅτι ἔδειξάς μοι] Ὅσας ἡ παρακοὴ ἤγαγε τῷ Ἀδὰμ τὰς πληγάς, τὰ τραύματα, τοὺς μώλωπας, οὓς ὁ Χριστὸς ἀνέλαβεν, ἵνα ζήσῃ ὁ ἄνθρωπος.

καὶ ἐπιστρέψας] Παραγενόμενος καὶ ζητήσας τὸ ἀπολωλὸς καὶ ἀγαγὼν εἰς τὴν ζωήν.

καὶ ἐκ τῶν ἀβύσσων] Ἐκ τῆς γηΐνης πολιτείας τῆς πολυπαθοῦς, ἥτις ὡς ἄβυσσον ἔχει τὴν ἁμαρτίαν, ἐκ ταύτης ἀνασπάσας ἔσωσε τὸν ἄνθρωπον ὁ θεός.

21. πλεονάσας] Τίς γὰρ δυνατὸς (ἱκανὸς) διηγήσασθαι τὰ μεγαλεῖα τοῦ θεοῦ, ἃ διὰ τὸν ἄνθρωπον ἐποίησεν;

καὶ ἐπιστρέψας] Ἀντὶ γὰρ ὀργῆς καὶ ἐπιπλήξεως ἁμαρτήσαντα τὸν Ἀδὰμ (ἁμαρτήσαντι τῷ Ἀδὰμ) ἀναλαβὼν ἐβάσταζε, παράκλησιν αἰώνιον αὐτῷ ποιήσας.

22. καὶ γὰρ ἐξομολογήσομαι] Πάλιν γὰρ ὁ ἄνθρωπος σωθεὶς ἐξομολογεῖται ἐν τῇ ἐκκλησίᾳ. αὕτη γάρ ἐστι σκεῦος ψαλμῶν, ὡς ἐν αὐτῇ τελούμενα τὰ (τελουμένων) τῶν ψαλμῶν πάντων ⟨πάντα⟩.

τὴν ἀλήθειάν σου] Ἐν ἀληθείᾳ γὰρ καὶ ἐν ὅλῃ ψυχῇ ψάλλων ὁ ἄνθρωπος οὐ παύεται, κρούων τὴν κιθάραν τοῦ πνεύματος, ἣν ἔκρουσαν προφῆται καὶ ἀπόστολοι.

23. ἀγαλλιάσονται] Τὴν πνευματικὴν ἀγαλλίασιν, ἥτις εὐφραίνει τὸν κατὰ θεὸν ἄνθρωπον.

καὶ ἡ ψυχή μου] Ὑπὲρ τὰ χείλη γὰρ ἡ ψυχὴ ἀγαλλιᾶται ψάλλουσα.

24. ἔτι δὲ καὶ ἡ γλῶσσα] Ἀκαταπαύστως, φησίν, οὐ παύεται ὁ πιστὸς ἄνθρωπος δοξάζων τὸν θεόν.

ὅταν αἰσχυνθῶσιν] Οἱ Ἰουδαῖοι ἀπηνέγκαντο τὴν αἰώνιον αἰσχύνην, οἵτινες κακὰ ἐνενόησαν κατὰ τοῦ Χριστοῦ (θεοῦ).

LXXI.

Εἰς Σαλομών] Εἰς τὸν Χριστόν φησι· Σαλομὼν γὰρ ἑρμηνεύεται εἰρήνη, ἡ εἰρήνη δὲ ἡμῶν ἐστιν ὁ Χριστός.

1. Ὁ θεός, τὸ κρῖμα] Ὁ πατὴρ τῷ υἱῷ. πᾶσαν γὰρ τὴν κρίσιν ἔδωκε τῷ υἱῷ· αὐτὸς γὰρ ἔρχεται κριτὴς ζώντων καὶ νεκρῶν.

καὶ τὴν δικαιοσύνην] Ὡς βασιλεὺς [βασιλεῖ] ὁ πατὴρ τῷ υἱῷ δίδωσι τὴν δικαιοσύνην.

2. κρίνειν τὸν λαόν] Τὸν λαόν τὸν ἐξ ἐθνῶν, τὸν πιστόν· ἐπτώχευον γὰρ ἀπὸ θεοσεβείας. τούτους ἐν κρίσει ἔκρινεν, ἀποδοὺς αὐτοῖς τὴν κρίσιν ἐν δικαιοσύνῃ.

3. ἀναλαβέτω τὰ ὄρη] Ὄρη οἱ προφῆται διὰ τὸ ὕψος τῶν δογμάτων· αὐτοὶ δὲ τὴν εἰρήνην προανεφώνησαν τῷ κόσμῳ. βουνοὶ οἱ ἀπόστολοι, ὡς ὑψηλότεροι τῆς γηΐνης πολιτείας καὶ πλήρεις δικαιοσύνης γενόμενοι. ἑκάτερα δὲ ὁ Χριστός.

4. κρινεῖ τοὺς πτωχούς] Τοὺς πτωχοὺς τῇ καρδίᾳ ἐν τοῖς λαοῖς καὶ τοὺς ἑκούσιον πενίαν ἑλομένους, οἵτινες ἀφῆκαν πάντα διὰ τὸν Χριστὸν καὶ ἠκολούθησαν αὐτῷ.[1]

καὶ ταπεινώσει] Τὸν διάβολον ὡς ἀεὶ τὸν ἄνθρωπον ἐνδιαβάλλοντα.

5. καὶ συμπαραμενεῖ] Τὸ κρῖμα καὶ ἡ δικαιοσύνη τοῦ Χριστοῦ φωτίζουσιν (φωτίζων) ὡς ὁ ἥλιος. γέγραπται γάρ· καὶ ἔσται τὸ κρῖμα αὐτοῦ εἰς φῶς ἐθνῶν.

καὶ πρὸ τῆς σελήνης] Τουτέστιν

[1] V. add. ἀκούουσι περὶ κυρίου τὸ δεῦτε οἱ εὐλογημένοι τοῦ πατρός μου, καὶ τὰ ἑξῆς.

καὶ (ὡς) ὑπὲρ τὸ φῶς τῆς σελήνης τὸ κρῖμα τοῦ θεοῦ φωτίζον εἰς αἰῶνα αἰῶνος.

6. καὶ καταβήσεται] *Ὁ Χριστὸς ἐπὶ τὴν παρθένον ἡσύχως· ὁ γὰρ ὑετὸς ἐπὶ πόκον ἐρίου κατιὼν τὸν ψόφον οὐ ποιεῖ (οὐκ ἀποτελεῖ).*

καὶ ὡσεὶ σταγόνες] *Καὶ τοῦτο τὴν παρθένον λέγει ἡ προφητεία (ὁ προφήτης)· δύναμις γὰρ ὑψίστου, φησί, ἐπισκιάσει σοι, ὅ ἐστι σταγόνες. γῆν δὲ λέγει τὸ σῶμα τῆς παρθένου.*

7. ἀνατελεῖ] [*Τὴν ἐπιφάνειαν τοῦ Χριστοῦ λέγει, δι' ἧς ἐσώθη πᾶσα ψυχή.*]

καὶ πλῆθος εἰρήνης] *Ἐν γὰρ τῇ ἐπιφανείᾳ αὐτοῦ τοσαύτη ἔσται εἰρήνη, ὥστε τὸ φῶς αὐτῆς ὑπὲρ τὸ φῶς τῆς σελήνης φωτίζειν πᾶσαν τὴν κτίσιν.*

8. καὶ κατακυριεύσει] *Ὁ κύριος, φησί, κατάρχων ὑδάτων πολλῶν, ὡς γέγραπται, τουτέστιν ἀπὸ τῆς θαλάσσης τοῦ βαπτίσματος ἕως τῆς θαλάσσης τῶν δακρύων τῆς μετανοίας. ἐν τούτοις γὰρ τοῖς ὕδασιν κατακλύζεται (κατασκεδάννυται) ἡ ἁμαρτία.*

καὶ ἀπὸ ποταμοῦ] *Ἀπὸ γὰρ τοῦ ποταμοῦ τοῦ Ἰορδάνου ἀρξάμενον τὸ βάπτισμα διέδραμεν ἐπὶ (εἰς) τὰ πέρατα τῆς οἰκουμένης.*

9. ἐνώπιον αὐτοῦ] *Ἐνώπιον τοῦ βαπτίσματος οἱ δαίμονες ὡς μέλανες· ἐν αὐτῷ γὰρ ἔπεσαν.*

καὶ οἱ ἐχθροί] *Οἱ ἐχθροὶ τοῦ Χριστοῦ, οἱ Ἰουδαῖοι, ὡς τοῦ ἀνθρώπου οἱ δαίμονες, οἵτινες ἔπεσον πτῶμα ἐξαίσιον ἐπὶ* [*τὸν χοῦν*] *τῆς γῆς.*

10. βασιλεῖς] *Θαρσεὶς λέγει τοὺς μεγάλους βασιλεῖς· ἔστι δὲ ἡ (μεγάλη) βασιλεία τῶν Ῥωμαίων καὶ αἱ νῆσοι ὡς ἰσχυρῶς φρουρούμεναι τῇ θαλάσσῃ τοῦ βαπτίσματος. ἐν αὐταῖς γὰρ τὰ δῶρα προσφέρονται τῷ θεῷ. αἰνίττεται δὲ ὁ λόγος καὶ τοὺς μάγους.*[1]

βασιλεῖς Ἀράβων] *Σαβὰ ἡ βασιλίσσα τῷ Σαλομῶνι δῶρα προσήνεγκεν, ὡς ἡ ἐκκλησία ἡ ἐξ ἐθνῶν, τῷ Χριστῷ ἐπιστρέψασα. Σαβὰ γὰρ ἐπιστροφὴ ἑρμηνεύεται. Χριστὸς δέ ἐστιν ἡ εἰρήνη, ὡς Σαλομών.*

11. καὶ προσκυνήσουσιν] *Τῷ Χριστῷ· αὐτῷ γὰρ πᾶσα βασιλεία προσκυνεῖ ὡς θεῷ μέχρι τῆς σήμερον καὶ εἰς τὸν αἰῶνα.*

πάντα τὰ ἔθνη] *Τῷ Χριστῷ πᾶσα ἡ κτίσις καὶ οἱ ἐνοικοῦντες ἐν αὐτῇ.*

12. ὅτι ἐρύσατο] *Ὁ Χριστὸς τὸν ἄνθρωπον* [*ἐλευθερώσας ἐκ τῆς καταδυναστείας*] *τοῦ διαβόλου.*

καὶ πένητα] *Ὡσαύτως τὸν ἄνθρωπον ὡς ἀβοήθητον.*

13. φείσεται πτωχοῦ] *Τοῦ ἀνθρώπου· πτωχὸς γὰρ ἦν, μὴ ἔχων οἶκον τὴν ἐκκλησίαν· πένης δὲ ἦν,*

---

[1] V. add. *εἰσὶν οὖν βασιλεῖς οἱ ἀπόστολοι, νῆσοι δὲ αἱ ἐκκλησίαι* (N.Ven. add. *ὡς ὠχυρωμέναι τῇ θαλάσσῃ τοῦ βαπτίσματος*)· *ἐν αὐταῖς προσφέρουσι τὰς ἀρετὰς καὶ τὰς θυσίας οἱ πιστοί.*

μήπω ἐσθίων τὸν ἄρτον τὸν μυστικόν, μηδὲ πίνων τὸν οἶνον τὸν μυστικόν.

καὶ ψυχάς] *Τῶν ἐθνῶν· ἐπτώχευον (ἐπτώχευσαν γὰρ) ἀπὸ θεοσεβείας, νῦν δὲ πλουτοῦσι καὶ τῇ πίστει καὶ τῇ χάριτι.*

14. ἐκ τόκου] *Ὥσπερ γὰρ κακὸς δανειστής, οὕτως ἐτοκοφόρει αὐτοῖς τὴν ἁμαρτίαν ὁ διάβολος· ἐλυτρώθησαν δὲ σωθέντες τῇ χάριτι.*

καὶ ἔντιμον] *Ἐνώπιον τῶν ἐθνῶν τὸ ὄνομα τοῦ Χριστοῦ, ὡς αὐτῷ πιστεύσαντες καὶ δι᾽ αὐτοῦ σωθέντες.*

15. καὶ ζήσεται] *Λέγει ἡ γραφὴ τῷ Σαλομῶνι, κεῖται δὲ εἰς τὸν Χριστόν, ὅτι γεννηθέντος αὐτοῦ (γεννηθέντι αὐτῷ) προσηνέχθη ὁ χρυσὸς ἐπὶ τέλει τῶν αἰώνων [ἑσπέραν γὰρ τὸ τέλος λέγει]. Ἀραβία γὰρ ἑσπέρα ἑρμηνεύεται, ὅ ἐστι τέλος.*

καὶ προσεύξονται] *Τουτέστιν εἰς αὐτὸν πάντες οἱ πιστοὶ αὐτῷ καὶ εἰς αὐτὸν εὔχονται εἰς τὸν αἰῶνα.*[1]

ὅλην τὴν ἡμέραν] *Τουτέστιν ἀκαταπαύστως καὶ διὰ παντός.*[2]

16. ἔσται στήριγμα] *Ὁ σταυρὸς ἐπὶ τῆς κορυφῆς τοῦ ὄρους τοῦ Γολγοθᾶ· ἐν αὐτῷ γὰρ ἐστηρίχθη ἡ γῆ ἀπὸ τοῦ σάλους τῶν δαιμόνων.*[3]

ὑπεραρθήσεται] *Ὑψώθη γὰρ ὑπὲρ τὰς εἰδωλικὰς θυσίας ἡ θυσία ἡ ἐπὶ τοῦ σταυροῦ. Λίβανος γὰρ ἑρμηνεύεται οἰκητήριον εἰδώλων (δαιμόνων).*

καὶ ἐξανθήσουσιν] *Οἱ δαίμονες ὡς χόρτος ἄκαρπος ἐξεδιώχθησαν ἀπὸ τῆς ἐκκλησίας· πόλις γὰρ τῶν πιστῶν ἡ ἐκκλησία.*

17. ἔστω τὸ ὄνομα] *Τοῦ Χριστοῦ τὸ ὄνομα εὐλογημένον [εἰς τοὺς αἰῶνας] ὑπὸ (ἀπὸ) πάσης πνοῆς.*

πρὸ τοῦ ἡλίου] *Πρὸ τοῦ ἡλίου γὰρ καὶ πρὸ πάσης τῆς κτίσεως ἦν ὁ υἱὸς σὺν τῷ πατρὶ ὡς φῶς ἐκ φωτός.*

καὶ εὐλογηθήσονται] *Ἐν τῷ ὀνόματι Ἰησοῦ (κυρίου) ἡγιάσθη τὸ γένος τὸ ἀνθρώπινον ἐπὶ τῆς γῆς.*

πάντα τὰ ἔθνη] *Ἐν αὐτῷ γὰρ μακαρίζονται πάντες οἱ εἰς Χριστὸν πιστεύσαντες (πιστεύοντες).*

18. εὐλογητός] *Πᾶσα γὰρ ἡ κτίσις εὐλογεῖ τὸν θεόν, ἐφ᾽ οἷς ἠλέησε τὰ σύμπαντα δυνάμει μεγάλῃ.*

19. καὶ εὐλογητόν] *Καὶ γὰρ εὐλογητὸν ἀληθῶς τὸ ὄνομα τοῦ Χριστοῦ ἀπὸ τοῦ αἰῶνος καὶ εἰς τὸν αἰῶνα.*

καὶ πληρωθήσεται] *Ἐπλήσθη γὰρ ἡ σύμπασα κτίσις τῆς πίστεως τῆς δόξης τοῦ Χριστοῦ ἕως τοῦ αἰῶνος.*

---

[1] V.: *Οἱ πιστοὶ ἀκαταπαύστως ἀεὶ τῷ κυρίῳ δουλεύουσιν.*

[2] V.: *Ἐν ὅλῃ τῇ ζωῇ αὐτοῦ ὁ ἄνθρωπος ὁ πιστὸς οὐ παύεται ὑμνῶν τὸν θεόν· ὑμνοῦσι δὲ οἱ πιστοὶ ὅλην τὴν ἡμέραν τῆς ἀναστάσεως.*

[3] V. add. *γῆ γὰρ ὁ ἄνθρωπος καὶ ἐστηρίχθη τῇ δυνάμει τοῦ σταυροῦ.*

LXXII.

Ψαλμὸς τῷ Ἀσάφ[1]] *Ἐξέλιπε, φησίν, ἡ προφητεία λαλῆσαι περὶ Χριστοῦ, ἀλλὰ περὶ τῆς ἀθέσμου συναγωγῆς νῦν ὁ λόγος· Ἀσὰφ γὰρ συναγωγὴ ἑρμηνεύεται.*

1. Ὡς ἀγαθός] *Ἐν ᾧ γὰρ εὐθὴς ἦν ὁ λαὸς τῶν Ἰουδαίων, πολλὰ ἀγαθὰ παρέσχεν αὐτοῖς ὁ θεὸς ὡς ἀγαπωμένοις.*

2. ἐμοῦ δέ] *Τῆς συναγωγῆς τουτέστιν τοῦ λαοῦ. ἐσαλεύθησαν γὰρ σάλῳ δεινῷ, τουτέστιν οὐ μικρῶς.*

παρ' ὀλίγον] *Ἐξέκλινε γὰρ ἡ συναγωγὴ ἐκ τῆς ὁδοῦ τῆς δικαίας (τῆς δικαιοσύνης), ἀπιστήσασα τῷ θεῷ.*

3. ὅτι ἐζήλωσα] *Ζηλώσασα τοὺς δαίμονας ἡ συναγωγή.*

εἰρήνην] *Ὁρῶσα γὰρ τοὺς δαίμονας ἀγαλλιωμένους ταῖς θυσίαις ἐμιμήσατο αὐτούς.*

4. ὅτι οὐκ ἔστιν] *Οὐ γὰρ [ἔτι] ἀναστῆναι δύνανται οἱ Ἰουδαῖοι, πεσόντες πτῶμα ἐξαίσιον.*

καὶ στερέωμα] *Ἐστερεώθη γὰρ ἡ πρὸς αὐτοὺς ἀπειλή, μαστιγωθέντες τῇ γεέννῃ.*

5. ἐν κόποις] *Οὔτε γὰρ ἀνθρώπων πιστῶν ἔργον εἰργάσαντο, ἀλλὰ τῶν δαιμόνων. διὰ τοῦτο γὰρ ἀνθρωπίνης τιμωρίας οὐκ ἀξιωθήσονται (ἠξιώθησαν), ἀλλὰ τῆς ὑπὲρ ἄνθρωπον ἀνηκέστου (ἀνεικάστου).*

6. διὰ τοῦτο ἐκράτησεν] *Οὔτε γὰρ ὑπέστειλαν εἰς τέλος πρᾶξαι τὴν ἀνομίαν αὐτῶν (ἕως εἰς τέλος ἔπραξαν τὴν ἀνομίαν).*

περιεβάλοντο] *Τὴν γὰρ ἀδικίαν αὐτῶν καὶ τὴν ἀσέβειαν ὡς ἱμάτιον ἐνεδύσαντο, ἣν ἔπραξαν εἰς τὸν θεόν.*

7. ἐξελεύσεται] *Τελεία τουτέστιν λιπαρά· ἀπὸ καρδίας γὰρ αὐτὴν (αὐτῶν) ἔπραξαν καὶ ἀπὸ ψυχῆς.*

διῆλθον] *Ἐξακολουθήσαντες τῇ καρδίᾳ ⟨καὶ⟩ κακὰ βουλευσάμενοι.*

8. διενοήθησαν] *Λογισάμενοι πονηρὰ ἐλάλησαν κατὰ τοῦ θεοῦ (πονηρίαν κατελάλησαν τοῦ θεοῦ).*

ἀδικίαν] *Βλασφημήσαντες εἰς τὸν θεὸν καὶ εἰπόντες· δαιμόνιον ἔχεις (ἔχει).*

9. ἔθεντο εἰς οὐρανόν] *Τοσοῦτον ὕψωσαν τὴν βλασφημίαν, ὡς καὶ αὐτοῦ κατατολμᾶν τοῦ οὐρανοῦ.*

καὶ ἡ γλῶσσα] *Ἐπὶ γῆς γὰρ ὄντες οἱ Ἰουδαῖοι τὰ οὐράνια ἐψηλάφων.*

10. διὰ τοῦτο ἐπιστρέψει] *Ποῖος λαός; ὁ ἰουδαϊκός, ἐνταῦθα· ποῦ; ἐν τῇ ἀφροσύνῃ αὐτῶν, ὡς κύων ἐπὶ τὸν ἴδιον ἔμετον.*

καὶ ἡμέραι] *Πληρωθήσονται γὰρ ἡμέραι κακαὶ (πονηραὶ) ἐν αὐτοῖς, αἵτινες τιμωρήσονται (τιμωροῦνται) αὐτοὺς αἰωνίως.*

11. καὶ εἶπαν] *Ψιλὸν γὰρ ἐνόμιζον ἄνθρωπον τὸν ὑπ' αὐτῶν βλασ-*

---

[1] V. incipit sic: *Τέλος τοῦ δευτέρου βιβλίου. ἐξέλιπον οἱ ὕμνοι Δαυὶδ τοῦ υἱοῦ Ἰεσσαί.* Nunc sequitur: *Ψαλμὸς τῷ Ἀσάφ.*

φημούμενον καὶ ἐθαύμαζον, πῶς ἔγνω (ἐνόει) αὐτῶν τὰς ἐνθυμήσεις.

καὶ εἰ ἔστιν] *Ἔλεγον γάρ· πόθεν τούτῳ ἡ σοφία αὕτη;*

12. *ἰδοὺ ἁμαρτωλοί*] *Οἱ Ἰουδαῖοι· οὐδὲν γὰρ ἔθνος ἐπλούτει οὕτως [τῶν] ἐπὶ γῆς καὶ νοητοῦ καὶ αἰσθητοῦ πλούτου τὰς δωρεὰς καὶ τὰς εὐεργεσίας τοῦ θεοῦ, ἢ (καὶ) τὸ λέγεσθαι γένος (γένους) θεοῦ.*

13. *καὶ εἶπα*] *Ὁ προφήτης ἀπολέγεται λέγων· ἆρα μάτην τὴν δικαιοσύνην διώκω, οἱ ἁμαρτωλοὶ δὲ εὐθηνοῦσιν; αἰνίττεται δὲ τοὺς Ἰουδαίους, ὡς δῶρα ἐξ ἀδικίας λαμβάνοντας.*

14. *καὶ ἐγενόμην*] *Ἐν νηστείᾳ (νηστείαις) καὶ ἐγκρατείᾳ καὶ ἀγρυπνίᾳ καὶ πάσῃ κακουχίᾳ διὰ τὸν θεόν.*

καὶ ὁ ἔλεγχός μου] *Πρωΐας γὰρ γενομένης τῆς ἀναστάσεως τοῦ Χριστοῦ τὸ ἀσθενὲς τῶν Ἰουδαίων ἠλέγχθη.*

15. *εἰ ἔλεγον*] *Ἔλεγε γὰρ ὁ σωτὴρ· διηγήσασθε αὐτοῖς τὰ μεγαλεῖα τῆς βασιλείας τῶν οὐρανῶν, αὐτοὶ δὲ ἀνήκοοι ἐγένοντο τῇ ἀπιστίᾳ.*

ἰδοὺ τῇ γενεᾷ] *Ὅτι γένος θεοῦ ὑπάρχοντες ἀσύνετοι (ἀσύνθετοι) γεγόνασι, τουτέστιν ἀνήκοοι, καθὼς γέγραπται· ἀνήκοος (ἀσύνθετος) Ἰουδαία.*

16. *καὶ ὑπέλαβον*] *Προέγνων, φησὶν ὁ κύριος, ὅτι ἀθετήσουσιν οἱ Ἰουδαῖοι εἰς ἐμὲ καὶ ἔγκοπόν με ποιήσουσιν τῇ ἀπιστίᾳ καὶ τῇ ἀνοίᾳ αὐτῶν.*

17. *ἕως εἰσέλθω*] *Ἕως οὗ εἰς τοὺς πατρῴους κόλπους εἰσαγάγω τὸν ἄνθρωπον.*

καὶ συνῶ] *Ἴδω, φησί, τὰ τέλη αὐτῶν, εἰ ἄρα μετανοήσουσιν ἢ ἐπιμενοῦσιν τῇ ἀπιστίᾳ (ἀνομίᾳ).*

18. *πλὴν διὰ τὰς δολιότητας*] *Πλὴν δόλου γέμοντες οὐ μετενόησαν καὶ ἔθετο αὐτοὺς ὁ θεὸς εἰς τιμωρίαν.*

κατέβαλες αὐτούς] *Ἐν γὰρ τῷ ὑψωθῆναι Ἰουδαίους τῇ ὑπερηφανίᾳ ἔπεσαν πτῶμα δεινόν.*

19. *πῶς ἐγένοντο*] *Πῶς αἰφνιδίως ἔρημος ἐγένετο ὁ ναὸς αὐτῶν καὶ ἡ χώρα [αὐτῶν] καὶ αὐτοί;*

ἐξάπινα] *Ἠνόμησαν γὰρ κατὰ τοῦ θεοῦ ὁπλισάμενοι καὶ ἀπώλοντο παρὰ τὸ μὴ εἶναι.*

20. *ὡσεὶ ἐνύπνιον*] *Θᾶττον ἐνυπνίου ἐπελήσθησαν.*

κύριε, ἐν τῇ πόλει] *Καὶ ἐν τῇ κάτω, ὅτι ἠρημώθη, καὶ ἐν τῇ ἄνω Ἱερουσαλήμ, ὅτι οὐκ ἔστιν αὐτοῖς τόπος ἐκεῖ.*

21. *ὅτι ἐξεκαύθη*] *Τοῦ λαοῦ τῶν Ἰουδαίων, ὅτι πλήρεις γενόμενοι μετεβλήθησαν εἰς κακόν. καρδία γὰρ θεοῦ καὶ νεφροὶ ὡς γένος θεοῦ ⟨καὶ⟩ ὁ λαὸς τῶν Ἰουδαίων ἦσαν ποτέ (τότε).*

22. *καὶ ἐγώ*] *Οὐ γὰρ ἐνόησεν ὁ λαὸς Ἰουδαίων, ὅτι μέλλουσι ἐξωσθῆναι (ἐξῶσθαι) τῆς χάριτος τοῦ θεοῦ.*

κτηνώδης] *Παρὰ τῷ θεῷ οἱ Ἰουδαῖοι ἀφρονήσαντες ⟨ἀφρόνως ἀποστάντες⟩.*

23. καὶ ἐγὼ διὰ παντός] Οὐδ' ἐχωρίσθη γὰρ ὁ θεὸς αὐτῶν ποτε.

ἐκράτησας] Ὡς γὰρ πατὴρ τέκνον κρατεῖ καὶ ὁδηγεῖ[1], οὕτω κρατήσας ὁ θεὸς τὸν Ἰσραὴλ ὡδήγησεν.

24. ἐν τῇ βουλῇ] Οὐ γὰρ ἂν ἐβούλετο ὁ θεὸς ὡδήγει[2] τὸν Ἰσραήλ· ἐξελέξατο γὰρ αὐτὸν ὁ θεὸς ἔνδοξον ἑαυτῷ, αὐτοὶ δὲ ἠθέτησαν αὐτόν.

25. τί γάρ μοι ὑπάρχει] Βλάσφημος ὢν ὁ λαὸς τῶν Ἰουδαίων (Ἑβραίων) παραιτεῖται τὰ οὐράνια ἀγαθά, ὡς Χριστὸν παραιτησάμενοι τῇ ἀρνήσει.

καὶ παρὰ σοῦ] Τοσούτων γὰρ ἀγαθῶν ἀπολαύσας ὁ λαός, ἠχαρίστησεν ἀρνησάμενος.

26. ἐξέλιπεν ἡ καρδία μου] Ὁ Χριστὸς περὶ τῶν Ἰουδαίων λέγει ὡς συγγενῶν, ὅτι ἐξέλιπον ἀπ' αὐτοῦ.

ὁ θεὸς τῆς καρδίας] Ὁ πιστὸς λαὸς [νῦν] προαναφωνεῖ, ὅτι καὶ τῆς καρδίας αὐτῶν ὁ θεὸς καὶ μερὶς αὐτῶν ὁ θεός, ὡς τῷ σώματι καὶ τῷ αἵματι Χριστοῦ τρεφόμενοι.

27. ὅτι ἰδού] Οἱ Ἰουδαῖοι μακρυνθέντες ἀπὸ θεοῦ ἀπώλοντο.

ἐξωλέθρευσας] Ἀπέστησαν γὰρ ἀπὸ θεοῦ οἱ Ἰουδαῖοι καὶ εἰδώλοις προσεκύνησαν, ὅ ἐστι μεγάλη πορνεία τὸ ἀποστῆναι ἀπὸ τοῦ θεοῦ.

28. ἐμοὶ δέ] Ὁ ἐξ ἐθνῶν λαὸς κολληθεὶς τῇ πίστει καὶ τῇ ἀγάπῃ τοῦ θεοῦ.

τίθεσθαι] Τί γὰρ ἄλλο σωτήριον τῷ ἀνθρώπῳ, ὡς τὸ ἐλπίζειν ἐπὶ κύριον;

τοῦ ἐξαγγεῖλαι] Ὁ γὰρ πιστὸς ἄνθρωπος οὐ παύεται διηνεκῶς ἐξαγγέλλων τὴν αἴνεσιν ἐν τῇ ἐκκλησίᾳ τῷ θεῷ. Σιὼν γὰρ ἡ ἐκκλησία (ἑρμηνεύεται).

LXXIII.

Συνέσεως τῷ Ἀσάφ] Ὧδε ἡ προφητεία σημαίνει, πῶς ἥμαρτεν ἡ συναγωγὴ τῶν Ἰουδαίων καὶ πῶς ἦραν τὰς χεῖρας κατὰ θεοῦ καὶ πόσα κακὰ αὐτὴν διεδέξαντο πολιορκουμένην ὑπὸ τῶν ἐχθρῶν.

1. Ἵνα τί ἀπώσω] Αὕτη ἡ φωνὴ τῆς αἱμοφύρτου συναγωγῆς.

ὠργίσθη] Διὰ τὸ παρανομῆσαι [τὸν λαὸν] ηὐξύνθη ἡ ὀργὴ τοῦ θεοῦ ἐπ' αὐτούς.

2. μνήσθητι] Μνήσθητι, φησί, κύριε, ὅτι πρωτότοκος λαός σου ἡμεῖς καὶ παρεδόθημεν εἰς χεῖρας ἐχθρῶν ἀνόμων.

ἐλυτρώσω] Ὡς ῥάβδος γὰρ ἐκλεκ-

---

[1] V. addit haec: καὶ ὡς τῆς δεξιᾶς χειρὸς ὡς μείζω τῆς εὐωνύμου διδεῖ τῷ ἀγαπητῷ, οὕτω κτλ.

[2] Ita praebet V., etiam Ven. Nan. legunt ὡδήγει, versio slavica e graeco hausit fonte, cuius verba fuisse videntur: οὐ γὰρ ἂν ὡδήγει ὁ θεὸς τὸν Ἰσραήλ, εἰ μὴ ἐβουλεύσατο.

τὴ οὖσα ἡ συναγωγή, νῦν ἀπεβλήθη διὰ ἀπιστίαν.

ὄρος Σιών] Ἐν γὰρ τῷ ναῷ, φησί, κατεσκήνου σου ἡ δόξα, καὶ πῶς νῦν ἐμιάνθη;

3. ἔπαρον τὰς χεῖρας] Τῶν δαιμόνων καὶ τῶν ἐχθρῶν τοῦ Χριστοῦ.[1]

ὅσα ἐπονηρεύσατο] Κατὰ τοῦ Χριστοῦ ὁ διάβολος [πονηρευσάμενος καὶ] ὁπλισάμενος.

4. καὶ ἐνεκαυχήσαντο] Ὅπου γὰρ αἱ ἑορταὶ καὶ τὸ σάββατον κατὰ νόμον ἐτελεῖτο, ἐνεπυρίσθη καὶ ἐβεβηλώθη.

ἔθεντο τὰ σημεῖα] Πάντα γάρ, ὅσα ἐποίησεν ὁ θεὸς [ἡμῶν] σημεῖα, μετ' αὐτῶν εἰς οὐδὲν ἔθεντο, μὴ γνόντες τὴν δύναμιν αὐτῶν.

5. ὡς εἰς τὴν ἔξοδον] Ὥσπερ γὰρ ἐν ἐξόδῳ λαῶν πολλῶν ἐν ὕλῃ πολλῇ κόπτονται τὰ ξύλα, οὕτως τὰς θύρας τοῦ ναοῦ κατέκοψαν οἱ πολέμιοι καὶ ἐγένοντο εἰς καταπάτημα.

6. τὰς θύρας αὐτῆς] Οὐ μόνον γὰρ τὰς θύρας [τοῦ ναοῦ], ἀλλὰ καὶ τὴν στέγην (στεφάνην) καὶ τοὺς τοίχους κατέστρεψαν.

7. ἐνεπύρισαν] Ἔκαυσαν γὰρ καὶ τὴν γῆν καὶ τὴν τράπεζαν τῶν ἄρτων καὶ τὰ Χερουβὶμ καὶ πᾶν, εἴ τι ἦν αὐτοῖς ἅγιον.

εἰς τὴν γῆν] Καὶ αὐτὸ τὸ βιβλίον τοῦ νόμου ῥίψαντες εἰς τὴν γῆν, κατεπάτησαν ἐξουθενήσαντες.

8. εἶπαν ἐν τῇ καρδίᾳ] Πάντες οἱ ξένοι τοῦ νόμου καὶ ἐχθροί, ὥσπερ συγγένεια ὁμοφώνως λογισάμενοι, ἐν καρδίᾳ ἐπείθοντο ἐξαφανίσαι τὸ ἁγίασμα αὐτῶν.

δεῦτε] Τὰς ἰουδαικάς· κατέπαυσαν γὰρ αὐτὰς οἱ πολέμιοι, συγχωρήσαντος τοῦ θεοῦ, ὅτι οὐ μετὰ θεοσεβείας ἐγίνοντο.

9. τὰ σημεῖα] Οἱ Ἰουδαῖοι λέγουσιν· οὐδὲν τῶν ἐξ ἔθους σημείων, ὧν ἐποίει (ἐποίησε) μεθ' ἡμῶν [ὁ θεός], εἴδομεν.

οὐκ ἔστιν ἔτι] Ἐξέλιπον γάρ, φησί, ⟨τὰ ἔθνη⟩ καὶ οἱ προφῆται καὶ ἡμεῖς ἐπελήσθημεν ἀπὸ τοῦ θεοῦ.

10. ἕως πότε] Μετὰ γὰρ τὴν ἐρήμωσιν τῆς Ἱερουσαλὴμ ἐπέγνωσαν τὸν θεὸν καὶ πάντες ἦσαν προσπίπτοντες τῷ θεῷ (ἦσαν ἐν μετανοίᾳ).

παροξυνεῖ] Ὀνειδίζουσι, φησί, οἱ ἐχθροὶ τὸν θεόν.

11. ἵνα τί ἀποστρέφεις] Φησὶν ὁ λαὸς τῶν Ἑβραίων· ἦρας ἀφ' ἡμῶν τὴν χεῖρά σου καὶ ἀνῆκας ἡμᾶς εἰς τέλος καὶ ἐκυρίευσαν ἡμῶν οἱ ἐχθροὶ ἡμῶν.

12. ὁ δὲ βασιλεύς] Τῶν ἐθνῶν· προεγίνωσκε γὰρ ὁ θεὸς τὴν ἐπιστροφὴν αὐτῶν.

εἰργάσατο] Τὸν σταυρὸν λέγει, ἐπειδὴ ἐν μέσῳ τῆς γῆς ἐπάγη· δι' αὐτοῦ δὲ ἡ σωτηρία τῷ γένει τῶν ἀνθρώπων ἐγένετο.

---

[1] *Κατὰ τῶν δαιμόνων· οὗτοι γὰρ ἐχθροὶ τοῦ Χριστοῦ καὶ τὴν ὑπερηφανίαν αὐτῶν διέφθειρε εἰς τέλος* Sic interpres slavicus cod. Bon., reliqui praebent lectionem V.

13. σὺ ἐκραταίωσας] Καὶ τὴν αἰσθητὴν μὲν τὴν (ὡς) μεγάλην, ἀλλὰ γὰρ ὅμως τὴν τοῦ βαπτίσματος ὡς ἰσχυρὰν καὶ κραταιὰν οὖσαν. αὕτη γὰρ κατακλύζει τὴν ἁμαρτίαν [καὶ τοὺς δαίμονας].

σὺ συνέτριψας] Τῶν δαιμόνων ἐν τῷ βαπτίσματι (τῷ ὕδατι τοῦ βαπτίσματος)· ἐκεῖ γὰρ ἀπετμήθησαν.

14. σὺ συνέτριψας τὰς κεφαλάς] Τὰς τοῦ διαβόλου· πολυκέφαλος γὰρ ὢν ὡς πονηρὸς ⟨νοητὸς⟩ καὶ πολυεννόητος, ἀλλὰ [καὶ] αὗται ἀπετμήθησαν ἐν τῷ βαπτίσματι.

ἔδωκας αὐτόν] Τοῖς ἔθνεσιν ὡς ταπεινοῖς· Αἰθίοπες γὰρ ταπεινοὶ ἑρμηνεύονται. τὰ ἔθνη γὰρ πιστεύσαντα κατέφαγον αὐτόν, τουτέστιν διέφθειραν αὐτόν.

15. σὺ διέρρηξας] Τουτέστιν διέκοψας τὰς πηγὰς τῆς ἁμαρτίας καὶ τοὺς ποταμούς, οὓς συνεστήσατο ὁ χειμὼν τῆς εἰδωλικῆς πλάνης.

σὺ ἐξήρανας] Σύ, φησίν, ἐξήρανας τοὺς ποταμοὺς τοῦ αἵματος τῶν θυσιῶν· Αἰθὰμ γὰρ ἑρμηνεύεται αἷμα· ἑρμηνεύεται δὲ καὶ βάτος, ὅ ἐστιν ἀκανθώδης ὕλη τῶν εἰδώλων.

16. σή ἐστιν ἡ ἡμέρα] Ἡ ἡμέρα τῆς ἀναστάσεως καὶ ἡ νὺξ τοῦ πάθους· ἑκάτερα γὰρ θελήσας παρήγαγες.

σὺ κατηρτίσω] Λέγει τὰ ⟨γενόμενα⟩ ἐπὶ τοῦ πάθους· φαῦσιν καὶ σκότος καὶ πάλιν ἥλιον φαίνοντα.

17. σὺ ἐποίησας] Ἔαρ καὶ θέρος καὶ φθινόπωρον καὶ χειμῶνα· ταῦτα γὰρ ὑπὸ θεοῦ ἐκανονίσθη. ταῦτα δὲ νοεῖται εἰς τὰ μετέπειτα.

θέρος καὶ ἔαρ] Τουτέστι σὺ ὥρισας ταῦτα· θέρος γὰρ ἡ συντέλεια, ἔαρ δὲ λέγει τὸν μέλλοντα αἰῶνα ὡς φωτεινόν, ὡς φαιδρόν, ὡς ἐκ χειμῶνος πολλοῦ εὐδίαν.

18. μνήσθητι] Τῆς ἡμέρας ἐκείνης μνησθείς, οἰκτειρον πᾶσαν τὴν κτίσιν καὶ τὸ ἀνθρώπινον γένος.

ἐχθρὸς ὠνείδισεν] Ὁ διάβολος διὰ τῶν Ἰουδαίων τὸν Χριστόν.

καὶ λαὸς ἄφρων] Ὁ λαὸς τῶν Ἰουδαίων λέγοντες· ἡμεῖς οὐκ ἔχομεν βασιλέα εἰ μὴ καίσαρα.

19. μὴ παραδῷς] Τοῦ λαοῦ [τοῦ ἐξ ἐθνῶν] τὴν ψυχὴν μὴ ἐγκαταλείψῃς τοῖς δαίμοσιν, ὥστε δαμάζεσθαι ὑπ' αὐτῶν.[1]

τῶν ψυχῶν] Πένητες γὰρ ἀπὸ θεοσεβείας ὑπῆρχον τὰ ἔθνη[2], διὸ περιεποιήσατο ὁ θεὸς τὰ ἔθνη λαὸν περιούσιον, εὐάρεστον ἑαυτῷ.

20. ἐπίβλεψον] Ἴδε τὸν λαόν σου, πρὸς οὓς ἔστησας τὴν διαθήκην σου διὰ τοὺς πατέρας αὐτῶν· πῶς ἀμνημονήσαντες ἠθέτησαν.

ὅτι ἐπληρώθησαν] Ἐσκοτίσθη-

---

[1] V. add. *Οὐδὲν τῶν δαιμόνων θηριωδέστερον καὶ ἁρπακτικώτερον, ὥστε καὶ τὰς ψυχὰς τῶν ἀνθρώπων εἰς ἀπώλειαν ἄγουσιν.*

[2] V. prosequitur sic: *ὧν ὁ σωτὴρ ἔλεγε· καλέσω μου τὰ ἔθνη κἀκεῖνά με δοξάσουσι κἀγὼ αὐτοῖς δωρήσομαι ζωὴν τὴν αἰώνιον.*

σαν αἱρετικῶν παῖδες καὶ Ἑλλήνων καὶ κατεσκεύασαν ἑαυτοῖς ἐκκλησίας ἀνόμους.

21. μὴ ἀποστραφήτω] Μεταφορικῶς (μεταφορικὸς) ὁ λόγος· ἀποστραφήτω, φησίν, ὁ διάβολος τεταπεινωμένος καὶ κατῃσχυμμένος, εἰς ἃ ἐπετήδευσεν.

πτωχός] Ὁ Χριστός·[1] ἑκάτερα γὰρ ἑκουσίως ἀνεδέξατο [ὁ σωτήρ]· αὐτὸς γὰρ δοξάζει τὸ ὄνομα τοῦ πατρὸς πρὸς ἀλήθειαν· ἐδόξασα [γάρ], φησί, καὶ πάλιν δοξάσω.

22. ἀνάστα, ὁ θεός] Λέγει μὲν τὴν ἑαυτοῦ ἀνάστασιν, δι' ἧς ἐδικάσθησαν οἱ Ἰουδαῖοι. λέγει δὲ καὶ τὴν μέλλουσαν δίκην τὴν παγκόσμιον.

μνήσθητι] Τότε γὰρ μνησθήσεται ὁ θεὸς [τοῦ λαοῦ] τῶν Ἰουδαίων, πῶς ἐν ἀφροσύνῃ ὠνείδιζον τὸν Χριστὸν ἐπὶ τοῦ σταυροῦ τῇ ἡμέρᾳ τοῦ πάθους.

23. μὴ ἐπιλάθῃ] Τότε, [φησίν,] ὅταν μέλλῃς ἀποδοῦναι ἑκάστῳ [κατὰ τὰ ἔργα αὐτοῦ], τότε τῶν δοξολογούντων σε μνήσθητι καὶ στῆσον αὐτοῖς τὸν μισθόν, ὡς ἐλεήμων.

ἡ ὑπερηφανία] Τότε γὰρ μανθάνουσιν οἱ ὑπερήφανοι καὶ οἱ βλάσφημοι, τίνες εἰσίν· οὔτε γὰρ παύονταί ποτε βλασφημοῦντες.

LXXIV.

Εἰς τὸ τέλος μὴ διαφθείρῃς, ψαλμὸς τῷ Ἀσὰφ ᾠδῆς] Πρὸς τὴν συναγωγὴν ὁ λόγος· Ἀσὰφ γὰρ συναγωγὴ ἑρμηνεύεται. ὅτι, φησίν, εἰς τέλος οὐ διεφθάρησαν· ἐξ αὐτῶν γὰρ οἱ ἀπόστολοι καὶ ἕτεροι πολλοί.[2]

2. ἐξομολογησόμεθα] Οἱ πιστοὶ ἐξομολογοῦνται τῷ θεῷ ἐπὶ πᾶσι τοῖς θαυμασίοις, οἷς ἐποίησεν αὐτοῖς.

καὶ ἐπικαλεσόμεθα] Προσθεῖναι γὰρ τῇ αἰνέσει ἀεὶ σπεύδουσιν οἱ δίκαιοι.

διηγήσομαι] Ὁ προφήτης ἐκ προσώπου τοῦ ἀνθρώπου εὐχαριστεῖ τῷ θεῷ.

3. ὅταν λάβω] Ὁ θεὸς φησίν· ὅταν φθάσῃ ὁ καιρὸς τῆς δίκης, τότε εὐθεῖα ἔσται ἡ κρίσις μου.

4. ἐτάκη ἡ γῆ] Ἀπὸ τοῦ φόβου τῆς δόξης αὐτοῦ, ὅταν ἀναστῇ κρῖναι τὴν γῆν τὴν νοητήν.[3]

ἐγὼ ἐστερέωσα] Τοὺς ἀποστόλους λέγει· στύλους γὰρ ἡ γραφὴ αὐτοὺς παρατίθεται, ὡς μέσον οὐρανοῦ καὶ γῆς βαστάζοντας καὶ περιφέροντας

---

[1] V. praemittit: *Οἱ πτωχοὶ τῷ πνεύματι καὶ πένητες γενόμενοι διὰ τῆς ἀγάπης τοῦ κυρίου οὗτοι ὑμνοῦσι τὸ ὄνομα κυρίου.*

[2] V. add. *ὅσοι τοῦ λόγου τοῦ σωτῆρος ἐπιστεύσαμεν, ὁ πιστεύσας καὶ βαπτισθεὶς σωθήσεται, ὁ δὲ ἀπιστήσας κατακριθήσεται καὶ εἰς τὸ τέλος οὗτοι μὴ διαφθείρωνται.*

[3] V. add. *ὅ ἐστιν ὁ ἄνθρωπος τήκεται τῷ φόβῳ ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως.*

τὴν χάριν τοῦ κηρύγματος· εἰσὶ δὲ ἄρρηκτοι.

5. εἶπα τοῖς παρανομοῦσιν] *Οἱ ἀπόστολοι γὰρ κατέπαυσαν τὴν ἀνομίαν ἀπὸ πάσης τῆς γῆς διὰ τοῦ κηρύγματος.*

καὶ τοῖς ἁμαρτάνουσιν] *Πάντας γὰρ ἐδίδαξαν ταπεινοφρονεῖν καὶ μὴ ὑψηλοφρονεῖν ἐπὶ δυνάμει πλούτου. κέρας γὰρ δύναμις ἑρμηνεύεται.*

6. μὴ ἐπαίρετε] *Μὴ θρασύνεσθε τουτέστιν τῇ ἰσχύϊ ὑμῶν κατὰ τοῦ θεοῦ.*

μὴ λαλεῖτε] *Βλασφημοῦντες ἐξ ἀλαζονείας τὸν Χριστόν.*

7. ὅτι οὔτε ἀπὸ ἐξόδων] *Οὔτε γὰρ ἀπ' ἀνατολῆς οὔτε ἀπὸ δυσμῶν οὔτε ἀπὸ ὀρέων ἔρχεται ἡ κρίσις, ἀλλὰ ἀπὸ θεοῦ μόνου ὡς δικαίως κρίνοντος.*[1]

8. ὅτι ὁ θεός] *Οὗτος (αὐτὸς) γὰρ μόνος κριτὴς πάντων.*

τοῦτον ταπεινοῖ] *Ἐν τῇ κρίσει τοὺς ἁμαρτωλοὺς ταπεινοῖ, ὡς μὴ μετανοήσαντας, καὶ τοὺς δικαίους ὑψοῖ, ὡς καλῶς πολιτευσαμένους. νόει μοι δὲ ταπεινοῦν τὸν διάβολον καὶ ὑψοῦν τὸν ἄνθρωπον.*

9. ὅτι ποτήριον] *Λέγει τὸν διάβολον πλήρη ὄντα τῆς δόξης τοῦ θεοῦ, κεράσματος δὲ ὡς κεκραμένον τῆς ἀρχαγγελικῆς ἀξίας, τουτέστιν ἡνωμένον.*

καὶ ἔκλινεν] *Ἐξ ὑπερηφανίας καὶ ἀλαζονείας μετεβλήθη ἀπὸ ἀρχαγγέλου εἰς διάβολον.*[2]

πλὴν ὁ τρυγίας] *Ἡ γὰρ τρὺξ αὐτοῦ ἔμεινεν ὡς ἄχρηστος, ἕως τῆς σήμερον ἀνατρέπουσα πάντας.*

καὶ πίονται πάντες] *Ὅσοι τῇ βουλῇ αὐτοῦ ἐξακολουθοῦσιν (ἐξηκολούθησαν)· αὐτοὶ γὰρ πίνουσι τὴν αὐτοῦ ἀλαζονείαν. περὶ γὰρ αὐτοῦ γέγραπται· οὐαὶ ὁ ποτίζων (οἱ ποτίζοντες) τὸν πλησίον αὐτοῦ (αὐτῶν) ἀνατροπὴν θολεράν.*

10. ἐγὼ δὲ ἀγαλλιάσομαι] *Ὁ πιστὸς καὶ κατὰ θεὸν ἄνθρωπος ἀγαλλιᾶται ἐπὶ τῷ θεῷ καὶ ψάλλει τῷ θεῷ· Ἰακὼβ γὰρ νοεῖται ὁ Χριστός.*

καὶ πάντα τὰ κέρατα] *Τὴν ἰσχὺν τῶν δαιμόνων· κέρας γὰρ ἰσχὺς νοεῖται. πᾶσαν γὰρ ἰσχὺν ἀπώλεσαν οἱ δαίμονες [ἀπὸ τῆς Χριστοῦ παρουσίας].*

καὶ ὑψωθήσεται] *Τοῦ Χριστοῦ ἡ δύναμις, ὅ ἐστιν ὁ σταυρός. κέρας γὰρ ἀκαταμάχητόν ἐστι τῶν δικαίων ὁ σταυρός.*

LXXV.

Εἰς τὸ τέλος, ἐν ὕμνοις — Ασσύριον] *Τελείωσις ἔσται, φησίν, τῶν ὕμνων τοῦ Χριστοῦ ὑπὸ τῶν πιστευσάντων ἀπὸ τῆς συναγωγῆς. Ἀσὰφ*

[1] V. add. *καὶ οἱ νεκροὶ ἀναστήσονται πάντες, ὁ δὲ κύριος ἔρχεται ἐξ οὐρανοῦ κρῖναι ἐπουράνια καὶ ἐπίγαια καὶ καταχθόνια, ὅτι κύριος Ἰησοῦς Χριστὸς εἰς δόξαν θεοῦ πατρός.*

[2] V. add. *διάβολος δὲ λέγεται ἐν τῷ διαβαλεῖν τὴν τάξιν τοῦ ἀγγέλου.*

γὰρ συναγωγὴ ἑρμηνεύεται, Ἀσσύριος δὲ κατευθύνων ἑρμηνεύεται, ὅ ἐστιν ὁ Χριστὸς ὁ κατευθύνων τὰ πάντα.

2. γνωστός] Ἐν τοῖς ἐξομολογουμένοις· Ἰουδαία γὰρ ἐξομολόγησις ἑρμηνεύεται. λέγει δὲ καὶ τὴν μετὰ σαρκὸς ἄφιξιν, ὅτι ἐν τῇ Ἰουδαίᾳ ἐφάνη.

ἐν τῷ Ἰσραήλ] Ἐν τῷ λαῷ τῷ πιστῷ, τῷ ἐξ ἐθνῶν· Ἰσραὴλ γὰρ ὁρῶν κύριον ἑρμηνεύεται. ὁ πιστὸς δὲ λαὸς ὁρᾷ τὸν κύριον διηνεκῶς.

3. καὶ ἐγενήθη] Τοῦ Χριστοῦ ἡ ἀνάστασις καὶ τοῦ πιστοῦ λαοῦ. ὁ τόπος, ἐν ᾧ ἐκλήθη εἰρήνη καὶ χαρά.

καὶ τὸ κατοικητήριον] Ἐν τῇ ἐκκλησίᾳ τοῦ θεοῦ (Χριστοῦ).

4. ἐκεῖ συνέτριψεν] Τὰς χεῖρας τῶν δαιμόνων ἐν τῇ ἐκκλησίᾳ συνέτριψεν, ὥστε μηκέτι ἀπὸ τοῦ ὕψους τοξεύειν ἀπὸ ἀέρος (μηκέτι αὐτοὺς δύνασθαι ἐξ ἀέρος τοξεύειν).

ὅπλον καὶ ῥομφαίαν] Ὅπλον τὴν γλῶσσαν, ῥομφαίαν τὴν δύναμιν· ἑκάτερα τοῦ Σατανᾶ συνέτριψεν ἐν τῇ ἐκκλησίᾳ ὁ Χριστός, ἵνα μηκέτι πολεμεῖν δύναται τὸν ἄνθρωπον.

5. φωτίζεις] Ἐφάνη γὰρ φῶς μέγα ἐκ τῶν προφητῶν· ὄρη γὰρ τοὺς προφήτας ἡ γραφὴ καλεῖν εἴωθε. λέγεται δὲ καὶ ἡ πίστις ὄρος καὶ ἡ θεοτόκος καὶ ἡ ἐκκλησία. ἐκ τούτων τῶν ὀρέων ὁ εἷς ἐφωτίσθη ἄνθρωπος.

6. ἐταράχθησαν] Οἱ Ἰουδαίων παῖδες καὶ Ἑλλήνων, θεωρήσαντες τὰ θαυμάσια τοῦ Χριστοῦ, ἐταράχθησαν (ἐσαλεύθησαν).

ὕπνωσαν] Φυλάττοντες γὰρ οἱ στρατιῶται τὸν Χριστὸν ἐν τῷ μνήματι, διυπνισθέντες εὗρον οὐδέν· ἀνέστη γὰρ ὁ ἀκράτητος (ὡς θεός).

πάντες οἱ ἄνδρες] Ἀργύρια γὰρ ἱκανὰ ἔδωκαν τοῖς στρατιώταις, ἵνα συκοφαντήσωσι τοῦ Χριστοῦ τὴν ἀνάστασιν, ὡς πλούσιοι οἱ Ἰουδαῖοι, καὶ αὐτῶν ἡ ἐλπὶς ἐκενώθη, καὶ ματαίως πλούτου τὰς χεῖρας πληρωσάντων τῶν στρατιωτῶν.

7. ἀπὸ ἐπιτιμήσεως] Ἀπενεκρώθησαν γὰρ οἱ στρατιῶται τότε, οἱ τηροῦντες τὸ μνῆμα.

ἐνύσταξαν] Λέγει τοὺς Ἰουδαίους, τοὺς ἐπιβεβηκότας ταῖς συμβουλίαις τῶν δαιμόνων· ἵππους γὰρ νόησον (νόει) τοὺς δαίμονας, ὡς ψευδεῖς εἰς σωτηρίαν καὶ ὀξεῖς εἰς τὸ κακοποιῆσαι. ἐν ἀορασίᾳ γὰρ ἐπλήγησαν καὶ αὐτοὶ τῇ δυνάμει τοῦ Χριστοῦ.

8. σὺ φοβερὸς εἶ] Θεῷ (κυρίῳ) γὰρ ἀντιπράττειν τολμηρόν, ἐπισφαλὲς καὶ ὀλέθριον.

ἀπὸ τῆς ὀργῆς σου] Ἀπ' ἀρχῆς γὰρ ὁ θυμὸς τοῦ θεοῦ ἐπ' αὐτούς· προεγίνωσκε γὰρ τὴν ἀνομίαν αὐτῶν.

9. ἐκ τοῦ οὐρανοῦ] Λέγει τὰς σάλπιγγας καὶ τὰς φωνάς, ὅταν ἔλθῃ ἐν δόξῃ κρῖναι ζῶντας καὶ νεκρούς. ἀκουστὴ γὰρ αὕτη ἡ φωνὴ καὶ τοῖς νεκροῖς γενήσεται.

10. γῆ ἐφοβήθη] Τότε γὰρ πᾶσα ἡ γῆ καταπτήσσει τῷ φόβῳ, ὅταν

ἴδῃ τὴν κρίσιν καὶ ἡσυχάζῃ, τουτέστιν ὑποτάσσεται· ἐφοβήθη γὰρ καὶ ἡ γῆ ἐν τῷ εἰς κρίσιν παραστῆναι τὸν Χριστὸν ἐπὶ τοῦ Πιλάτου.

τοῦ σῶσαι πάντας] Τοὺς[1] πραεῖς λέγει τοὺς ταπεινούς, ὅσοι ἐν ἡσυχίᾳ ἔζησαν. τότε γὰρ τὸν μισθὸν ἀπολαμβάνοντες σώζονται αἰωνίως.

11. ὅτι ἐνθύμιον] Τουτέστιν καὶ περὶ ἐνθυμήσεων μόνων ἐξομολογοῦνται οἱ δίκαιοι τῷ θεῷ.

καὶ ἐγκατάλειμμα] Τουτέστιν ὅτι οὐδέποτε ἡ ἐνθύμησις τοῦ κατὰ θεὸν ἀνθρώπου ἀπέστη ἀπὸ τοῦ θεοῦ καὶ διὰ τοῦτο τῆς χαρᾶς ἐκείνης ἀξιοῦνται.

12. εὔξασθε] Πᾶς γάρ, [φησίν,] ὅστις εὔξεται εὐχὴν τῷ θεῷ, ὀφείλει ἀποδοῦναι αὐτὴν δίχα πάσης ἀναβολῆς.

πάντες οἱ κύκλῳ] Ἕκαστος γὰρ τότε προσφέρει τῷ θεῷ τὰ ἔργα τὰ καλὰ καὶ τὴν πίστιν κατώρθωσεν ⟨κατορθώσας⟩.

13. τῷ φοβερῷ] Τῷ φοβερῷ θεῷ, ὅστις ἔχει ἐξουσίαν τῶν βασιλέων (καὶ τῶν ἀρχόντων) ἀφαιρεῖσθαι τὰς ψυχάς.

φοβερῷ] Ποῖος γὰρ βασιλεὺς ἢ τίς δυνάστης τῶν ἐπὶ γῆς ἐξισοῦται τῷ θεῷ;

LXXVI.

Εἰς τὸ τέλος, ὑπὲρ Ἰδιθούμ· ψαλμὸς τῷ Ἀσάφ] Ὑπὲρ τοῦ ἠπατῆσθαι (ἀπατῆσαι) τὴν συναγωγὴν ἡ προφητεία ἐλέχθη. Ἰδιθοὺμ γὰρ ἀπάτη ἑρμηνεύεται, Ἀσὰφ δὲ συναγωγή.

2. φωνῇ μου] Ὅτε ὁ Χριστὸς ἐπὶ τοῦ σταυροῦ ἐκέκραξεν· ἐλωεί, ἐλωεί.

καὶ ἡ φωνή μου] Ὅταν ἐπὶ τοῦ Λαζάρου ⟨ἐπὶ τοῦ σταυροῦ⟩ ἔκραξε φωνῇ μεγάλῃ.

3. ἐν ἡμέρᾳ θλίψεως] Ὧδε περὶ τοῦ Θωμᾶ ἡ προφητεία σημαίνει· ὅταν ὤφθη ὁ κύριος τοῖς μαθηταῖς (ἀποστόλοις) καὶ ὁ Θωμᾶς οὐκ ἦν παρών, σφόδρα ἐλυπεῖτο (ἐθλίβετο).

ταῖς χερσίν μου] Ἐψηλάφησεν γὰρ καὶ ἐπληροφορήθη ταῖς χερσὶ ⟨ἀπόστολος Θωμᾶς⟩ καὶ οὐκ ἦν ψεῦδος ἐν αὐτῷ.

ἀπηνήνατο] Τουτέστιν οὐκ ἀνέχεται ἡ ψυχή μου παρακληθῆναι· ἐγὼ γὰρ ἔγνων τὸ ζητούμενον (οἶδα ὃ ζητῶ).

4. ἐμνήσθην] Εὗρον ⟨ἔλαβε⟩ γὰρ μώλωπας, ἐν ᾧ οἱ μώλωπες παντὸς (πάντες) τοῦ γένους ἠφανίσθησαν.

ἠδολέσχησα] Ἡνίκα εἶπον αὐτῷ οἱ συμμαθηταί· ἑωράκαμεν τὸν κύριον, ἐν πολλῇ φροντίδι ἐγένετο ὁ Θωμᾶς, ὅτι οὐχ εὑρέθη μετὰ τῶν συμμαθητῶν αὐτοῦ.

Διάψαλμα· μεταβολὴ τοῦ λόγου.

5. προκατελάβοντο] Ὁ χορὸς

[1] V. incipit sic: Οὓς ὁ κύριος μακαρίζει λέγων· μακάριοι οἱ πραεῖς, ὅτι αὐτοὶ κληρονομήσουσι τὴν γῆν. τοὺς κτλ.

τῶν ἀποστόλων οὔτε τὰς ὥρας τῆς νυκτὸς ἡσύχαζεν.

ἐταράχθην] *Συνείχοντο γὰρ τῷ φόβῳ τῶν Ἰουδαίων καὶ ἐσιώπων οἱ ἀπόστολοι.*

6. διελογισάμην] *Διενοεῖτο γὰρ ὁ χορὸς τῶν ἀποστόλων τὰ ἐν ἀρχῇ θαύματα καὶ τὰ σημεῖα καὶ τὸ πάθος, ὅτι οὕτως ἐγένετο. καὶ ἡ διάνοια αὐτῶν ἔκαμνεν, ὅτι πῶς θεὸς ὢν τοιαῦτα ἐγένετο εἰς αὐτὸν ὑπὸ τῶν Ἰουδαίων;*

7. νυκτὸς μετὰ τῆς καρδίας] *Ἕκαστος γὰρ τῶν ἀποστόλων [ἐν νυκτὶ] ἐλογίζετο καὶ ἔσκαλλεν, τουτέστιν ἀμφιέβαλλεν τὸ τί ἐστιν τὸ γενόμενον.*

8. μὴ εἰς τοὺς αἰῶνας] *Ἔλεγον γάρ· μὴ ἄρα οὕτως μείνωμεν ἐγκαταλελειμμένοι.*

καὶ οὐ προσθήσει] *Τουτέστιν ἆρα οὐκ ἐμφανίζει ἡμῖν ὁ διδάσκαλος καὶ διαδέχεται ἡμῶν τὴν θλῖψιν τῆς καρδίας;*

9. ἢ εἰς τέλος] *Ἀλλὰ εἰς τέλος ἡμῶν ἀμελήσει ἆρα ἢ τοῦ κόσμου αὐτοῦ;*

συντελέσει ῥῆμα] *Τοσαῦτα, φησί, κατὰ γενεὰν καὶ γενεὰν περὶ αὐτοῦ ἐλαλήθη. καὶ ἆρα λήθην ποιήσεται πάντων;*

10. μὴ ἐπιλήσεται] *Μὴ ὀργισθεὶς ἐπίσχῃ (ἐφέξει) τοὺς οἰκτιρμοὺς αὐτοῦ καὶ τὸ ἔλεος αὐτοῦ ἀφ' ἡμῶν, καὶ γενώμεθα μάταια μοχθοῦντες.*

Διάψαλμα, τουτέστι μετέβη ὁ λόγος (μεταβολὴ τοῦ λόγου).

11. καὶ εἶπα] *Τουτέστιν ὁ κύριος ἤρξατο ἐμφανίζειν τοῖς μαθηταῖς τὰ μυστήρια τῆς βασιλείας τοῦ θεοῦ.*

αὕτη ἡ ἀλλοίωσις] *Μετέβαλε γὰρ αὐτῶν τὸν κοπετὸν τῶν μαθητῶν καὶ πάντων τῶν πιστῶν.*

12. ἐμνήσθην] *Ποίων; ὅτι πῶς ἐξ ἐδάφους ἔπλασε καὶ ἀνέπλασε τὸ λογικὸν ζῶον οἰκείαις χερσίν. πῶς τὰς πλάκας δακτύλῳ ἐχάραξε θείῳ. πῶς πάλιν [καὶ] τὸν παράδεισον τοσούτοις φυτοῖς καὶ ὡραίοις ἐκαλλώπισε καὶ ἐποίησεν αὐτὸν λύπης καὶ μεριμνῶν ἐλεύθερον.*[1]

ὅτι μνησθήσομαι] *[ὁ προφήτης ἐνθυμούμενος τῶν ἀπ' ἀρχῆς θαυμασίων] ὧν ἐθαυμάστωσεν [ἀπὸ πάλαι] περὶ τοῦ ἀνθρώπου [ὁ κύριος].*

13. καὶ μελετήσω] *Ὁ υἱὸς πρὸς τὸν πατέρα φησίν· ὅσα ἐβουλευσάμεθα περὶ τοῦ ἀνθρώπου, ποιήσω καθὼς ἐνετείλω.*

καὶ ἐν τοῖς ἐπιτηδεύμασι] *Μεριμνήσω, φησὶν ὁ υἱὸς τῷ πατρί, περὶ τοῦ ἀνθρώπου, ὥστε μὴ παροραθῆναι αὐτὸν ἐν τινί.*

14. ὁ θεός, ἐν τῷ ἁγίῳ] *Ἐν πᾶσι τοῖς ἁγίοις αὐτὸς διαβαίνει*

---

[1] V. Bar. ad. *πῶς τῶν μυρίων καὶ ἀμυθήτων οὐρανοῦ τε καὶ γῆς καὶ θαλάσσης ἐκοσμησεν ἔργοις καὶ ἐκ τεσσάρων δηλονότι στοιχείων τὰ πάντα ἐδημιούργησεν ζῶα, φυτά, πετεινά, ἰχθύας, τουτέστιν ἐκ θερμοῦ καὶ ψυχροῦ καὶ ξηροῦ καὶ ὑγροῦ ἢ ὡς ἐκ πυρὸς καὶ ὕδατος καὶ ἀέρος καὶ γῆς τίς δυνήσεται ἐξαριθμῆσαι τοῖς ἔργοις κυρίου;*

(ἐπιβαίνει) ὡς ἐνοικῶν ἐν αὐτοῖς καὶ ἐμπεριπατῶν.

τίς θεὸς μέγας] *Τίς; οὐδείς. οὐδὲ γάρ ἐστι θεὸς πλὴν αὐτοῦ.*

15. σὺ εἶ ὁ θεός] *Πρὸ γὰρ τῆς ἐγσάρκου αὐτοῦ οἰκονομίας (παρουσίας) πολλοὶ θεοὶ ὠνομάζοντο, ὡς Ἀπόλλων καὶ Ἑρμῆς καὶ Ἡρακλῆς καὶ Ἄρης (Ἄρευς), καὶ Ποσειδὼν καὶ ὁ λοιπὸς χορὸς τῶν ἑλληνικῶν ἀγαλμάτων, ἀλλ' οὐδὲ εἷς τούτων θάλασσαν ἐξήρανεν, οὐδεὶς τὸν Ἰορδάνην ἀνέστρεψεν ἢ νεκροὺς ἤγειρεν, ὡς ὁ ἀριστοτέχνης καὶ θαυματοποιὸς κύριος ἡμῶν.*

ἐγνώρισας] *Τότε θαυματουργῶν ἐν τοῖς ἔθνεσιν ἔμπροσθεν τοῦ λαοῦ τῶν Ἑβραίων, νῦν δὲ τῷ λαῷ τῷ πιστῷ, δεικνύων αὐτοῖς τὰ μυστήρια τῆς βασιλείας σου.*

16. ἐλυτρώσω] *Τότε τὸν ἰουδαϊκὸν ἐκ τῶν πολεμίων, νῦν δὲ τὸν ἐξ ἐθνῶν λαὸν ἐκ τῶν εἰδωλικῶν θυσιῶν.*

τοὺς υἱούς] *Τοὺς τοῦ Χριστοῦ, ὅσοι ἐν τῇ σωφροσύνῃ ἔζησαν, ὡς ὁ Ἰωσήφ. πανταχοῦ γὰρ Ἰωσὴφ σωφροσύνην νοεῖται.*

Διάψαλμα· διάστασις τῆς προφητείας (εἰς ἑτέρων θεωρίαν).

17. εἴδοσάν σε ὕδατα] *Ποῖα ὕδατα; τὰ τοῦ βαπτίσματος· φόβῳ γὰρ πολλῷ συνεταράχθησαν, ἵνα διώξωσι τοὺς ἐν αὐτοῖς κρυπτομένους δαίμονας.*

ἐταράχθησαν ἄβυσσοι] *Ἄβυσσος· διὰ τὸ πολλὰ εἶναι τὰ ὕδατα τοῦ βαπτίσματος κατὰ πάσης τῆς οἰκουμένης.*

18. φωνὴν ἔδωκαν] *Νεφέλαι οἱ ἀπόστολοι· ὡς γὰρ νεφέλαι τῶν χαρισμάτων ἐβάσταζον τοὺς ὑετούς, φωνὴν δὲ ἔδωκαν τὴν τοῦ κηρύγματος. βέλη δὲ αἱ γλῶσσαι τῶν αὐτῶν· ὡς βέλη γάρ, οὕτως διέδραμον πᾶσαν τὴν οἰκουμένην ὀξέως.*

19. φωνὴ τῆς βροντῆς] *Βροντὴν (φωνὴν) νόει τὸ εὐαγγελικὸν κήρυγμα, τροχὸν τὸν κόσμον· οἱ ἀπόστολοι γὰρ ἐκύλισαν ἐν τῇ γῇ τὴν φωνὴν τοῦ εὐαγγελίου ὡς τροχόν.*

ἔφαναν αἱ ἀστραπαί] *Οἱ λόγοι τοῦ εὐαγγελίου ἀστράψαντες τὴν χάριν ἐν πάσῃ τῇ οἰκουμένῃ.*

ἐσαλεύθη] *Τὸ γήϊνον φρόνημα ἐσαλεύθη [μετὰ τρόμου], μετατιθέμενον εἰς οὐράνιον φρόνημα.*

20. ἐν τῇ θαλάσσῃ] *Λέγει τὴν θάλασσαν τὴν αἰσθητήν, ὡς περιπατήσας ἐν αὐτῇ· νόει δὲ τὸ βάπτισμα, ὡς πολλὰ ὄντα τὰ ὕδατα.*

καὶ τὰ ἴχνη] *Ὡς ἀκατάληπτα· περιπατήσας γὰρ ὁ κύριος ἐπὶ τῶν ὑδάτων, ἴχνος οὐκ ἐποίησε· τὸ δ' αὐτὸ καὶ τὸ βάπτισμα· κατέρχεται ὁ ἄνθρωπος καὶ ἀνέρχεται καὶ ἴχνος οὐχ εὑρίσκεται.*

21. ὡδήγησας] *Τὸν ἰουδαϊκὸν λαόν, ὡς ποιμαινόμενον ὑπὸ θεοῦ· νῦν δὲ τὸν ἐξ ἐθνῶν ὁδηγούμενον (ὁδηγηθέντα) ἐπὶ τὴν πίστιν.*

ἐν χειρὶ Μωυσῆ] *Ἐν χειρὶ ἐκείνων τότε, νῦν δὲ ἐν χειρὶ τοῦ*

Χριστοῦ τὸν πιστὸν λαόν. Μωυσῆς γὰρ ἑρμηνεύεται ψηλάφημα· Χριστὸς δὲ ψηλαφᾷ τὰ ἔργα ἡμῶν καὶ τῇ χειρὶ τοῦ ἁγίου πνεύματος. Ἀρὼν γὰρ ἑρμηνεύεται πνεῦμα.

LXXVII.

Συνέσεως τῷ Ἀσάφ] *Τουτέστιν συνετίζων τὴν συναγωγήν, ὅ ἐστιν ἡ ἐκκλησία, καὶ κατηγορῶν τῆς ἀγνωμοσύνης τῶν Ἰουδαίων.*

1. *Προσέχετε λαός*] *Πάλαι μὲν τῷ λαῷ τῶν Ἑβραίων ἔλεγε, νῦν δὲ τῷ πιστῷ λαῷ· ἐκεῖνος γὰρ τύπος ἦν τούτου.*

κλίνατε τὸ οὖς] *Τότε εἰς τὰ ῥήματα τοῦ νόμου, νῦν δὲ εἰς τὰ ῥήματα τοῦ εὐαγγελίου οἱ πιστοί.*

2. *ἀνοίξω ἐν παραβολαῖς*] *Ἐδίδασκε γὰρ ἐν παραβολαῖς τὸν λαὸν ἀεί, καθὼς γέγραπται ἐν τῷ εὐαγγελίῳ.*

φθέγξομαι] *Ὅσα τοῖς πατριάρχαις καὶ τοῖς προφήταις ἐλάλησε, καὶ νῦν δι' ἐμαυτοῦ λέγω, φησὶν ὁ Χριστός.*

3. *ὅσα ἠκούσαμεν*] *Ὁ πιστὸς λαός, ὅσα ἤκουσε παρὰ θεοῦ, ἐφύλαξεν.*

καὶ οἱ πατέρες] *Οἱ προφῆται, φησίν, προκατήγγειλαν ἡμῖν τὰ περὶ τῆς βασιλείας (ἐλεύσεως) τοῦ θεοῦ (Χριστοῦ).*

4. *οὐκ ἐκρύβη*] *Τουτέστιν ἐκρύβη ἀπὸ τῶν Ἰουδαίων ταῦτα καὶ ἐδόθη τοῖς πιστοῖς.*

ἀπαγγέλλοντες] *Τὰ ἔθνη γὰρ ὁλοκλήρως τὴν αἴνεσιν προσφέρουσι τῷ Χριστῷ (θεῷ).*

καὶ τὰς δυναστείας] *Καὶ δυνάμεις καὶ θαύματα πολλὰ ἐποίησεν ἐν τῷ λαῷ τῶν Ἑβραίων, τὰ ἔθνη δὲ ἐδέξαντο αὐτὰ ἐν φόβῳ.*

5. *καὶ ἀνέστησεν*] *Τὸν Χριστὸν ὡς ἐξ Ἰακὼβ τὸ κατὰ σάρκα.*

καὶ νόμον ἔθετο] *Τὸν τῆς χάριτος τῷ πιστῷ λαῷ· Ἰσραὴλ γὰρ ὁρῶν τὸν θεὸν ἑρμηνεύεται. ὁ λαὸς δὲ ὁ πιστὸς ὁρᾷ τὸν θεὸν διὰ παντὸς καὶ καθ' ἑκάστην.*

ὅσα ἐνετείλατο] *Ὅσα ὑπέδειξε τὸ πνεῦμα τοῖς προφήταις, ἵνα κηρύξωσι τοῖς ἀνθρώποις.*

γνωρίσαι] *Ἐγνώρισαν γὰρ οἱ προφῆται τοῖς μετὰ ταῦτα ὡς υἱοῖς τὰ ἐσόμενα.*

6. *ὅπως ἂν γνῷ*] *Προέλεγον γὰρ οἱ προφῆται τὰ ἔθνη γενεὰν ἑτέραν, ὡς αὐτοῖς φυλαχθησόμενα τὰ μυστήρια τοῦ Χριστοῦ ὡς υἱοῖς.*

καὶ ἀναστήσονται] *Κείμενα γὰρ τὰ ἔθνη ἀνέστησαν καὶ παρέδωκαν τοῖς τέκνοις αὐτῶν τὰ τῆς πίστεως καὶ οὐκ ἐκλείψουσιν.*

7. *ἵνα θῶνται*] *Ἡ γὰρ ἐλπὶς τῶν ἐθνῶν ὁ θεός ἐστι [καὶ ἐν τῷ νῦν αἰῶνι καὶ ἐν τῷ μέλλοντι].*

καὶ μὴ ἐπιλάθωνται] *Οὔτε γὰρ ἔτι τὰ ἔθνη ἐπιλησθῆναι δύνανται τὴν χάριν τοῦ Χριστοῦ [καὶ θεοῦ].*

καὶ τὰς ἐντολάς] *Πάντα γάρ, ὅσα ἐνετείλατο ὁ θεὸς τῷ λαῷ τῷ πιστῷ, καὶ ζητεῖ καὶ φυλάττει* ⟨*αἰνεῖ*⟩.

8. *ἵνα μὴ γένωνται*] *Μή ποτε πάλιν τοῖς εἰδώλοις (τῇ εἰδωλολατρείᾳ) δουλεύσωσιν* ⟨*πιστεύσωσιν*⟩, *ὡς οἱ πρόγονοι αὐτῶν.*

γενεὰ σκολιά] *Τὴν γενεὰν αἰνίττεται (λέγει) τὴν ἰουδαϊκήν.*[1]

γενεὰ ἥτις] *Πολλὰ γὰρ εὐεργετηθέντες κατὰ καιρὸν καὶ καιρὸν τὸ ἔθνος Ἰουδαίων παρὰ τοῦ θεοῦ, εὐθεῖα αὐτῶν ἡ καρδία πρὸς θεὸν οὐκ ἐγένετο.*

καὶ οὐκ ἐπιστώθη] *Τοσούτων γὰρ γενομένων ἐν αὐτοῖς θαυμάτων, οὐδέποτε ὁλοψύχως ἐπίστευσαν τῷ θεῷ.*[2]

9. *υἱοὶ Ἐφραΐμ*] *Ἀπὸ μέρους ὅλον τὸ ἔθνος (γένος) τῶν Ἰουδαίων αἰνίττεται ἕτοιμον ὂν πρὸς πόλεμον θεοῦ.*

ἐστράφησαν] *Διὰ τὴν ἀσέβειαν αὐτῶν πολλάκις ἔπιπτον ἐν τοῖς πολέμοις (πολεμίοις).*

10. *οὐκ ἐφυλάξαντο*] *Ἀνήκοοι γὰρ ἀεὶ γεγόνασι τῷ θεῷ.*

καὶ ἐν τῷ νόμῳ] *Οὐδέποτε γὰρ ἐπειθάρχησαν τῷ θεῷ.*

11. *καὶ ἐπελάθοντο*] *Ὡς ἀχάριστον γένος ἠμνημόνουν ἀεί.*

καὶ τῶν θαυμασίων] *Ἐξελθόντες ἐξ Αἰγύπτου πόσας δυνάμεις εἶδον; οἰκήσαντες δὲ τὴν ἔρημον, πόσα θαύματα ἐθεάσαντο; καὶ πάντων λήθην ἐποιήσαντο.*

12. *ἐναντίον*] *Ὅσα ἐπὶ τοῦ Ἀβραὰμ καὶ ἐπὶ τοῦ Ἰσαὰκ καὶ ἐπὶ τοῦ Ἰακώβ, ἐπὶ τοῦ Μωυσῆ, ἐπὶ Ἰησοῦ τοῦ Ναυή,* [*ἐπὶ Ἠλίου*] *καὶ τῶν λοιπῶν (καθεξῆς), καὶ οὐδὲ οὕτως μετεβλήθησάν ποτε. ὑστέρω δὲ πάλιν ἐν ταῖς χώραις ταύταις πόσα θαυμάσια εἶδον, ἀλλ' οὐκ ἐπιστώθησαν.*

13. *διέρρηξεν*] *Ὅταν τῇ ῥάβδῳ ἔσχισε τὴν ἐρυθρὰν θάλασσαν, καὶ τούτου δὲ λήθη ἐγένετο· προετυπώθη (προετυποῦτο δὲ) τὸ βάπτισμα καὶ ὁ σταυρός.*

ἔστησεν ὕδατα] *Ἵσταντο γὰρ ἔνθεν καὶ ἔνθεν (ἐκεῖθεν) τὰ ὕδατα, δεδεμένα (δεδεσμημένα) ὡς ἐν ἀσκῷ, καὶ παρῆλθον οἱ Ἰσραηλῖται· νόει δὲ τὸ βάπτισμα προτυπούμενον τοῖς ἔθνεσι.*

14. *καὶ ὡδήγησεν*] *Νεφέλῃ γὰρ (δὲ) ἐσκέποντο τῇ ἡμέρᾳ διὰ τὸν ἥλιον, ἵνα μὴ καίωνται τῷ καύσωνι (καύματι)· προετυποῦτο δὲ τὸ σῶμα τὸ δεσποτικόν, ὅτι ἔμελλε σκέπη γίνεσθαι τοῦ γένους τῶν ἀνθρώπων, ἵνα μὴ φλέγωνται τῷ καύσωνι τῆς ἁμαρτίας.*

καὶ ὅλην] *Ὁδηγὸν γὰρ εἶχον ἐν νυκτὶ στῦλον πυρός, φωτίζοντα*

---

[1] V. add. *ἥτις εὐεργετουμένη ὑπὸ κυρίου ἀχάριστος ἔμεινεν.* A. sic: *ἥτις οὐ κατεύθυνε τὴν καρδίαν αὐτῆς.*

[2] V. totum versiculum praebet hoc modo: *Καὶ οὐκ εὐδόκησεν ὁ θεὸς ἐν ταῖς πονηρίαις τῆς ψυχῆς αὐτῶν, ἀλλ' οὐδ' ἐλήξαντο.*

αὐτοῖς τὴν ὁδόν· αἰνίττεται δὲ τὸ πῦρ τοῦ πνεύματος, ὁδηγοῦν τοὺς πιστούς.

15. διέρρηξεν] Τὴν ἀκρότομον λέγει, ἥτις ἕως σήμερον ῥεῖ τὸ πλῆθος (τῷ πλήθει) τῶν ὑδάτων· προετυποῦτο δὲ ἡ πλευρὰ ἡ δεσποτική, ἡ ῥεύσασα τὸ ὕδωρ τοῦ βαπτίσματος, καθὼς ὁ Παῦλος ἀπόστολος φησί. ἡ δὲ πέτρα ἦν ὁ Χριστός.

16. καὶ ἐξήγαγεν] Τύπος γὰρ ἦν τὸ γινόμενον τῆς πλευρᾶς, καθὼς ἔφημεν, τῆς δορυκεντήτου.

καὶ κατήγαγεν] Ποταμοὺς λέγει τὸ ὕδωρ καὶ τὸ αἷμα, ἐν οἷς κατεκλύσθησαν οἱ δαίμονες καὶ ἡ ἀσέβεια.

17. καὶ προσέθεντο] Τοιούτων γὰρ τελουμένων μυστηρίων οὐκ ἐπαύσαντο οἱ Ἰουδαῖοι βλασφημοῦντες.

παρεπίκραναν] Οὔτε γὰρ δάκρυον μετανοίας οὔτε ὕδωρ βαπτίσματος εἶχον (ἔσχον) οἱ Ἰουδαῖοι, ἀλλὰ παντελῶς ἦσαν (γεγόνασιν) ἄνυδροι καὶ ἄκαρποι.

18. καὶ ἐξεπείρασαν] Οὔτε γὰρ κατενύγησαν τῇ καρδίᾳ, ἀλλ' ἀεὶ κακὰ ἐνόησαν κατὰ τοῦ θεοῦ.

τοῦ αἰτῆσαι] Ἀεὶ γὰρ τῇ γαστριμαργίᾳ ἐδούλευον, περὶ ὧν φησίν· ὧν ὁ θεὸς ἡ κοιλία.

19. καὶ κατελάλησαν] Ἐλοιδόρησαν, φησίν, ὡς τότε ἐπὶ Μωϊσέως καὶ νῦν ἐπὶ τοῦ Χριστοῦ· βλάσφημον γὰρ τὸ ἔθνος ἀπ' ἀρχῆς.

μὴ δυνήσεται] Ἀνέλπιστα γὰρ ἦν (νῦν) αὐτοῖς περὶ τῆς μυστικῆς τραπέζης.

20. ἐπεὶ ἐπάταξεν] Ὁ προφήτης ἐκπλήττεται παραβλέπων, ὅτι μὲν [γὰρ] ἡ πλευρὰ κεντηθεῖσα ἔρρευσε τοὺς ποταμοὺς τῆς χάριτος, ἆρα ἔσται καὶ τράπεζα τούτων τῶν μυστηρίων;

καὶ χείμαρροι] Οἱ τῆς ἁμαρτίας χείμαρροι, ὅ ἐστι τὰ ῥεύματα, κατεκλύσθησαν, τουτέστιν ἐκαθαρίσθησαν.

μὴ καὶ ἄρτον] Δύναται, φησί, καὶ τὴν μυστικὴν τράπεζαν ἑτοιμάσαι καὶ ἑαυτὸν δοῦναι βρῶσιν τοῖς πιστοῖς. ἐγὼ γάρ εἰμι ὁ ἄρτος τῆς ζωῆς, ὁ ἐξ οὐρανοῦ καταβάς.

21. διὰ τοῦτο ἤκουσεν] Ἔγνω, φησί, καὶ ἐμακροθύμησεν· ᾔδει γάρ, ὅτι τὰ ἔθνη εἰσφέρει ἀντ' αὐτῶν.

καὶ πῦρ] Τὸ πῦρ τὸ τοῦ πνεύματος, τὸ νοητόν, περὶ οὗ φησίν· αὐτὸς ὑμᾶς βαπτίσει ἐν πνεύματι ἁγίῳ καὶ πυρί.

καὶ ὀργή] Ἐπὶ τὸν λαὸν τῶν Ἰουδαίων. Ἰσραὴλ γὰρ ὡς ποτὲ γένος θεοῦ ὤν, ὀργισθεὶς δὲ ἀπεβάλετο αὐτούς.

22. ὅτι οὐκ ἐπίστευσαν] Πολλῶν γὰρ τελουμένων ἰαμάτων (θαυμάτων), οὗτοι ἠπίστησαν.

οὐδὲ ἤλπισαν] Φαινομένης γὰρ τῆς σωτηρίας διὰ τῶν προφητῶν, αὐτοὶ ἀπήλπισαν [καὶ εἰς ἀπιστίαν ἔδραμον].

23. καὶ ἐνετείλατο] Καὶ αἰσθηταῖς καὶ νοηταῖς· αἰσθηταῖς, ἵνα ἑτοιμάσωσι τροφὴν τῷ λαῷ τῶν

Ἑβραίων, νοηταῖς δὲ τοὺς προφήτας, ἵνα κηρύξωσι τὴν νοερὰν τροφὴν τοῖς ἔθνεσι.

καὶ θύρας] *Τοὺς προφήτας λέγει, ἵνα δι' αὐτῶν ἐμφανίσῃ τῇ γῇ τὴν χάριν.*

24. *καὶ ἔβρεξεν*] *Τροφὴν ἀχειροποίητον, προτυπῶν τὴν μυστικὴν τροφήν, τὸ σῶμα Χριστοῦ.*

καὶ ἄρτον] *Τὸ μάννα ὡς ἀχειροποίητον οὐράνιον ἐκάλεσεν, ἐσήμανε δὲ τὸ σῶμα Χριστοῦ.*

25. *ἄρτον*] *Τὸν ὕμνον τῶν ἀγγέλων λέγει, ὃν ἐπὶ τῆς γῆς ἐδίδαξεν ὁ σωτήρ· ἄρτος γὰρ αἰσθητὸς ἀγγέλοις ἀκατάλληλος τροφή.*

ἐπισιτισμόν] *Ὅσον (ὅσων) γὰρ ἤθελον, ἀνενδεῶς εἶχον, ὡς οἱ πιστοὶ ἀνελλιπῶς τὸν ἄρτον τῆς ζωῆς [ἔχουσι].*

26. *καὶ ἐπῆρεν*] *Ὁ γὰρ Ἀμβακοὺμ λέγει· ὁ θεὸς ἀπὸ λιβὸς ἥξει· τούτου χάριν καὶ ὁ Δαυὶδ αἰνίττεται.*[1]

27. *καὶ ἔβρεξεν*] *Τὴν ὀρτυγομήτραν λέγει τότε τῷ λαῷ τῶν Ἑβραίων, ἐπὶ δὲ τῷ πιστῷ λαῷ τὴν σάρκα τοῦ κυρίου.*

καὶ ὡσεὶ ἄμμον] *Περὶ τῶν αὐτῶν σημαίνει ὁ λόγος, ἵνα ἀκαμάτως ἐσθίωσεν.*

28. *καὶ ἐπέπεσον*] *Πέριξ γὰρ τῶν οἴκων αὐτῶν παρῆν ἡ τροφή.*

29. *καὶ ἐφάγοσαν*] *Τότε οἱ Ἰσραηλῖται ὡς γαστρίμαργοι.*[2]

καὶ τὴν ἐπιθυμίαν] *Πάντα γὰρ τὰ θελήματα αὐτῶν ἐποίει ὁ θεός, ὅπως μὴ δέξονται ἀφορμήν.*

30. *οὐκ ἐστερήθησαν*] *Ἐν οὐδενὶ γὰρ ἐστερήθησαν ἀπὸ θεοῦ· αὐτοὶ δὲ τοῦ γογγύζειν ἐξ ἀλαζονείας οὐκ ἐπαύσαντο.*

ἔτι τῆς βρώσεως] *Ἔτι γὰρ ἐμασῶντο τὴν δόξαν τοῦ θεοῦ καὶ ἐγόγγυζον.*

31. *καὶ ὀργή*] *Καὶ ὀργισθεὶς ὁ θεὸς ἐπάταξεν αὐτούς.*

καὶ ἀπέκτεινεν] *Ἀπεκτάνθησαν γὰρ τότε διὰ τὴν ἀπείθειαν καὶ ἀντιλογίαν αὐτῶν. τότε· πότε; ὅτε ἔλεγον· ποιήσωμεν ἡμῖν θεούς, οἳ προπορεύσονται ἡμῖν (ἡμῶν).*

καὶ τοὺς ἐκλεκτούς] *Τοὺς ἐκλεκτούς (ἐπιλέκτους), τοὺς δυνάστας (δυνατοὺς) τοῦ Ἰσραὴλ συνεπόδησαν.*

32. *ἐν πᾶσιν τούτοις*] *Οὐ γὰρ ἔκαμψεν αὐτοὺς ἡ ἐπιτιμία τοῦ θεοῦ.*

καὶ οὐκ ἐπίστευσαν] *Οὔτε πάλαι οὔτε ἐπὶ τέλει ὁρῶντες τὰ σημεῖα ἐπίστευσαν τῷ θεῷ.*

33. *καὶ ἐξέλιπον*] *Ἠπειγμένοι (ἠπειγμένος) δι' ἀσέβειαν αὐτῶν.*

34. *ὅταν ἀπέκτεινεν*] *Μὴ νοοῦντες, ὅτι μετάνοια ἐν τῷ θανάτῳ οὐκ ὠφελεῖ (ἔστιν).*

καὶ ἐπέστρεφον] *Ἐν ὑποκρίσει νομίζοντες τὸν θεὸν λανθάνειν.*

35. *καὶ ἐμνήσθησαν*] *Πολλάκις*

---

[1] Ven. post ὁ θεὸς continuat sic: *ἀπὸ Θεμὰν ἥξει. ὁ αὐτὸς δὲ προφήτης ἐν τῷ ἑβραικῷ λέγει· ὁ θεὸς ἐκ νότου ἥξει.*

[2] V.: *Τότε Ἰσρ. ὡς γέγραπται σφόδρα ἀντὶ τοῦ πολλὰ ὡς γαστρίμαργοι.*

γὰρ ἐμνημόνευον, πλειστάκις δὲ ἠθέτουν ἐξ ἀπιστίας.

καὶ ὁ θεός] *Πάντα ὡς ἐνόμιζον εἰρηνικὰ (ἐν εἰρήνῃ) ἔπραττον, ἀλλὰ ὁ θεὸς οὐ μυκτηρίζεται.*

36. *καὶ ἠγάπησαν*] *Τῷ στόματι μόνον, τῇ δὲ ψυχῇ ὑπεκρίνοντο.*

καὶ τῇ γλώσσῃ] *Ἐλάλουν γὰρ καλά, διενοοῦντο δὲ φαῦλα.*

37. *ἡ δὲ καρδία*] *Ἐξέκλιναν γὰρ ἀπὸ θεοῦ καὶ εἰδώλοις προσεχώρησαν.*

οὐδὲ ἐπιστώθησαν] *Ἀνεγίνωσκον γὰρ τὸν νόμον, ἀλλ' οὐκ ἐπίστευσαν τῷ λαλήσαντι αὐτόν.*

38. *αὐτὸς δέ ἐστιν*] *Ἀεὶ γὰρ ὡς οἰκτίρμων συνεπάθει (συμπαθεῖ) αὐτοῖς καὶ οὐ διέφθειρεν αὐτούς· ἐξεδέχετο γὰρ τὴν ἐπιστροφὴν αὐτῶν.*

καὶ πληθυνεῖ] *Ἐπεκράτει γὰρ ἀεὶ τοῦ ἐκτρίψαι αὐτούς.*

καὶ οὐχὶ ἐκκαύσει] *Οὐ πληρώσει αὐτὴν φειδόμενος αὐτῶν.*

39. *καὶ ἐμνήσθη*] *Ἐλογίσατο γάρ, ὅτι ποτὲ σαρκικὸν φρόνημα εὐαρεστεῖ τῷ θεῷ, καὶ ὡς συμπαθὴς ἐφείσατο.*

πνεῦμα] *Ὧδε τὸν θάνατον αἰνίττεται καὶ συνέπασχεν ὡς θνητοῖς (θνητός, νεκρός).*

40. *ποσάκις παρεπίκραναν*] *Καὶ γὰρ τροποφορούμενοι ἐν τῇ ἐρήμῳ ἠθέτησαν.*

παρώργισαν] *Ἔλεγον γὰρ τῷ Μωυσῇ· ἐξήγαγες ἡμᾶς εἰς τὴν ἔρημον [θανατῶσαι], ἀμνημονοῦντες τῶν προλαβόντων ἀγαθῶν.*

41. *καὶ ἐπέστρεψαν*] *Πολλάκις παρέβησαν καὶ ἐπέστρεψαν καὶ πάλιν ἐπείρασαν.*

καὶ τὸν ἅγιον] *Τὸν Μωυσῆν παρώξυναν· ἦν γὰρ ἐξ Ἰσραήλ.*

42. *οὐκ ἐμνήσθησαν*] *Πῶς ἐν δυναστείᾳ (δυνάμει) μεγάλῃ ἐρρύσατο αὐτοὺς ἐκ τῆς δουλείας τῶν Αἰγυπτίων.*

ἡμέρας ἧς] *Οὐδὲ γὰρ τῆς ἡμέρας ἐκείνης ἐμνήσθησαν, ὡς ἐρρύσθησαν ἐκ τῶν ἐχθρῶν.*

43. *ὡς ἔθετο*] *Ὅταν οἱ Αἰγύπτιοι ἦσαν ἐν θλίψει καὶ αὐτοὶ ἐν ἀγαλλιάσει.*

καὶ τὰ τέρατα] *Ἡ Τάνις χώρα ἐστὶ τῶν Αἰγυπτίων, ἐν ᾗ τὰ πλεῖστα σημεῖα ἐγένετο. ἑρμηνεύεται δὲ ἐντολὴ ταπεινή, ὡς ταπεινωθέντων ἐκεῖ τῶν Αἰγυπτίων, ἀλλ' οὐδὲ οὕτως ἐπίστευσαν.*

44. *καὶ μετέστρεψεν*] *Παρὰ γὰρ τοῖς Αἰγυπτίοις αἷμα ἦν τὸ ὕδωρ, παρὰ δὲ τοῖς Ἰσραηλίταις ὕδωρ ἦν καθαρόν. ἀλλ' οὐδὲ οὕτως κατενύγησαν ἢ μετενόησαν.*

καὶ τὰ ὀμβρήματα] *Ὠρυσσον γὰρ οἱ Αἰγύπτιοι λάκκους καὶ αὐτὸ τὸ ἔομβρον αὐτοῖς ἦν αἷμα, ἀλλὰ τούτων ὁ λαὸς ἀμνήμων ἐγένετο.*

45. *ἐξαπέστειλεν*] *Καὶ οἱ μὲν Αἰγύπτιοι ἐτιμωροῦντο, ὁ δὲ Ἰσραὴλ οὐκ ἔπασχεν οὐδέν.*

καὶ βάτραχον] *Δι' εὐτελῶν ζώων καὶ βδελυκτῶν ἐπολεμοῦντο οἱ Αἰγύπτιοι. τοσαύτη ἦν ἡ φειδὼ τῶν υἱῶν Ἰσραήλ.*

46. καὶ ἔδωκεν] Ὥστε ἐξαφανίσαι αὐτῶν τοὺς καρπούς, ὥστε λιμῷ αὐτοὺς διαφθαρῆναι.

καὶ τοὺς πόνους] Λυμαίνεται γὰρ καὶ ἡ ἀκρὶς τοὺς καρπούς.

47. ἀπέκτεινεν] Καὶ τῇ χαλάζῃ πρὸς συγκλασμὸν καὶ τῇ πάχνῃ πρὸς τὸ ξηρᾶναι, ἵνα μήτε οἶνον πρὸς ἀπόλαυσιν μήτε ξύλον [καύσιμον, κάρπιμον] πρὸς διατροφὴν ἔχωσι. καὶ πᾶν ἐγένετο πρὸς ἐκδίκησιν τοῦ λαοῦ, ἀλλ' οὐκ ἦν ἐν αὐτοῖς ὁ συνιών.

48. καὶ παρέδωκεν] Πανταχόθεν πενία καὶ ἀνυπαρξία (ἀνευποριστία) ἐταπείνουν τοὺς Αἰγυπτίους, ἵνα μετὰ δόξης καὶ δυνάμεως ἐξέλθῃ ὁ Ἰσραήλ, ἀλλὰ ἡ καρδία αὐτῶν, ἡ σκληρά, οὐ κατενύγη (μετενόησεν).

49. ἐξαπέστειλεν] Καταπτήσσων διὰ πάντων, ἵνα δείξῃ τῷ λαῷ τὴν δύναμιν αὐτοῦ εἰς προτροπὴν πίστεως, ἀλλ' ἐπὶ τούτοις πᾶσιν ἡ καρδία ἀνήλατος (καρδία αὐτῶν σκληρά).

θυμὸν καὶ ὀργήν] Διὰ πάσης γὰρ θλίψεως ἐταπείνου ὁ θεὸς τοὺς Αἰγυπτίους, ἵνα ὁ λαὸς τῶν Ἰουδαίων ἐνδοξασθῇ· οὐ συνῆκαν δὲ ἐπὶ τοῖς γινομένοις.

50. ὡδοποίησεν] Τουτέστιν κατὰ κρίσιν τοῦ θεοῦ ἦλθεν ἐπ' αὐτοὺς ἡ ὀργὴ τοῦ θεοῦ, ἕως οὗ εἰς τέλος ἀπεκτάνθησαν.

οὐκ ἐφείσατο] Πάντες γὰρ ἐθανατώθησαν ὑπὸ ῥοπήν.

καὶ τὰ κτήνη] Λέγει μὲν καὶ τὰ αἰσθητὰ κτήνη, νόει δὲ καὶ τοὺς ἀνοήτους ἀνθρώπους.

51. καὶ ἐπάταξεν] Ἐπειδὴ πρωτότοκος ὁ Χριστὸς καὶ πρώτην καταλαμβάνει τὴν Αἴγυπτον· τύπος γὰρ ἦν τὸ γινόμενον. Αἰγύπτου γὰρ πρώτης ἔπεσεν τὰ εἴδωλα.

ἀπαρχήν] Χὰμ ἑρμηνεύεται ἀπώλεια· ἀπώλεσεν δὲ ὁ θεὸς τῶν Αἰγυπτίων τὰ ὑπάρχοντα, δι' ὧν ἐθερμαίνοντο εἰς ἀλαζονείαν.[1]

52. καὶ ἀπῆρεν] Τότε τὸν Ἰσραὴλ ἐξ Αἰγύπτου καὶ ἐκ θλίψεως· Αἴγυπτος γὰρ ἐκθλίβουσα ἑρμηνεύεται· νῦν δὲ τὰ ἔθνη ὡς πρόβατα προσελάβετο.

καὶ ἤγαγεν] Τότε τὸν λαὸν τῶν Ἰουδαίων ἐν τῇ ἐρήμῳ τῇ αἰσθητῇ· νῦν δὲ τὰ ἔθνη ἐν τῇ ἐκκλησίᾳ. ἔρημος γὰρ ἦν ἡ ἐκκλησία τὸ πρότερον.

53. καὶ ὡδήγησεν] Οὔτε γὰρ ὁ λαὸς τῶν Ἰουδαίων ἐφοβεῖτο ὑπὸ θεοῦ ὁδηγούμενος (ἐφοβοῦντο ὑπὸ θεοῦ ὁδηγούμενοι) τότε, οὔτε ὁ λαὸς ὁ πιστὸς ἔτι δειλιᾷ (ἐδειλία), ἐν τῇ ἐκκλησίᾳ τοῦ Χριστοῦ ποιμαινόμενος.

καὶ τοὺς ἐχθρούς] Τότε (τοὺς) αἰσθητοὺς ἐχθροὺς ἡ θάλασσα ἡ αἰσθητή, τοὺς δὲ νοητοὺς ἐχθρούς,

[1] V. Baroc. add.: αἱ δέκα πληγαὶ ἔχουσιν οὕτως· α' τὸ ὕδωρ αἷμα, β' ἡ τῶν βατράχων πληθὺς ὡς καὶ ἐν βρώσει καὶ πόσεσι καὶ κοίταις εὑρίσκεσθαι, γ' τὸ τῶν φθειρῶν πλῆθος, δ' θηρίων παντοίων πολύτροπα γένη, ε' δεινῶς αὐτοῖς ἐξηλκοῦντο τὰ σώματα τῶν ἐντὸς διαφθειρομένων, ς' χάλαζαι, ζ' ἀκρίς, η' σκότος ψηλαφητόν, θ' τῶν πρωτοτόκων θνῆσις, ι' ἡ τῆς θαλάσσης πανολεθρία πόντωσις.

ὅ ἐστιν οἱ δαίμονες, ἡ θάλασσα ἡ νοητή, ὅ ἐστι τὸ βάπτισμα.

54. καὶ εἰσήγαγεν] Εἰσήγαγε πρὸς (εἰς) τὰ μυστήρια, τὰ πραχθέντα ἐν τῷ ὄρει Σινᾶ, ἐν τῷ ὄρει τοῦ Γολγοθᾶ, ἐν τῷ ὄρει τῶν ἐλαιῶν.

ὄρος τοῦτο] Ταῦτα γὰρ τὰ ὄρη ἐκτήσατο, ἡνίκα ἐποίησε τὴν γῆν τῇ δεξιᾷ αὐτοῦ· νόει δὲ τὸν Γολγοθᾶ.

55. καὶ ἐξέβαλεν] Τότε διὰ τοὺς Ἰουδαίους ἐξέκοψε τὰ ἔθνη τῶν Ἀμορραίων καὶ Χετταίων· νῦν δὲ διὰ τὸν πιστὸν λαὸν τοὺς δαίμονας.

καὶ ἐκληροδότησεν] Ἔλαβον γὰρ τὰ ἔθνη κληρονομίαν (κληρονομίας) τὸν κύριον (Χριστὸν) διὰ τοῦ εὐαγγελίου, ὅ ἐστι σχοινίον, τουτέστιν ἀσφάλεια.

καὶ κατεσκήνωσεν] Ἐν τοῖς σκηνώμασιν τῶν Ἀμορραίων κατῴκησαν οἱ Ἰσραηλῖται, ἐν δὲ ταῖς ἐκκλησίαις κατεσκήνωσαν τὰ ἔθνη πιστεύσαντα.[1]

56. καὶ ἐπείρασαν] Ὁ λαὸς τῶν Ἰουδαίων (Ἑβραίων)· ἐκ προγόνων γὰρ καὶ πειραστὴς καὶ γογγυστής.

καὶ τὰ μαρτύρια] Λαβόντες γὰρ τὸν νόμον οὐκ ἐφύλαξαν.

57. καὶ ἐπέστρεψαν] Αἰνίττεται τοὺς ἐπὶ τοῦ Χριστοῦ Ἰουδαίους· ὅτι καθὼς οἱ πατέρες αὐτῶν ἐν τῇ ἐρήμῳ ἠθέτησαν, οὕτως καὶ οὗτοι ἐπὶ τοῦ σταυροῦ (σωτῆρος).

καὶ μετεστράφησαν] Γένος γὰρ θεοῦ ὄντες, μετεστράφησαν τῆς εὐθείας ὁδοῦ, εἰς ἃ μὴ δεῖ.

58. καὶ παρώργισαν] Εἰδωλομανοῦντες ἐν τοῖς ὑψηλοῖς καὶ θυμιάζοντες τοῖς δαίμοσιν.

καὶ ἐν τοῖς γλυπτοῖς] Τοῖς ξοάνοις (ξύλοις) προσκυνοῦντες.

59. ἤκουσεν ὁ θεός] Τουτέστιν ἔγνω ὁ θεὸς, ἃ ἐποίησαν καὶ ὑπερεῖδεν αὐτούς, μισήσας αὐτούς [τὸ γένος τοῦ Ἰσραὴλ ἤγουν τῶν Ἰουδαίων].

60. καὶ ἀπώσατο] Ὡς τυφλώττουσαν τὴν συναγωγήν· Σιλωὰμ γὰρ ὑπόχυσις ἑρμηνεύεται.

σκήνωμα αὐτοῦ] Οὔτε γὰρ κατεσκήνωσεν ἐν ταῖς συναγωγαῖς αὐτῶν (ταῖς αὐτῶν ψυχαῖς) ὁ Χριστὸς ὡς βδελυκταῖς.

61. καὶ παρέδωκεν] Ἡνίκα οἱ Ἀσσύριοι ἐξηχμαλώτησαν τὴν παλαιὰν Ἱερουσαλὴμ καὶ πάντα τὰ ἱερὰ καὶ αὐτοὺς μετήνεγκαν εἰς Βαβυλῶνα.

καὶ τὴν καλλονήν] Πάντα γὰρ τὰ ἐπίλεκτα τοῦ ἱεροῦ ἤρθη εἰς Βαβυλῶνα ὑπὸ τῶν πολεμίων.

62. καὶ συνέκλεισεν] Παρεδόθησαν γὰρ εἰς θάνατον διὰ τὴν καρδίαν αὐτῶν τὴν πονηράν.

καὶ τὴν κληρονομίαν] Ἐξεκόπησαν γὰρ τοῦ εἶναι λαὸς θεοῦ.

63. τοὺς νεανίσκους] Ὅσοι ἐνεανιεύθησαν κατὰ θεοῦ, ἀνηλώθησαν πυροπολουμένης τῆς ἀρχαίας (παλαιᾶς) Ἱερουσαλήμ.

---

[1] V. habet haec: Ἐν τοῖς σκηνώμασιν αὐτῶν τὰς φυλὰς τοῦ Ἰσραήλ· τῶν Ἀμμορραίων τὰ σκηνώματα, ἐκεῖ κατῴκησαν οἱ Ἰσραηλῖται κτλ.

καὶ αἱ παρθένοι] Αἰχμάλωτοι γὰρ ἀπὸ Χαλδαίων αἱ παρθένοι αὐτῶν ἐγένοντο καὶ οὐκ ἦν ὁ πενθῶν, οὐ νυμφίος, οὐ πατήρ, οὐ μήτηρ· νόει δὲ καὶ τὰς συναγωγὰς αὐτῶν.

64. οἱ ἱερεῖς αὐτῶν] Ἐν αὐτῷ γὰρ τῷ ναῷ κατεσφάγησαν.

καὶ αἱ χῆραι] Καὶ αὗται γὰρ διηρπάγησαν καὶ οὐκ ἦν ὁ κλαίων περὶ αὐτῶν.

65. καὶ ἐξηγέρθη] Ἐκ τῆς πολλῆς μακροθυμίας ὡς ἐξ ὕπνου ἐνομίσθη ἐγηγέρθαι.

ὡς δυνατός] Ὡς δυνάστης (δυνατὸς) ἐκ μέθης καὶ ὕπνου ἀνανήψας καὶ τῆς κεφαλῆς σαλευομένης ἀφειδῶς, ὥσπερ οὕτως ὀργισθεὶς ὁ θεὸς ἄρδην ἐπάταξε τοὺς Ἰουδαίους.

66. καὶ ἐπάταξεν] Ὡς γὰρ ἐχθροὺς ὄντας θεοῦ ἐπάταξεν αὐτοὺς (τοὺς Ἰουδαίους), τοῦ μηκέτι εἶναι λαὸν θεοῦ.

ὄνειδος αἰώνιον] Ἕως γὰρ τῆς συντελείας τοῦ αἰῶνος (Καὶ ἐν τῷ νῦν αἰῶνι καὶ ἐν τῷ μέλλοντι) καὶ μετὰ τὴν συντέλειαν τὸ ὄνειδος αὐτῶν ἀνεξάλειπτον μένει.

67. καὶ ἀπώσατο] Ἀπὸ μέρους ὅλον τὸ ἔθνος τῶν Ἰουδαίων λέγει.

καὶ τὴν φυλήν] Τουτέστιν (καὶ) τὰς καρποφορίας αὐτῶν ἐμίσησεν. Ἐφραὶμ γὰρ καρποφορία ἑρμηνεύεται.

68. καὶ ἐξελέξατο] Τοὺς ἐξομολογουμένους· Ἰούδας γὰρ ἐξομολόγησις ἑρμηνεύεται. νόει δὲ καὶ τὸ κατὰ σάρκα· ἐξ Ἰούδα γὰρ ὁ κύριος ἀνέτειλεν (ἀνατέταλκεν).

τὸ ὄρος] Τὴν ἐκκλησίαν νόει· Σιὼν γὰρ σκοπεύτρια ἑρμηνεύεται. διὰ τῆς ἐπισκοπῆς ἤγουν τῆς ἐκκλησίας ἐπισκοπεῖ ὁ Χριστὸς τὰ ἔργα τὰ ἡμέτερα. αὐτὴν γὰρ ἀγαπήσας ὁ Χριστὸς ἐξελέξατο.

69. καὶ ᾠκοδόμησεν] Κέρας ἑρμηνεύεται ἰσχύς, μονόκερως δὲ μονότροπος ἡ πίστις, καθὼς γέγραπται· εἷς κύριος, μία πίστις, ἓν βάπτισμα.

ἐν τῇ γῇ] Τὴν ἐκκλησίαν καὶ τὴν πίστιν· ταῦτα γὰρ μένουσιν εἰς τὸν αἰῶνα.

70. καὶ ἐξελέξατο] Τὸν Χριστὸν ὁ πατήρ. λέγει γάρ· οὗτός ἐστιν ὁ υἱός μου ὁ ἀγαπητός· ἐκ τοῦ Δαυὶδ γὰρ (τὸ) κατὰ σάρκα ⟨ἐγεννήθη⟩.

καὶ ἀνέλαβεν] Τὸν Χριστὸν ἐκ τοῦ λαοῦ τῶν Ἰουδαίων τὸ κατὰ σάρκα, ὡς Δαυὶδ ἐκ τῶν προβάτων.

71. ἐξόπισθεν] Κατόπιν (κατόπισθεν) τῶν ἐκκλησιῶν λέγει· αὗται γὰρ πανταχοῦ ὀχλοποιοῦνται. λόχος[1] γάρ ἐστιν ὁ ὄχλος, ἔστι δὲ ὁ Χριστός.

ποιμαίνειν] Ἐβασίλευσε γὰρ ὁ Χριστὸς ἐπὶ τὸν λαὸν τῶν ἐθνῶν· Ἰσραὴλ γὰρ ὁρατὸς θεοῦ (ὁρῶν θεὸν) ἑρμηνεύεται, ὡς ὁ λαὸς ὁ πιστὸς ὁρᾷ διηνεκῶς τὸν θεόν.

---

[1] Versio slavica praebet vocem, quae graeco θηλασμός sive τὸ θηλάζειν respondet, quare lectionem codicum λόγος in λόχος mutandam putavi, quod ad vocem psalmi τῶν λοχευομένων refertur.

72. καὶ ἐποίμανεν] Ὁ Χριστὸς τὸν λαὸν τῶν ἐθνῶν ὡς νεογενῆ, ὡς ἄκακον ὄντα ἐποίμανε, τουτέστιν ὡδήγησεν πρὸς τὴν νομὴν τῶν εὐαγγελίων καὶ τῆς χάριτος.

καὶ ἐν τῇ συνέσει] Τῇ γὰρ ἀγαθότητι τοῦ Χριστοῦ καὶ τῇ δεξιᾷ αὐτοῦ ὁδηγοῦνται οἱ πιστοὶ εἰς τὴν ὁδὸν τῆς αἰωνίου ζωῆς.

LXXVIII.

Ψαλμὸς τῷ Ἀσάφ] Περὶ τῆς συναγωγῆς ὁ λόγος δηλοῖ, ὅσα ἔπαθε κατὰ καιρὸν ὑπὸ τῶν ἐχθρῶν διὰ τὴν ἀπιστίαν αὐτῶν.

1. Ὁ θεός, ἦλθοσαν] Ἀντίοχος καὶ οἱ λοιποὶ μετ᾽ αὐτόν, ὡς ἐπόρθησαν τὸ ἱερὸν καὶ ἐβεβήλωσαν αὐτό.

ἐμίαναν] Μετὰ γὰρ ἀκαθαρσίας εἰσελθόντες ἐμόλυναν τὰ δοκοῦντα [εἶναι] ἅγια αὐτῶν.

ἔθεντο] Οὕτως γὰρ αὐτὴν ἠρήμωσαν, ὡς εἶναι αὐτὴν καλύβην φυλάσσουσαν ὀπώρας.

2. ἔθεντο τὰ θνησιμαῖα] Οἱ κόρακες γὰρ σὺν τοῖς γυψὶν ἤσθιον τοὺς σφαζομένους ὑπὸ τῶν ἐχθρῶν.

τὰς σάρκας] Ὡς εἰκὸς γάρ, καὶ νήπιοι καὶ ὅσιοι κατεσφάζοντο, ἠσθίοντο δὲ καὶ ὑπὸ τῶν θηρίων.

3. ἐξέχεαν τὸ αἷμα] Τοσοῦτοι γὰρ ἦσαν οἱ πίπτοντες ὑπὸ τῶν πολεμίων, (ὡς) περιεκλύζετο ἡ πόλις τοῖς αἵμασι καὶ οὐδὲ ταφῆς ἠξιοῦντο. ταῦτα δὲ συνεχώρησεν ὁ θεὸς γίνεσθαι διὰ τὴν παρανομίαν αὐτῶν (τοῦ λαοῦ).

4. ἐγενήθημεν] Κατεγελάσθησαν καὶ ὠνειδίσθησαν ὑπὸ τῶν ἐχθρῶν καὶ τῶν ἐθνῶν. ὅτι τιμώμενοι ὑπὸ θεοῦ πῶς οὕτως ὠνειδίσθησαν (ἠτιμάσθησαν).

μυκτηρισμός] Πάντα γὰρ τὰ πέριξ ἔθνη ἐχλεύαζον, μυκτηρίζοντες τὴν Ἱερουσαλὴμ τὴν ἀρχαίαν, ὅτι πῶς ἀγαπωμένη ἠτιμώθη ὑπὸ θεοῦ, ἀτιμάσασα τὸν θεόν.

5. ἕως πότε] Ἡ συναγωγὴ συνεχομένη δέεται τοῦ θεοῦ, ὥστε παῦσαι τὴν ὀργήν.

ἐκκαυθήσεται] Γέγραπται γάρ· ζηλῶν ἐζήλωσα τὴν Ἱερουσαλὴμ ζῆλον μέγαν. καὶ πάλιν· ὁ ζῆλος [τοῦ οἴκου σου κατέφαγέ με καὶ ὁ ζῆλος] κυρίου Σαβαὼθ ἐποίησε ταῦτα.

6. ἔκχεον τὴν ὀργήν] Ἐπὶ τὰ ἔθνη, φησί, στρέψον (τρέψον) τὴν ὀργήν σου, ἵνα τῷ φόβῳ ἐπιστρέψωσι καὶ ἐπιγνώσονταί (ἐπιγνώσωσί) σε, τὸν ἀληθινὸν θεόν.

καὶ ἐπὶ βασιλείας] Ὅπως καὶ αὐτοὶ συνῶσι καὶ πιστεύσωσι (ἐπιστρέψουσιν).

7. ὅτι κατέφαγον] Τὸν ἰουδαϊκὸν λαόν· κατεβρώθησαν γὰρ ὑπὸ τῶν ἐθνῶν, καὶ οἱ τόποι αὐτῶν ἐγενήθησαν ἔρημοι παρὰ τὸ μὴ κατοικεῖσθαι.

8. μὴ μνησθῇς] *Κράζουσι τὰ ἔθνη· μὴ μνησθῇς ἡμῶν τοῦ προτέρου βίου, ἡνίκα εἰδώλοις προσεκυνοῦμεν, ἀλλὰ ἐπίσκεψαι ἡμᾶς ὡς θεός.*

ταχὺ προκαταλαβέτωσαν] *Τουτέστιν σπεῦσον πρὸς ἀναζήτησιν ἡμῶν καὶ οἴκτειρον ἡμᾶς ὡς συμπαθής.*

8—9. ὅτι ἐπτωχεύσαμεν· — ὁ σωτὴρ ἡμῶν] *Πολλὴ γὰρ πτωχεία θεοσεβείας ἦν παρὰ τοῖς ἔθνεσι πρὸ τοῦ πιστεῦσαι· πιστεύσαντα δὲ ἐπλούτησαν τὰ ἔθνη.*

ἕνεκα τῆς δόξης] *Δόξα γὰρ τοῦ ὀνόματος τοῦ Χριστοῦ εἰς τὰ ἔθνη, ῥυσθέντα ἀπὸ τῶν δαιμόνων.*

καὶ ἱλάσθητι] *Ἐν γὰρ τῷ ὀνόματι τοῦ Χριστοῦ ἄφεσις ἁμαρτιῶν καταγγέλλεται καὶ τοῦτο ἐπιζητεῖ (ἐπεζήτει) τὰ ἔθνη.*

10. μήποτε εἴπωσιν] *Τὰ ἔθνη, τὰ μὴ ἐπεγνωκότα τὸν θεόν.*

καὶ γνωσθήτω] *Τοῦ αἵματος λέγει τῶν μαρτύρων.*

11. εἰσελθάτω] *Τῶν ψυχῶν, τῶν πεπεδημένων ταῖς ἁμαρτίαις.*

κατὰ τὴν μεγαλωσύνην] *Τῶν ἀποθανόντων τῇ ἁμαρτίᾳ, φησί· τούτων τὰ ἔκγονα περιποίησαι τῇ πίστει.*

12. ἀπόδος] *Τοῖς δαίμοσι λέγει, ὑπὲρ ὧν ἐγειτόνευσαν τῷ ἀνθρώπῳ διὰ τῆς πλάνης· τούτοις διπλᾶ ἀπόδος, καθὼς ἐποίησαν τῷ ἀνθρώπῳ.*

τὸν ὀνειδισμόν] *Λέγοντες τῷ ἀνθρώπῳ οἱ δαίμονες· ποῦ ἐστιν ὁ θεός σου;*

13. ἡμεῖς γὰρ λαός] *Πιστεύσαντα γὰρ τὰ ἔθνη ἐγενήθη μία ποίμνη [ἁγία] τοῦ Χριστοῦ.*

ἀνθομολογησόμεθα] *Τουτέστιν ἐξομολογησόμεθά σοι, κύριε, περὶ τῶν προτέρων ἁμαρτιῶν.*

εἰς γενεάν] *Ἑκάστῃ γὰρ γενεᾷ τῇ ἐρχομένῃ διηγήσασθαι χρὴ τὴν δόξαν σου, κύριε.*

LXXIX.

Εἰς τὸ τέλος — ὑπὲρ τοῦ Ἀσσυρίου] *Ἡ προφητεία τὴν ἐπὶ τέλει μεταβολὴν σημαίνει τῆς συναγωγῆς μαρτυρομένης τὴν ἔκπτωσιν τὴν ἀπὸ τῶν Ἀσσυρίων ἔσεσθαι μέλλουσαν. ἔτι καὶ τὴν Χριστοῦ παρουσίαν.*

2. ὁ ποιμαίνων] *Εὐχὴ τοῦ λαοῦ πρὸς τὸν θεόν.*

ὁ ὁδηγῶν] *Αἰνίττεται τοὺς ἐν σωφροσύνῃ ζῶντας, ὅτι ὁδηγοῦνται ὑπὸ τοῦ θεοῦ, καθὼς ὁ σώφρων Ἰωσήφ.*

ὁ καθήμενος] *Λέγει περὶ τῆς ἐλεύσεως τοῦ Χριστοῦ.*

3. ἐναντίον Ἐφραΐμ] *Ὅλον τὸ ἔθνος αἰνίττεται τῶν Ἰουδαίων, ὡς σκληρῶν ὄντων καὶ ἀσεβῶν.*

ἐξέγειρον] *Τὰ ἔθνη κράζουσι· ἀνάστα (ἀνάστας), φησί, κατάβηθι εἰς ἀναζήτησιν ἡμῶν καὶ σῶσον ἡμᾶς, ὁ θεός, ὡς ἐλεήμων.*

4. ὁ θεός, ἐπίστρεψον] Ἐκ τῆς ὁδοῦ τῆς πλάνης [τὰ ἔθνη].

καὶ ἐπίφανον] Ἴδωμεν τὴν δόξαν σου κατασκηνοῦσαν ἐν ἡμῖν καὶ σωζώμεθα.

5. κύριε ὁ θεός] Ἕως πότε δεομένων ἡμῶν παρασιωπᾷς, φησὶ τὰ ἔθνη, ἀλλὰ (καὶ) ἐσμὲν ἐν αἰχμαλωσίᾳ τῶν δαιμόνων.

6. ψωμιεῖς] Οὔτε γὰρ χωρὶς κλαυθμοῦ ἐσθίομεν τὸν ἄρτον, ἐπιποθοῦντες τυχεῖν τοῦ ἄρτου τοῦ μυστικοῦ.

καὶ ποτιεῖς] Καὶ γὰρ τὸ ποτήριον ἡμῶν δάκρυσι κιρνᾶται· ἐκδεχόμεθα (ἐκδεχόμενοι) γὰρ τυχεῖν τοῦ αἵματός σου, κύριε.

7. ἔθου ἡμᾶς] Τῷ λαῷ, φησί, τῶν Ἰουδαίων· οὐ γὰρ ἐβούλοντο τὰ ἔθνη σωθῆναι.

καὶ οἱ ἐχθροί] Οἱ δαίμονες· ἐχθροὶ γὰρ κακοὶ οὗτοι τοῦ ἀνθρώπου· ἐξουδένωσαν γὰρ τὸν ἄνθρωπον σφόδρα.

8. κύριε ὁ θεός] Φησὶ τὰ ἔθνη πρὸς τὸν θεόν· πλανωμένους [ἡμᾶς] τῇ εἰδωλολατρείᾳ ἐπίστρεψον.

καὶ ἐπίφανον] Ἡνίκα γὰρ ἐπεφάνη ὁ Χριστὸς μετὰ σαρκὸς ἐπὶ τῆς γῆς, ἐσώθη ὁ ἄνθρωπος.

Διάψαλμα· μεταφορὰ τοῦ λόγου.

9. ἄμπελον] Τὸν λαὸν τῶν Ἑβραίων ἐκ τῆς δουλείας Αἰγύπτου, τὸν νέον ἐκ τῆς θλίψεως τῶν δαιμόνων. Αἴγυπτος γὰρ ἡ θλίβουσα (ἐκθλίβουσα) ἑρμηνεύεται.

ἐξέβαλες] Τοὺς Ἀμορραίους καὶ τοὺς Χετταίους ἐξωλόθρευσε ὁ θεὸς καὶ κατῴκισε τὸν Ἰσραήλ, ὅ ἐστιν ὁ πιστὸς λαός.

10. ὡδοποίησας] Τουτέστιν ὡδήγησε (ὁδοποιήσας) διὰ Μωϋσέως.

καὶ κατεφύτευσας] Ἐστερέωσε τὴν βάσιν αὐτῶν ὡς ἀγαπωμένων, καὶ ἐπληθύνθησαν ἐπὶ πᾶν τὸ πρόσωπον τῆς γῆς. νόει δὲ καὶ τὸν νέον λαόν [τὸν πιστόν].

11. ἐκάλυψεν] Σκιὰ γὰρ καὶ τύπος τῶν μελλόντων ἦσαν οἱ Ἰουδαῖοι, καὶ τὰ ἐν αὐτοῖς πραττόμενα· διὸ τοὺς προφήτας ὡς ὄρη ἐκάλυπτεν ἡ σκιὰ τοῦ νόμου.

καὶ αἱ ἀναδενδράδες] Λοιπὸν γὰρ παυσαμένης τῆς σκιᾶς (κακίας) καὶ φανερωθείσης τῆς ἀληθείας ἐφ' ὕψους (εἰς ὕψος) σωτηρίας ἔφθασεν ἡ πίστις.

12. ἐξέτεινεν] Δηλοῖ τὸ πλάτος τῆς πίστεως καὶ τῶν περάτων (ἀρετῶν), ὅτι ἀπὸ περάτων ἕως περάτων τῆς οἰκουμένης ἐπλήρωσε τὴν γῆν.

13. ἵνα τί καθεῖλες] Τῆς σκιᾶς (τὴν σκιάν) τῶν Ἰουδαίων τὸν νόμον, ὅ ἐστιν ὁ φραγμός, τουτέστιν καθεῖλες.

καὶ τρυγῶσιν] Οἱ δαίμονες, οἱ μὴ πορευόμενοι τῇ ὁδῷ τῆς ἀληθείας, ἀλλὰ παραπορευόμενοι.

14. ἐλυμήνατο] Τὴν ἰουδαϊκὴν γενεὰν ἡ πλάνη τῶν εἰδώλων· ὡς χοῖρος γὰρ οὕτως καὶ ἡ πλάνη τῷ βορβόρῳ τρέφεται. δρυμὸς δὲ τὰ εἴδωλα ὡς ἄκαρπα καὶ ὑλώδη.

καὶ ὄνος ἄγριος] *Ὁ διάβολος κατενεμήσατο τὴν Ἰουδαίων συναγωγήν, ἐνεφιλοχώρησε (ἐφιλοχώρησε) γὰρ εἰς αὐτὴν (ἐν αὐτῇ) σφόδρα.*

15. *ὁ θεὸς τῶν δυνάμεων*] *Τουτέστι νεῦσον ἐπὶ τὰ ἔθνη τὴν φιλανθρωπίαν σου, φησὶν ὁ προφήτης.*

ἐπίβλεψον] *Ἐπίφανον τουτέστι τῇ γῇ.*

καὶ ἐπίσκεψαι] *Τὴν τῶν ἐθνῶν γενεάν.*

16. *καὶ κατάρτισαι*] *Στήριξον αὐτὴν τοῖς μυστηρίοις τοῖς σοῖς· αὕτη γὰρ μόνη φύτευμα ἅγιον ὑπάρχει τῆς δεξιᾶς τῆς σῆς, ὁ λαὸς ὁ ἐξ ἐθνῶν.*

καὶ ἐπὶ υἱόν] *Λέγει τὸν κυριακὸν ἄνθρωπον, ὃν ἀνέλαβε· δι' αὐτοῦ γὰρ ἐσώθη τὰ ἔθνη.*

17. *ἐνπεπυρισμένη*] *Ἡ συναγωγὴ ἡ ἰουδαϊκή, ὡς παροξύνουσα τὸν θεόν· καὶ γὰρ ὁ ναὸς [αὐτῶν] ἐπυρπολήθη.*

ἀπὸ ἐπιτιμήσεως] *Οἱ Ἰουδαῖοι, οἵτινες ἐξέκλιναν ἀπὸ προσώπου τοῦ κυρίου· αὐτοὶ*[1] *ἀπώλοντο, μὴ δεξάμενοι τὸν Χριστόν.*

18. *γενηθήτω*] *Λέγει τὸν Χριστόν, ὡς δεξιὰν ὄντα (δεξιὰ ὢν) τοῦ πατρός.*

καὶ ἐπὶ υἱόν] *Τὸν Χριστόν*[2], *ὡς υἱὸν θεοῦ ὄντα, λεγόμενον δὲ υἱὸν ἀνθρώπου, ὃν ἐκραταίωσεν (ἐκραταίωσας) εἰπών· οὗτός ἐστιν ὁ υἱός μου ὁ ἀγαπητός, ἐν ᾧ ηὐδόκησα.*

19. *καὶ οὐ μὴ ἀποστῶμεν*] *Ἀφ' οὗ [γὰρ] συνήφθησαν τὰ ἔθνη τῷ Χριστῷ [πιστεύσαντα], οὐκέτι χωρίζονται ἀπ' αὐτοῦ.*

ζωώσεις ἡμᾶς] *Ἀφ' οὗ γὰρ ἠξιώθησαν τῆς αἰωνίου ζωῆς οἱ πιστοί, οὐ παύονται ἐπικαλούμενοι τὸ ὄνομα κυρίου, τοῦ θεοῦ.*

20. *κύριε ὁ θεός*] *Ἔτι γὰρ χρῄζουσι τὰ ἔθνη τῆς ἐπιστροφῆς.*

καὶ ἐπίφανον] *Τῇ γὰρ ἐπιφανείᾳ τοῦ Χριστοῦ ἐσώθη πᾶσα κτίσις καὶ πᾶσα πνοή.*

LXXX.

Εἰς τὸ τέλος, ὑπὲρ τῶν ληνῶν . .] *Ληνοὺς νόει (λέγει) τὰ θυσιαστήρια, περὶ ὧν ἡ προφητεία, (καὶ) περὶ τῆς συναγωγῆς. Ἀσὰφ γὰρ συναγωγὴ ἑρμηνεύεται· προτρέπεται γὰρ τὰ ἔθνη πρὸς τὰ πνευματικὰ θυσιαστήρια.*

2. *ἀγαλλιᾶσθε*] *Αὕτη ἡ προτροπὴ τῶν ἐθνῶν, ὅπως σωθέντες ἐπὶ τῷ θεῷ ἀναπαύωνται.*

ἀλαλάξατε] *Ἐν (ἐπὶ) φωνῇ, φησί, μεγάλῃ καὶ κραυγῇ δοξάσατε τὸν κύριον (τὸν θεόν)· Ἰακὼβ γὰρ ὁ Χριστός.*

---

[1] V. continuat sic: *αὐτοὶ δὲ ἀπολοῦνται καὶ ὅσοι μὴ δεξάμενοι τὸν Χριστὸν καὶ δαίμονες καὶ πᾶς ὅστις μὴ ὁμολογεῖ κύριον Ἰησοῦν Χριστόν, ἐληλυθότα ἐν σαρκί.*

[2] A. praecedit haec: *Λέγει τὸν κυριακὸν ἄνθρωπον.*

3. λάβετε ψαλμόν] Χαρίζεται (χορηγεῖ) γὰρ ὁ θεὸς τὸν νοῦν τῷ ἀνθρώπῳ, ὥστε ψάλλειν (ᾄδειν) καὶ δοξάζειν τὸν θεόν· δότε ὑμεῖς τὸ σῶμα σὺν τῇ φωνῇ, ὥστε τὸν ἦχον ἀποτελεῖν τὸν ψαλμόν (τῶν ψαλμῶν).

ψαλτήριον] Καρδίαν καθαρὰν μετὰ τῆς γλώσσης· ἡ γλῶσσα γὰρ ὡς κιθάρα κρούουσα σημαίνει τὰ τῆς καρδίας.[1]

4. σαλπίσατε] Τουτέστι κηρύξατε πᾶσι τὴν παρουσίαν τοῦ Χριστοῦ, ὅτι νέος ὁ βίος ἐγένετο τῶν ἀνθρώπων· οὐδὲν (οὔτε) γὰρ εὐσημότερον (τι) τῆς ἡμέρας τῆς ἑορτῆς ἐκείνης, ἐν ᾗ ὁ Χριστὸς ἐφάνη τῇ γῇ·

5. ὅτι πρόσταγμα] Τῷ λαῷ τῷ πιστῷ, ὅ ἐστιν Ἰσραήλ· αὐτῷ γὰρ ἐδόθη τῆς χάριτος τὸ πρόσταγμα κατὰ κρίσιν θεοῦ.

6. μαρτύριον] Ὅτι πάντα, ὅσα ὑπέμεινεν ὁ Ἰωσήφ, τύπος ἦν τοῦ Χριστοῦ, ὅ ἐστι μαρτύριον.

ἐν τῷ ἐξελθεῖν] Τὸν λαὸν λέγει τῶν Ἑβραίων τότε, νῦν δὲ τὸν πιστόν, ὅτι ἐξῆλθεν ἀπὸ τῆς θλίψεως τῶν εἰδώλων· Αἴγυπτος γὰρ ἐκθλίβουσα ἑρμηνεύεται.

γλῶσσαν]· Τὴν φωνὴν λέγει τῶν ἐθνῶν· οὐ γὰρ ᾔδεισαν αὐτὴν τὸ πρότερον.

7. ἀπέστησεν] Ἐρρύσατο γὰρ τότε ἐκείνους τῆς πλινθουργίας, νῦν (τὸν) δὲ πιστὸν λαὸν τοῦ βάρους τῶν εἰδώλων ὡς γεώδους.

αἱ χεῖρες] Ἀνάγκῃ[2] ὡς τὰ ἄχυρα βαστάζοντες ἐν κοφίνοις, ὡς ὁ λαὸς ὁ ἐξ ἐθνῶν, δίκην κοφίνων τὰ εἴδωλα περιφέροντες.

8. ἐν θλίψει] Τότε[3] τὸν λαὸν τῶν Ἑβραίων ἐκ τοῦ πηλοῦ τῆς ἀνάγκης [ἐρρύσατο], νῦν δὲ τὸν πιστὸν λαὸν ἐκ τοῦ βορβόρου τῶν εἰδώλων.

ἐπήκουσα] Ἡνίκα γὰρ σκότος κατεῖχε τὴν γῆν Αἰγύπτου, ὁ Ἰσραὴλ ἐν φωτὶ διῆγεν καὶ οὐδεὶς τῶν Αἰγυπτίων ἑώρα· διὸ ὡς ἐν ἀποκρύφῳ ἦσαν οἱ Ἰσραηλῖται.

ἐδοκίμασα] Τότε τὸν λαὸν ἐν τῷ διψᾶν καὶ γογγύζειν· πικρὸν[4] γὰρ ἦν τὸ ὕδωρ, ἐγλυκάνθη δὲ διὰ τοῦ ξύλου. τύπος γὰρ ἦν τοῦ σταυροῦ καὶ τοῦ βαπτίσματος τὸ γινόμενον.

9. ἄκουσον] Πρὸς τὸν λαὸν τῶν Ἑβραίων ὁ λόγος.[5]

9—10. ἐὰν ἀκούσῃς μου, οὐκ

---

[1] V. incipit sic: Ψαλτήριον ὁ νοῦς, κιθάρα ἡ γλῶσσα· ἡ γλῶσσα γὰρ ὡς κτλ.

[2] V. sic: Λέγει τὸν Ἰωσὴφ ἀναγκαίως τὰ ἄχυρα βαστάζοντα ἐν κοφίνῳ, ὡς ὁ λαὸς ὁ πιστὸς κτλ.

[3] V. incipit sic: Ἐν θλίψει ὄντα τὸν Ἰωσήφ· ἐπεκαλέσατο τὸν θεὸν καὶ ἐδοξάσθη ἐν Αἰγύπτῳ ὑπὲρ τοῦ Ἰσραήλ. λέγει δὲ ὅλον τὸν λαὸν τῶν Ἑβραίων κτλ.

[4] V. continuat sic: πικρὸν γὰρ ἦν τὸ ξύλον, ἣν λέγουσί τινες πικροδάφνην καὶ διὰ πικροῦ πῶς ἐγλυκάνθησαν τὰ ὕδατα τῆς Μέρας. τύπος γὰρ κτλ.

[5] V. add. τὸ πνεῦμα τὸ ἅγιον διὰ τοῦ προφήτου λέγει πρὸς τὸν λαὸν τὸν πιστόν.

ἔσται] *Τουτέστιν ἐὰν ἀκούσῃς μου, οὐ μὴ προσκυνήσεις [θεῷ ἀλλοτρίῳ ἢ ὡς] εἰδώλοις ματαίοις, ὅ ἐστιν χειροποιήτοις.*

οὐδὲ προσκυνήσεις] *Ἐγὼ γάρ εἰμι, λέγει ὁ θεός, καὶ οὐκ ἔστι θεὸς πλὴν ἐμοῦ.*

11. *ἐγὼ γάρ εἰμι*] *Ὁ κτίσας καὶ σώζων σε.*[1]

ὁ ἀναγαγών] *Ἐγώ, φησί, ὁ θεός, ὁ λυτρωσάμενός σε ἐκ τῆς δουλείας τῶν Αἰγυπτίων καὶ ἀναγαγών σε εἰς τὴν γῆν τῆς ἐπαγγελίας.*

πλάτυνον τὸ στόμα] *Μεταφορικὸς ὁ λόγος πρὸς τὸν λαὸν τὸν πιστόν, ὅτι ἐπληρώθη τῆς αἰνέσεως τοῦ κυρίου καὶ τοῦ σώματος καὶ αἵματος τοῦ Χριστοῦ.*

12. *καὶ οὐκ ἤκουσεν*] *Ὁ ἑβραϊκὸς λαὸς τοῦτον τὸν λόγον οὐδ' ὅλως ἠνέσχετο (ἠνείχετο) ἐπακοῦσαι.*

καὶ Ἰσραήλ] *Ἐκάμμυσαν γὰρ τοὺς ὀφθαλμούς, ὥστε μὴ ἰδεῖν τὰ μυστήρια τοῦ πιστοῦ λαοῦ.*

13. *καὶ ἐξαπέστειλα*] *Καθὰ ἐβουλεύσαντο, φησί, καὶ ἐπεθύμησαν, ἀφῆκα αὐτοὺς (αὐτοῖς) τελέσαι τὰ διαβούλια (τὰ βουλεῖα) αὐτῶν, ὅτι προσκορεῖς μοι (προσκρουσμοὶ) ἐγένοντο*[2]*, φησὶν ὁ κύριος.*

πορεύσονται] *Καθὰ γὰρ ἐποίησαν, οὕτω καὶ ἀπέλαβον.*

14. *εἰ ὁ λαός*] *Εἰ ἤκουσαν τοῦ θεοῦ καὶ ταῖς ὁδοῖς αὐτοῦ ἐπορεύθησαν, οὐκ ἂν ἀπεστερήθησαν τῆς συγγενείας τοῦ θεοῦ, οὐδὲ τὰ ἔθνη ἐλάμβανον τὴν αὐτῶν δόξαν.*

15. *ἐν τῷ μηδενί*] *Εἰ μὴ γὰρ ἔπεσαν ⟨ἥμαρτον⟩, οὐκ ἂν ἐκυριεύοντο ὑπὸ τῶν ἐχθρῶν.*

καὶ ἐπὶ τοὺς θλίβοντας] *Ἐπέβαλε γὰρ ἀεὶ ὁ θεὸς τὴν χεῖρα αὐτοῦ ἐπὶ τοὺς ἐχθροὺς αὐτῶν· αὐτοὶ δὲ ἀεὶ ἠθέτουν.*

16. *οἱ ἐχθροί*] *Οἱ Ἰουδαῖοι λέγοντες· οὐκ ἔχομεν βασιλέα, εἰ μὴ καίσαρα.*

καὶ ἔσται ὁ καιρός] *Ὁ γὰρ καιρὸς ἐκεῖνος, εἰς ὃν ἐψεύσαντο τὸν θεόν, μένει αὐτοὺς εἰς τοὺς αἰῶνας.*

17. *καὶ ἐψώμισεν*][3] *Μεταφορικῶς λέγει τὸν πιστὸν λαόν, ἐσθίοντα τὸν ἄρτον τὸν μυστικόν.*

καὶ ἐκ πέτρας] *Λέγει τότε τὸ ὕδωρ τῆς ἀκροτόμου, νῦν δὲ λέγει τὸ τῆς ζωοκεντήτου πλευρᾶς ἐξελθὸν μυστήριον, ὅ ἐστι πάσης γλυκύτητος ἀνώτερον.*

LXXXI.

Ψαλμὸς τῷ Ἀσάφ] *Ὁ λόγος περὶ τῆς συναγωγῆς, ἐλέγχων τοὺς ἄρχοντας αὐτῶν καὶ καλῶν τὰ ἔθνη.*

---

[1] Ven. A. praebent pro hoc versiculo praecedentem: *Ἐγὼ γάρ εἰμι, λέγει ὁ θεός, καὶ οὐκ ἔστι θεὸς πλὴν ἐμοῦ.*

[2] Versionem slavicam secuti legimus *προσκορεῖς μοι*; V. praebet *προσκρουσμοί.*

[3] V. Bar.: *παρελθόντες οἱ λέγοντες οὐκ ἔχομεν βασιλέα ἦλθον τὰ ἔθνη καὶ ἐδωρήσατο αὐτοῖς ὁ θεὸς τὸν ἄρτον τὸν μυστικόν.*

1. ὁ θεὸς ἔστη][1] Θεῶν, οὐχὶ τῶν εἰδώλων, ἀλλὰ τῶν ἀνθρώπων, κατὰ θεὸν μεγάλων, καὶ τῶν κατὰ τὴν γῆν μεγάλων, τουτέστι τῶν ἀρχόντων.

ἐν μέσῳ] Ἵνα δείξῃ, ποῖον (πόσον) τούτων κἀκείνων τὸ διάφορον.

2. ἕως πότε] Ἐπιτιμᾷ τοῖς κρατοῦσι (ἄρχουσι) τῆς γηΐνης πολιτείας, ὅτι κατ' ὀφθαλμοὺς καὶ οὐ κατὰ δικαιοσύνην κρίνουσιν.

Διάψαλμα· μεταφέρει τὴν προφητείαν.

3. κρίνατε][2] Δικαίως κρίνατε, φησίν, οἱ ἄρχοντες καὶ μὴ κατ' ὀφθαλμοδουλίαν. μέλει γὰρ τῷ θεῷ περὶ τῶν ταπεινῶν καὶ πενήτων.

4. ἐξέλεσθε] Πεινῶντα καὶ ἄστεγον (πεινώντων καὶ ἀστεγῶν)· ἑκάτερα δὲ ὁ Χριστὸς ἑκουσίως ἀνεδέξατο.

ἐκ χειρός] Ῥύσασθε, φησί, τοὺς [ἀδικουμένους ἤτοι τοὺς] ταπεινοὺς ἀπὸ τῶν πλεονεκτῶν καὶ ἁρπάγων, μή [ποτε] κατὰ τοὺς Ἰουδαίους κατακριθῆτε.

5. οὐκ ἔγνωσαν] Οὔτε γὰρ ἐνόησαν οὔτε συνῆκαν περὶ τοῦ Χριστοῦ, ἀλλ' ἐσκοτίσθη ἡ διάνοια αὐτῶν καὶ ἡ καρδία.

σαλευθήσονται] Ἐκστήτωσαν ἐπὶ τῷ γεγονότι· αἰνίττεται δὲ τὸ πάθος τὸ δεσποτικόν, ὡς ἐσαλεύθη ἡ γῆ.

6. ἐγὼ εἶπα] Ἐγώ, φησὶν ὁ θεός, ἐθέμην πάντας τοὺς ἄρχοντας ὡς θεοὺς ἄρχειν καὶ κρατεῖν· αὐτοὶ δὲ ἀθετοῦσι καὶ διὰ τοῦτο πίπτουσιν.

7. ὑμεῖς δὲ δή] Ὑμεῖς δέ, φησί, τὰ ἀνθρώπινα φρονοῦντες, ἀπόλλυσθε (ἀπολεῖσθε).

καὶ ὡς εἷς] Ἦν γὰρ ὁ διάβολος ἄρχων ἀγγέλων καὶ διὰ τὴν ὑπερηφανίαν ἔπεσεν· οὕτως πᾶς ἄρχων ὑπερόπτης πίπτει καὶ οὐ στήσεται.

8. ἀνάστα] Τουτέστιν ἀναστὰς ὁ Χριστὸς ἐκ νεκρῶν, κατήργησε τὸ γήϊνον φρόνημα.

ὅτι σύ] Χριστοῦ γὰρ κληρονομία ἐγένοντο πάντα τὰ ἔθνη πιστεύσαντα εἰς αὐτόν (δι' αὐτοῦ).

LXXXII.

Ὠδὴ ψαλμοῦ τῷ Ἀσάφ] Ἐτέλει (ἔτι) ὁ λόγος περὶ τῆς συναγωγῆς.

2. Ὁ θεός] Φωνὴ τοῦ λαοῦ τῶν Ἑβραίων αὕτη· καταπλαγέν-

[1] V. Bar.: Ὅσοι δὲ ἔλαβον αὐτόν, ἔδωκεν αὐτοῖς ἐξουσίαν τέκνα θεοῦ γενέσθαι, ὥστε οὐκέτι εἰσὶ δοῦλοι, ἀλλ' υἱοί. εἰ δὲ υἱοὶ καὶ κληρονόμοι μὲν θεοῦ, συγκληρονόμοι δὲ τοῦ Χριστοῦ, καὶ ὁ κύριος ἐν τοῖς ἱεροῖς εὐαγγελίοις τοῖς ἀποστόλοις φησίν· ὑμεῖς φίλοι μου ἐστέ, οὐκέτι ὑμᾶς καλῶ δούλους· ὁ γὰρ δοῦλος οὐκ οἶδε, τί ποιεῖ αὐτοῦ ὁ κύριος. εἰ δὲ καὶ βασιλεὺς βασιλευόντων καὶ κύριος κυριευόντων καὶ θεὸς θεῶν ὁ δημιουργὸς τῶν ἁπάντων καὶ κύριος λέγεται, πάντως (?) οἱ ἅγιοι θεοί τε καὶ κύριοι καὶ βασιλεῖς. τούτων θεὸς ὁ θεὸς καὶ κύριος καὶ βασιλεύς ἐστίν τε καὶ λέγεται. θεοὺς δὲ λέγει καὶ κυρίους καὶ βασιλεῖς οὐ φύσει, ἀλλ' ὡς τῶν παθῶν βασιλεύσαντας καὶ τὴν τῆς εἰκόνος τῆς θείας ὁμοίωσιν, καθ' ἣν καὶ γεγένηνται, ἀπαραχάρακτον φυλάξαντας. θεῶν οὐχὶ τῶν εἰδώλων λέγει, ἀλλὰ τῶν κατὰ θεὸν μεγάλων.

[2] V. Bar. praemittunt haec: Ταῦτα καὶ ὁ μεγαλοφωνότατος Ἠσαίας λέγει, ὅτι . . .

τες ἐπὶ τῇ πτώσει τῶν ἐχθρῶν αὐτῶν.

μὴ σιγήσῃς] *Τουτέστιν μὴ παρασιωπήσῃς μηδὲ παρησυχάσῃς ἐπὶ τοῖς θλίβουσιν (τοὺς θλίβοντας) ἡμᾶς.*

3. ὅτι ἰδοὺ οἱ ἐχθροί] *Ἐκραταιώθησαν τουτέστιν εἰς ἐξάκουστον πᾶσιν. εἰσὶ δὲ Ἰουδαῖοι οἱ κατὰ τοῦ Χριστοῦ τοῦ θεοῦ ἠχήσαντες.*

καὶ οἱ μισοῦντες] *Τουτέστιν ὠχλοποίησαν (ὀχλοποιήσαντες) τὰ ἔθνη ἐπὶ τὸν λαόν· κεφαλὴ γάρ ἐστι τὸ πλῆθος.*

4. ἐπὶ τὸν λαόν] *Πολλά, φησί, κατὰ τοῦ λαοῦ τῶν Ἰουδαίων ἐτεχνάσαντο οἱ ἐχθροί, γνωμοδοτοῦντες (γνωμοδοῦντες, γνωμολογοῦντες) ἀλλήλους τὸ πῶς αὐτοὺς ἐξολοθρεύσουσιν.*

καὶ ἐβουλεύσαντο] *Ἐδόκουν γὰρ τότε ἅγιοι εἶναι οἱ Ἰουδαῖοι. λέγει δὲ καὶ περὶ τοῦ ναοῦ, ὅτι ἦν ἅγιος.*

5. εἶπαν· δεῦτε] *Τουτέστιν ἵνα μηδὲ ἔθνος ὀνομάζωνται.*

καὶ οὐ μὴ μνησθῇ] *Σφόδρα γὰρ ἀντέκειτο τοῖς Ἰουδαίοις τὰ ἔθνη, τὰ δι' αὐτοὺς ἐξολοθρευόμενα.*

6. ὅτι ἐβουλεύσαντο] *Συνεπέθεντο γὰρ ὡς μιᾷ ψυχῇ ἐπὶ τὸ αὐτό.*

6ᵇ—7. κατὰ σοῦ — τὰ σκηνώματα] *Λέγει τὰ ἀπερίτμητα ἔθνη, ὅτι συνεφώνησαν εἰς ἄλληλα κατὰ τοῦ Ἰσραήλ, ὥστε ἐκτρῖψαι αὐτόν, πλὴν οὐδὲν αὐτοῦ ἐξέλιπεν (πλὴν οἱ μὲν αὐτῶν ἐξέλειπον)· Ἰδουμαία γὰρ ἐκλείπουσα ἑρμηνεύεται· οὐδὲ (οἱ δὲ) ὑπήκουσαν τῇ πίστει. Ἰσμαηλῖται δὲ ἑρμηνεύονται ὑπακούοντες.*

8. Γαιβὰλ καὶ Ἀμμών][1] *Οἱ Μωαβῖται καὶ Ἀγαρηνοὶ συνεφώνησαν μετὰ τοῦ βασιλέως Γαβὰλ καὶ Ἀμμὼν καὶ Ἀμαλὴκ κατὰ τοῦ ἔθνους Ἰουδαίων.*

καὶ ἀλλόφυλοι] *Ἀλλόφυλοι πίπτοντες ἑρμηνεύονται*[2]*· οὗτοι οὖν ἐν τῇ συνοχῇ τῶν εἰδώλων ἔπεσαν, τουτέστιν οἱ ἀλλόφυλοι. Τύρος γὰρ συνοχὴ ἑρμηνεύεται.*

9. καὶ γὰρ καὶ Ἀσσούρ] *Εὐθύμως γὰρ καὶ αὐτὸς συμπαρῆν ἐπὶ τῇ ἀπωλείᾳ τῶν Ἰουδαίων, [εὐθυμῶν αὐτούς]. Ἀσσοὺρ γὰρ εὐθυμῶν ἑρμηνεύεται.*

ἐγενήθησαν] *Τὸν λαὸν τῶν Ἑβραίων, ὡς ἐγκεκλεισμένοι ἐσκύλευσαν οἱ υἱοὶ τοῦ Λώτ. Λὼτ γὰρ ἑρμηνεύεται ἐγκεκλεισμένος.*

Διάψαλμα· ἀνοχὴ τῆς προφητείας.

10. ποίησον αὐτοῖς] *Ἵνα ὥσπερ, φησίν, ἐκεῖνοι ἀλλήλους ἐπολέμησαν,*

---

[1] V. Baroc. *Αὗται αἱ πέντε βασιλεῖαι συμβούλιον ἔλαβον, ὥστε τὸν Ἰσραὴλ αἰχμαλωτίσαι. καὶ εἶδε κύριος, ὁ ἀεὶ ποιῶν θαυμάσια μεγάλα εἰς τοὺς φοβουμένους αὐτόν, καὶ ἀπέστειλε τὸν ἄγγελον αὐτοῦ πρὸς Γεδεὼν καὶ ὡδήγησεν αὐτόν, πῶς αὐτοὺς τροπώσεται. οὕτως γίνεται καὶ εἰς ἄνθρωπον τὸν φοβούμενον τὸν κύριον· ὅταν οἱ δαίμονες συμβούλιον ποιήσαντες, ἵνα τὸν ἄνθρωπον ἀποκτείνωσιν, ἐξαποστέλλει τὸν ἄγγελον αὐτοῦ ἡγοῦν τὴν βοήθειαν τοῦ ἁγίου πνεύματος καὶ ὁδηγεῖ αὐτόν, πῶς τοὺς δαίμονας τροπώσεται διὰ τοῦ τιμίου σταυροῦ, ὥσπερ ὁ Γεδεὼν τότε.*

[2] V. Bar. add. *ἡγοῦν οἱ δαίμονες πίπτοντες εἰς τὸν φοβούμενον τὸν κύριον. οὗτοι . . .*

καὶ ὁ Σισαρὰ δοκῶν ἠσφαλίσθαι ἐθανατώθη, οὕτως καὶ οἱ ἀθετοῦντες τὸν θεὸν ἀπολοῦνται. Σισαρὰ δέ ἐστιν ὁ διάβολος.

ὡς ὁ Ἰαβείν] Ἐκεῖνος ἔφυγεν ἐν τῷ χειμάρρῳ ὡς προσδοκῶν ζήσεσθαι (ζῆσαι), ἐθανατώθη δὲ ἐκεῖ. Ἰαβεὶμ δέ ἐστιν Ἰούδας, ὁ παραδοὺς τὸν κύριον ἐν τῷ χειμάρρῳ τῶν κέδρων.

11. ἐξολέθρευθησαν] Ἐν ἀσχήμῳ τόπῳ· Ἀενδὼρ γὰρ ἀπρέπεια ἑρμηνεύεται.

ἐγενήθησαν] Ἐξουθενούμενοι καὶ καταπατούμενοι.

12. θοῦ τοὺς ἄρχοντας] Ὠρὴβ κόραξ ἐστὶ ξηρός, τεθνηκώς. Ζὴβ λύκος. Ζέβεε θυσιασμός, Σαλμανὰ ἐρριμμένος. οὕτως, φησί, γενηθήτωσαν ὡς θνησιμαῖα ζώων ἀκαθάρτων.

13. οἵτινες εἶπαν] Πρὸ τοῦ γὰρ πταῖσαι τὸν λαὸν ἔντιμος ἦν ὁ ναὸς ὡς οἶκος θεοῦ καὶ ἐφυλάττετο ὑπὸ θεοῦ.[1]

14. ὁ θεός μου] Ἀνυπόστατον, φησί, ποτὲ ἄνω ποτὲ κάτω· οὕτως γὰρ κυλίεται ὁ τροχός.

ὡς καλάμην] Καλάμη γάρ, ἐν ἀμητῷ κειμένη, σκορπίζεται ὑπὸ τῶν ἀνέμων.

15. ὡσεὶ πῦρ] Ὡς ὅταν γὰρ εἰς δάσος δρυμοῦ πῦρ εἰσέλθῃ καὶ ἐν τάχει αὐτὸν δαπανᾷ, οὕτως ἡ ὀργὴ τοῦ θεοῦ ἐπὶ τὰ ἔθνη τὰ ἀσεβῆ ἐγένετο.

ὡς εἰ φλόξ] Ὄρη λέγει τοὺς δαίμονας· κατεφλέχθησαν δὲ τῷ πυρί, τῷ τοῦ πνεύματος τοῦ ἁγίου.

16. οὕτως καταδιώξεις] Οὕτως [πῶς; ὥσπερ τοὺς δαίμονας, οὕτως] καὶ τοὺς ἐχθροὺς τοῦ Ἰσραήλ, καὶ τοὺς αἰσθητοὺς καὶ τοὺς νοητούς, κατέκαυσεν ἡ ὀργὴ τοῦ θεοῦ.

καὶ ἐν τῇ ὀργῇ] Ἡνίκα γὰρ ὀργὴν ἀπέστειλεν αὐτοῖς, τρόμος ἐγένετο ⟨πᾶσι⟩ τοῖς ἔθνεσιν.

17. πλήρωσον][2] Ἀναστάντος τοῦ Χριστοῦ ἐκ νεκρῶν, ἠτιμήθησαν Ἰουδαῖοι ἐν αἰσχύνῃ.

καὶ ζητήσουσιν] Ζητήσουσι μέν, ἀλλ' οὐχ εὑρήσουσιν.

18. αἰσχυνθήτωσαν] Ἕως γὰρ τοῦ αἰῶνος (καὶ εἰς τοῦτον τὸν αἰῶνα καὶ εἰς τὸν μέλλοντα) οὔτε ἡ αἰσχύνη οὔτε ὁ τρόμος αὐτῶν παύσεται.

καὶ ἐντραπήτωσαν] Ἐν ἐκείνῃ τῇ ἡμέρᾳ, ὅταν ἴδωσι τὸν Χριστὸν ἐπὶ θρόνου δόξης, ἐν αἰσχύνῃ μεγάλῃ ἀπολοῦνται εἰς τὴν γέενναν τοῦ πυρὸς οἱ Ἰουδαῖοι.

19. καὶ γνώτωσαν] Τότε πᾶσα ἡ κτίσις ἐπιγνώσεται τὴν δύναμιν τοῦ θεοῦ, μάλιστα οἱ Ἰουδαῖοι.

---

[1] V. Baroc. Πρὸ γὰρ τοῦ πταῖσαι ὁ λαὸς ἔντιμος ἦν ὡς οἶκος θεοῦ καὶ ἐφυλάττετο ὑπὸ θεοῦ.

[2] V. Bar. praemittunt: Ἡνίκα τὸν φόβον τοῦ θεοῦ εἶχον Ἰουδαῖοι, τὰ τῶν ἐχθρῶν πρόσωπα μετὰ αἰσχύνης ἔφευγον ἀπ' αὐτούς (sic!). ἡνίκα δὲ θεόμαχοι ἐγένοντο, ἀναστάντος . . .

σὺ μόνος εἶ] Ἰδόντες (εἰδότες) τὴν ἀκατάληπτον δύναμιν, τότε γνώσονται (γινώσκουσι), ὅτι δεσπότης πάντων ὁ θεός.

LXXXIII.

Εἰς τὸ τέλος — τοῖς υἱοῖς Κόρε ψαλμός] Περὶ τῶν θυσιαστηρίων ἡ προφητεία τῷ λαῷ τῶν Ἰουδαίων αἰνίττεται. υἱοὶ γὰρ Κόρε φαλάκρωμα ἑρμηνεύονται, ἐπειδὴ ἀπώλεσαν οἱ Ἰουδαῖοι πάντα νόμον· προφητείας, θυσίας, προσφοράς, ἀπαρχὰς καὶ αὐτὸν τὸν ναόν. ληνοὺς δὲ λέγει τὰ θυσιαστήρια, ὡς ἐν αὐτοῖς τὸ αἷμα Χριστοῦ ὡς οἶνος κιρνᾶται.

2. ὡς ἀγαπητά] Περὶ τῶν ἐκκλησιῶν (τῆς ἐκκλησίας) ὁ λόγος· αὗται γὰρ ἀγαπώμεναι ὑπὸ θεοῦ (τῷ θεῷ), ὅτι σκηναὶ αὐτοῦ εἰσιν καὶ ὅτι κατασκηνοῖ ἐν αὐταῖς.

3. ἐπιποθεῖ] Ὁ κατὰ θεὸν ἄνθρωπος ἐπιποθεῖ καὶ σπεύδει ἐν τῇ ἐκκλησίᾳ, [αὐλὴ γὰρ θεοῦ ἡ ἐκκλησία].

ἡ καρδία μου] Ὁ κυριακὸς ἄνθρωπος ἐπὶ τὴν θεότητα.

4. καὶ γὰρ στρουθίον] Ὁ Χριστὸς τὸ σῶμα τοῦ Ἀδάμ· στρουθίον δὲ διὰ τὴν πρὸς ἡμᾶς συγκατάβασιν ὀνομάζεται.

καὶ τρυγών] Τρυγὼν ἡ ἐκκλησία, εὗρε τὸ σῶμα τοῦ Χριστοῦ, νοσσιὰν ἀδιάφθορον, καὶ ἐν αὐτῇ τίθησι τὰ τέκνα αὐτῆς, τρέφουσα τῷ σώματι καὶ τῷ αἵματι τοῦ Χριστοῦ.

τὰ θυσιαστήριά σου] Ἐν αὐτοῖς γὰρ μερίζει ὡς ἄρτον τὸ σῶμα τοῦ Χριστοῦ τοῖς τέκνοις ἡ ἐκκλησία.

ὁ βασιλεύς μου] Καὶ βασιλεὺς γὰρ καὶ θεὸς τῆς ἐκκλησίας ὁ Χριστός, ὡς αὐτῷ νυμφευθεῖσα.

5. μακάριοι πάντες] Ἐν τῇ ἐκκλησίᾳ· οἶκος γὰρ τοῦ θεοῦ αὕτη. μακάριοι οὖν οἱ κατοικοῦντες ἐν αὐτῇ, ἐν πίστει καὶ εἰρήνῃ (ἤγουν τῇ πίστει καὶ εἰρήνῃ).

εἰς τοὺς αἰῶνας][1] Οἱ γὰρ τοιοῦτοι καὶ ἐν τῷ νῦν αἰῶνι μακάριοι καὶ ἐν τῷ μέλλοντι· αἰνοῦντες γὰρ μετὰ τῶν ἀγγέλων οὐ παύονται.

Διάψαλμα· ἀνοχὴ τοῦ πνεύματος.

6. μακάριος ἀνήρ] Μακάριος γὰρ ἀληθῶς καὶ τρισμακάριος ὁ ἄνθρωπος ἐκεῖνος, οὗ ἐστιν ἡ ἐλπὶς αὐτοῦ ἐπὶ κύριον καὶ ἡ ἀντίληψις αὐτοῦ παρὰ θεοῦ.

ἀναβάσεις] Τουτέστιν τίνος ἀεὶ ἐν τῇ καρδίᾳ ἀναβαίνει τὰ περὶ τῆς κρίσεως καὶ διατίθεται αὐτῷ ὅρον τοῦ φυλάττειν τὰς ἐντολὰς τοῦ θεοῦ.[2]

7. ἐν τῇ κοίλαδι] Ἐκεῖ γὰρ

---

[1] V. Baroc. praeced. Ἐν τῇ ἐκκλησίᾳ, ἤγουν οἱ δίκαιοι καὶ ἐν τῷ μέλλοντι.

[2] V. Baroc. Ὁ φοβούμενος τὸν κύριον πάντοτε πρὸ ὀφθαλμῶν ἔχει τὴν κρίσιν ἐν τῇ διανοίᾳ αὐτοῦ.

μέλλει κρίνειν ὁ θεὸς τὰ ἐν ἡμῖν πεπραγμένα. χρὴ οὖν ἀεὶ ἐκεῖ τὸν νοῦν ἔχειν[1]*, τουτέστιν εἰς τὸν τόπον, ὃν ὥρισεν τῇ δίκῃ.*

καὶ γὰρ εὐλογίας] *Τότε γὰρ ἀπολαμβάνουσιν οἱ δίκαιοι τὸν μισθὸν καὶ πέμπονται εἰς τὸν παράδεισον.*[2]

8. *πορεύσονται*] *Ἀπὸ τῆς δίκης πορεύσονται οἱ ἅγιοι εἰς τὸν παράδεισον τῆς τρυφῆς.*

ὀφθήσεται] *Ὁ θεὸς τῶν ἁγίων· ἐν τῇ Σιὼν γάρ, ὅταν ἔλθῃ ἐν τῇ δόξῃ κρῖναι πάντας.*

9. *κύριε ὁ θεός*] *Ὁ προφήτης, προθεωρήσας ταῦτα, δέεται τοῦ θεοῦ, ὥστε ἐκεῖ δοξασθῆναι.*

10. *ὑπερασπιστά*] *Οἱ ἅγιοι τότε εὐχαριστοῦντες προσκυνοῦσι* [*καὶ ὑμνοῦσι τὸν κύριον*].

καὶ ἐπίβλεψον][3] *Πάντες γὰρ* [*οἱ δίκαιοι*] *χριστοὶ κυρίου* [*εἰσὶν*] *διὰ τὸ βάπτισμα (διὰ τοῦ βαπτίσματος τοῦ ἁγίου).*

11. *ὅτι κρείσσων*] *Ὑπὲρ πάσας γὰρ τὰς ἡμέρας τῆς ἐνταῦθα ζωῆς μία ὥρα κρείττων ἐστὶν ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν ἀναπαύεσθαι.*

ἐξελεξάμην] *Πόση γάρ τις ἀμοιβὴ διαδέχεται τὸν (τῶν) ἐν τῇ ἐκκλησίᾳ τοῦ θεοῦ ταπεινούμενον (ταπεινουμένων) ὑπὲρ οἴκους βασιλικοὺς καὶ λαμπρούς.*

ἢ οἰκεῖν] *Ἐν οἴκοις ὑπερηφάνων καὶ ἀσεβῶν ἀνθρώπων, ὧν οἱ οἶκοί εἰσιν ἐν κατάρᾳ.*

12. *ὅτι ἔλεον*] *Τῆς γὰρ ἐλεημοσύνης καὶ τῆς ἀληθείας οὐδὲν ἐνδοξότερον παρὰ θεοῦ (θεῷ).*

χάριν καὶ δόξαν] *Δῆλον τοῖς ὑπομένουσιν* [*τὸν θεὸν*] *ἐν ἀληθείᾳ.*

κύριος οὐχ ὑστερήσει] *Ὡς τοὺς ἀποστόλους καὶ τοὺς πορευομένους τῇ τούτων διδαχῇ· οὐχ ὑστεροῦνται οὗτοι τῶν αἰωνίων ἀγαθῶν.*

13. *κύριε τῶν δυνάμεων*] *Τούτου γὰρ οὐδὲν μακαριώτερον· ἡ γὰρ ἐλπὶς οὐ καταισχύνει.*

LXXXIV.

Εἰς τὸ τέλος· τοῖς υἱοῖς Κόρε ψαλμός] *Ὑπὲρ τῶν πιστευσάντων ἀπὸ (ἐκ) τοῦ λαοῦ τῶν Ἰουδαίων ἐλέχθη ἡ προφητεία.*

2. *εὐδόκησας*] *Θέλημα, φησί, θεοῦ ἐγένετο ἐπὶ τὸν ἄνθρωπον· γῆ γὰρ νοητὴ ὁ ἄνθρωπος.*[4]

ἀπέστρεψας] *Οἱ γὰρ ἐξ Ἰακὼβ*

---

[1] V. Baroc. add. haec: *τὸ πῶς οἱ δίκαιοι στεφανοῦνται καὶ οἱ ἁμαρτωλοὶ τὴν κόλασιν. δύο γὰρ ἐνέργειαι τοῦ πυρός· τὸ καυστικὸν καὶ τὸ φωτιστικόν· τὸ μὲν φῶς οἱ δίκαιοι, τὸ δὲ καυστικὸν οἱ ἁμαρτωλοί.*

[2] V. Baroc. *Τότε εὐλογεῖ ὁ κύριος τοὺς δικαίους λέγων· δεῦτε οἱ εὐλογημένοι τοῦ πατρός μου, κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν.*

[3] V. Baroc. praeced. *Οἱ δίκαιοι ταῦτα λέγουσι.*

[4] V. Baroc. add. *διὸ χρὴ ἀεὶ τὸν ἄνθρωπον ὑμνεῖν τὸ δόξα ἐν ὑψίστοις θεῷ καὶ ἐπὶ γῆς εἰρήνη. ποία εἰρήνη; αὐτὸς ὁ Χριστός, τὸ ἐκ τοῦ πατρὸς φῶς ἐλθὸν ἐπὶ τῆς γῆς ἐδίδαξε διὰ τῆς αὐτοῦ εὐδοκίας τὸν ἄνθρωπον τὸν ὕμνον τῶν ἀγγέλων.*

πιστεύσαντες οὐχ ὑπέπεσαν τῇ πτώσει τῶν Ἰουδαίων, ὡς κατὰ Χριστοῦ στρατευσαμένων.

3. ἀφῆκας] Τουτέστι συνεχώρησας.[1]

ἐκάλυψας] Ἐν τῷ ὕδατι τοῦ βαπτίσματος εὔδηλον.

Διάψαλμα· ἀνοχὴ τοῦ λόγου.

4. κατέπαυσας] Οὐκ ἔστι γὰρ ἔχθρα πρὸς τὸν ἄνθρωπον· ἐλύθη γὰρ ὁ μεσότοιχος καὶ [λοιπόν] ἐστιν ἡ εἰρήνη.

ἀπέστρεψας] Μετενόησεν ὁ θεὸς ἐπὶ τῇ κακίᾳ τοῦ ἀνθρώπου καὶ σπλαγχνισθεὶς ἔσωσεν αὐτόν.

5. ἐπίστρεψον ἡμᾶς] Ἐπέστρεψε γὰρ ἐλθὼν ὁ κύριος τὸν ἄνθρωπον ἀπὸ τῆς ὁδοῦ τῆς πλάνης ἐπὶ τὴν ὁδὸν τῆς σωτηρίας, τουτέστιν ἐπὶ τῇ πίστει (ἐν πίστει).

καὶ ἀπόστρεψον] Ὃν ἤγειρεν ὁ ἄνθρωπος, προσχωρήσας τοῖς δαίμοσιν.

6. μὴ εἰς τὸν αἰῶνα] Ἐδόκει γὰρ ὁ ἄνθρωπος μηκέτι αὐτοῦ ἐπισκοπὴν γενέσθαι ὑπὸ (ἀπὸ) θεοῦ.

ἢ διατενεῖς] Μή, φησίν, ἕως τέλους λήθην ποιήσεται τοῦ ἀνθρώπου ὁ θεός, τοσοῦτον παροργίσαντος.

7. ὁ θεός] Ἐπιστρέψας γὰρ ὁ θεὸς ἐζωοποίησε τὸν ἄνθρωπον τῇ χάριτι.

καὶ ὁ λαός] Εὐφραίνεται γὰρ ὁ πιστὸς λαὸς ἑκάστης ἡμέρας ἐπὶ τῆς μυστικῆς τραπέζης.

8. δεῖξον ἡμῖν] Τὴν μετὰ σαρκὸς ἐπιδημίαν τοῦ Χριστοῦ ἔσπευδεν ἰδεῖν ὁ ἄνθρωπος.

καὶ τὸ σωτήριόν σου] Τὸν σταυρόν, φησί, δώρησαι ἡμῖν· ὅπλον γὰρ σωτηρίας ἀκαταμάχητον ὁ σταυρὸς ἐδόθη τῷ γένει τῶν ἀνθρώπων.

9. ἀκούσομαι] Ὁ ἄνθρωπος ὁ πιστεύσας ἐξεδέχετο τὴν τῶν εὐαγγελίων (τοῦ εὐαγγελίου) φωνήν.

ὅτι λαλήσει] Ἐν τῷ εἰπεῖν· εἰρήνην τὴν ἐμὴν ἀφίημι ὑμῖν, εἰρήνην τὴν ἐμὴν δίδωμι ὑμῖν.

καὶ ἐπὶ τοὺς ὁσίους] Πρῶτον γὰρ τοῖς ἀποστόλοις κηρύττει τὴν εἰρήνην καὶ δι' αὐτῶν τοῖς ἐπιστρέφουσιν ἐν ὅλῃ καρδίᾳ.

10. πλὴν ἐγγύς] Καθὼς φησὶν ἡ γραφή· ὁ ἐρχόμενος ἥξει καὶ οὐ χρονιεῖ· ἤγγισε γὰρ ἡ σωτηρία τῶν ἀνθρώπων.

τοῦ κατασκηνῶσαι] Ἐσκήνωσε γὰρ ἐν τῷ ἀνθρώπῳ ἡ θεότης· γῆ γὰρ ὁ ἄνθρωπος, δόξα δὲ ἡ θεότης.

11. ἔλεος] Ὁ Χριστὸς καὶ ἡ παρθένος [ἡ θεοτόκος]· κατεσκήνωσε γὰρ ἐν αὐτῇ ὁ λόγος καὶ θεός.

δικαιοσύνη] Ὁ υἱὸς καὶ τὸ πνεῦμα τὸ ἅγιον.

12. ἀλήθεια] Ἀλήθεια ἐκ τῆς γῆς ἡ παρθένος ἡ θεοτόκος· ἀληθείᾳ γὰρ παρθένος, ἀληθείᾳ μήτηρ. δικαιο-

[1] V. Bar. Τοὺς προσκυνοῦντας καὶ ὑμνοῦντας τὸν θεὸν καὶ μετανοοῦντας ἐπὶ ταῖς αὐτῶν ἁμαρτίαις συνεχώρησεν ὁ θεός.

σύνη δὲ ἐκ τοῦ οὐρανοῦ ὁ Χριστός. δίκαιος γὰρ ὤν, πρὸς ἀλήθειαν δικαιοσύνην εἰργάσατο, τὴν παρθένον καὶ μητέρα ποιήσας καὶ παρθένον φυλάξας.

13. καὶ γὰρ ὁ κύριος] Ἐπιστρέψας πάντας πρὸς (εἰς) τὴν ἀλήθειαν.

καὶ ἡ γῆ] Λέγει τὸν σταυρὸν καὶ τὴν θεοτόκον· ταῦτα γὰρ ἐκ τῆς γῆς.

14. δικαιοσύνη] Οἱ προφῆται, οἱ κηρύξαντες τὴν αὐτοῦ παρουσίαν.

καὶ θήσει] Τῶν ἀποστόλων καταρτίσας τοὺς δρόμους εἰς τὴν ὁδὸν τοῦ εὐαγγελίου.

LXXXV.

Προσευχὴ τῷ Δαυὶδ [τουτέστι τῷ Χριστῷ]· Δαυὶδ ἱκανὸς χειρὶ ἑρμηνεύεται, ὁ Χριστὸς δὲ δυνατὸς χειρὶ ὡς θεός.

1. κλῖνον] Φωνὴ [τοῦ προφήτου ἐκ προσώπου] τοῦ Ἀδὰμ αὕτη.

ὅτι πτωχός] Παραβὰς γὰρ ὁ Ἀδάμ, ἀπώλεσε τὸν πλοῦτον, ὃν ἐπιστεύθη παρὰ τοῦ θεοῦ.

2. φύλαξον] Ἐν ἀκακίᾳ γὰρ ψυχῆς συνηρπάγη (συνηρπάσθη) ὑπὸ τοῦ ὄφεως διὰ τῆς γυναικός.

σῶσον] Σὺ γὰρ οἶδας, κύριε, φησὶν ὁ Ἀδάμ, ὅτι εἰ καὶ ἔπεσα (ἔπταισα) ἄκων, ἀλλ' ἄλλον θεὸν οὐκ οἶδα.

3. ἐλέησόν με] Ὅλας γὰρ τὰς ἡμέρας βοῶν ὁ Ἀδὰμ οὐκ ἠμέλησεν.[1]

4. εὔφρανον] Δός μοι, φησὶν ὁ ἄνθρωπος, τὴν μυστικὴν τράπεζαν, ἵνα δι' αὐτῆς ἑκάστοτε εὐφραίνηται (σώζηται) ἡ ψυχή μου.

ὅτι πρὸς σέ] Οὔτε γὰρ ἐγὼ ἐξουσιάζω τῆς ψυχῆς μου, σὸν γάρ ἐστιν ἐμφύσημα.

5. ὅτι σύ, κύριε] Τίνος γὰρ ἡ χρηστότης καὶ εὐσπλαγχνία οὕτως πολλὴ ὡς τοῦ θεοῦ,[2] ὅτι κατῆλθεν ἐξ οὐρανοῦ, ἵνα σώσῃ τὸν ἄνθρωπον.

καὶ πολυέλεος] Πάντων γὰρ τῶν βοώντων ἐπακούει (ὑπακούει) ὁ θεὸς ὡς συμπαθὴς ⟨καὶ⟩ ὡς ἐλεήμων.

6. ἐνώτισαι] Τουτέστιν μὴ παρέργως (πάρεργος) ἀκούσῃς μου, ὡς ὑπωθέντος, ἀλλὰ σὺ ὁ θεὸς ἐλέησόν [με].

καὶ πρόσσχες] Τουτέστιν πρόσσχες, ποίαν [αὐτὴν τὴν ἀληθινὴν προσευχὴν σὺ οἶδας] καὶ μετὰ ποίας καρδίας προσφέρω.

7. ἐν ἡμέρᾳ] Ὅτε, φησί, ὁ ἄνθρωπος ἤσθιε τὰ κεράτια, κόρος δὲ οὐδαμοῦ οὔτε σκέπη οὔτε ἀντί-

[1] V. Bar. *Παραβὰς ὁ Ἀδὰμ τὴν ἐντολὴν κυρίου, ἐξελθὼν ἔξω ἔκλαυσε πικρῶς καὶ ἐπεὶ ἀνεδέξατο μετάνοιαν καὶ διὰ τῆς μετανοίας ἔτυχε σωτηρίας, ὅλην δὲ τὴν ἡμέραν τῆς ἑαυτοῦ ζωῆς βοῶν ὁ Ἀδὰμ οὐκ ἠμέλησεν. οὕτως χρὴ ποιεῖν πᾶς ἄνθρωπος ἔτι ζῶν, ἵνα μετάνοιαν ἐνδείξηται καὶ διὰ τῆς μετανοίας λαμβάνῃ ἄφεσιν ἁμαρτιῶν καὶ ζωὴν αἰώνιον.*

[2] V. Baroc. incipit *Αἶνος γὰρ ἡ χρηστότης πολλὴ καὶ εὐσπλαγχνία ὡς τοῦ θεοῦ,*

ληψις, τότε ἔγνω ὁ ἄνθρωπος ὅτι εἰσηκούσθη.[1]

8. οὐκ ἔστιν ὅμοιος] *Τίς γὰρ θεοφόρος ἢ δίκαιος ἐξισοῦται τῇ ἀγαθότητι τοῦ θεοῦ, ἢ τίς θεὸς ὡς ὁ θεὸς ἡμῶν, ὅτι οὐ παρεῖδε τὸν ἄνθρωπον πεσόντα;*

καὶ οὐκ ἔστιν] *Τίς γὰρ ἐξιχνιάσει τὰ ἔργα αὐτοῦ ἢ τίς ἱκανὸς διηγήσασθαι (ἐξηγήσασθαι) τὰ μεγαλεῖα αὐτοῦ (τοῦ θεοῦ);*

9. πάντα τὰ ἔθνη] *Ποῦ; εἰς τὴν κοίλαδα τοῦ κλαυθμῶνος. οὕτως γὰρ γέγραπται· καὶ συνάξω πάντα τὰ ἔθνη εἰς τὴν κοίλαδα Ἰωσαφάτ.*

καὶ προσκυνήσουσιν] *Τότε γὰρ πάντα τὰ ἔθνη ὑποτάσσονται τῷ θεῷ, θεωροῦντες τὴν δόξαν αὐτοῦ.*

10. ὅτι μέγας εἶ σύ] *Τίς γὰρ τότε ἱκανὸς ἀποβλέψαι εἰς τὴν ἡμέραν ἐκείνην, ἐν ᾗ πάντες τῷ φόβῳ καὶ τῷ τρόμῳ ἀναβράσσονται.*

11. ὁδήγησόν με] *Ἐν τῷ αἰῶνι τούτῳ, φησὶν ὁ ἄνθρωπος, ὁδήγησόν με ἐν τῇ ὁδῷ τῆς ἀληθείας, ἵνα τότε εὕρω παρρησίαν ἐνώπιόν σου, ὁ θεός μου.*

εὐφρανθήτω] *Οὐδὲν γὰρ τῆς εὐφροσύνης ἐκείνης ἀνώτερον τοῦ ἔχειν ἀεὶ τὸν φόβον τοῦ θεοῦ.*

12. ἐξομολογήσομαι] *Ὁ πρωτόπλαστος ⟨ἄνθρωπος⟩ εὐχαριστεῖ τῷ θεῷ, ὅπως σωθεὶς ἀνακαινισθῇ.*

καὶ δοξάσω] *Καὶ ἐν τούτῳ καὶ ἐν τῷ μέλλοντι αἰῶνι οἱ δίκαιοι σωθήσονται (δοξάζουσι τὸ ὄνομα τοῦ κυρίου).*

13. ὅτι τὸ ἔλεος] *Ὁ ἄνθρωπος φησίν, ὅτι οὕτως με πεσόντα οὐ παρεῖδες, ἀλλ' ἠλέησάς με ὡς θεός.*

καὶ ἐρρύσω] *Ἡνίκα κατελθὼν εἰς τὸν ᾅδην, ὁ Χριστὸς ἠλευθέρωσε τὴν ψυχὴν τοῦ Ἀδάμ, πολλῷ χρόνῳ κατεχομένην.*

14. ὁ θεός] *Οἱ δαίμονες γὰρ ἐπανέστησαν τῷ ἀνθρώπῳ, ὡς οἱ Ἰουδαῖοι κατὰ τοῦ Χριστοῦ.*

καὶ συναγωγή][2] *Οἱ ἰουδαϊκοὶ ἄρχοντες· ἐζήτουν γὰρ ἀποκτεῖναι τὸν κύριον διὰ φθόνον.*

οὐ προέθεντο] *Οὐ γὰρ ἠβουλήθησαν δέξασθαι τὸν Χριστόν (κύριον), καθὼς εἶπεν· εἰς τὰ ἴδια ἦλθε καὶ οὐκ ἔλαβον αὐτόν.*

15. καὶ σύ, κύριε] *Οὐ γὰρ ἐπιβλέπεις ἐπὶ κακίας ἀνθρώπων, ἀλλὰ φείδῃ πάντων ὡς φιλάνθρωπος.*

μακρόθυμος] *Ἄμετρος γὰρ ἡ μακροθυμία τοῦ θεοῦ ἐπὶ τοὺς ἁμαρτάνοντας καὶ τὸ ἔλεος πολύ, ἐκδεχόμενος πάντας εἰς μετάνοιαν.*

16. ἐπίβλεψον] *Ὁ Ἀδὰμ παρακαλεῖ τὸν θεόν.*

---

[1] V. Baroc. ad. *ὅταν ἀναστὰς εἶπε· πόσοι μίσθιοι τοῦ πατρός μου περισσεύονται ἄρτων, ἐγὼ δὲ λιμῷ ἀπόλλυμαι, ἀλλὰ πορεύσομαι πρὸς τὸν πατέρα μου καὶ ἐρῶ αὐτῷ· ἥμαρτον, πάτερ. ὁ δὲ πατὴρ ἀκούσας ἔφη· οὗτος ὁ υἱός μου νεκρὸς ἦν καὶ ἀνέζησεν, ἀπολωλὼς καὶ εὑρέθη καὶ τὰ ἑξῆς. Μίσθιοι προφῆται καὶ ἀπόστολοι· ὁ δὲ μόσχος, ὃν ἔθυσεν ὁ πατήρ, ὁ μονογενὴς αὐτοῦ υἱός, ὃν ἔδωκεν αὐτῶν εἰς βρῶσιν καὶ πόσιν καὶ οἱ φαγόντες ηὐφράνθησαν.*

[2] V. Baroc. incipit his verbis: *Οἱ δαίμονες τὸν Ἀδάμ.*

δὸς τὸ κράτος] Τὴν σφραγῖδα ἐπεζήτει τοῦ βαπτίσματος καὶ τὸ ἔνδυμα τῆς ἀφθαρσίας· δι' αὐτῶν γὰρ ἐκραταιώθη ὁ ἄνθρωπος.

καὶ σῶσον] Νῦν τοῦ προφήτου τὸ ῥῆμα.[1]

17. ποίησον] Τουτέστιν φησὶν ὁ προφήτης· εἰς πέρας ἔλθωσιν οἱ λόγοι, οὓς προεκήρυξα.[2]

καὶ ἰδέτωσαν] Οἱ Ἰουδαῖοι, ὅταν ἴδωσι τὸν Χριστὸν ἐκ νεκρῶν ἀναστάντα,[3] τότε καταισχύνονται.

ὅτι σύ, κύριε] Ἐβοήθησε γὰρ ὁ Χριστὸς ἐλθὼν τῷ ἀνθρώπῳ καὶ προσήγαγεν αὐτῷ παράκλησιν αἰωνίαν, παρασχὼν αὐτῷ τὴν μυστικὴν τράπεζαν.[4]

LXXXVI.

Τοῖς υἱοῖς Κόρε ψαλμὸς ᾠδῆς] Περὶ τῶν πιστευσάντων ἀπὸ τοῦ λαοῦ αἰνίττεται ὁ προφήτης.

1. Οἱ θεμέλιοι] Τοῦ Χριστοῦ· ἐν αὐτοῖς γὰρ ἐθεμελίωσε τὴν ἐπαγγελίαν τοῦ πατρὸς ἐν τῷ ὄρει Σιών, ἐν τῷ Γολγοθᾶ, ἐν τῷ ὄρει τῶν ἐλαιῶν.

2. ἀγαπᾷ κύριος] Καὶ γὰρ ἀγαπᾷ [κύριος τὴν ἐκκλησίαν]· κεκλεισμένων γὰρ αὐτῶν, εἰσῆλθεν ὁ κύριος καὶ τοῖς μαθηταῖς ἑαυτὸν ἀνεφάνισεν. ταύτας οὖν ἀγαπᾷ ὑπὲρ τὰς συναγωγὰς τῶν Ἰουδαίων.

3. δεδοξασμένα] Περὶ τῆς νέας Ἱερουσαλὴμ ὁ λόγος, ὅτι αὕτη κατέχει τὰ πραχθέντα ἐν αὐτῇ μυστήρια. περὶ γὰρ αὐτῆς ἐλέχθη, ὅτι πόλις ἐστὶ τοῦ μεγάλου βασιλέως.

4. μνησθήσομαι] Ῥαὰβ πλατυσμὸς ἑρμηνεύεται καὶ Βαβυλὼν σύγχυσις. οἱ γὰρ τὸν ῥυπαρὸν βίον ἀσκήσαντες καὶ τῇ συγχύσει τῶν δαιμόνων βαρηθέντες, οὗτοι ἐπέγνων τὸν θεόν, ὅ (ὅς) ἐστιν ἡ ἐκκλησία ἡ ἐξ ἐθνῶν, ὧν καὶ μνημονεύειν ἐπαγγέλλεται.

καὶ ἰδοὺ ἀλλόφυλοι] Οἱ πεσόντες τῇ πτώσει τῶν εἰδώλων· ἀλλόφυλοι γὰρ πίπτοντες ἑρμηνεύονται. καὶ οἱ ἐν τῇ συγχύσει τῆς πλάνης· Τύρος γὰρ σύγχυσις ἑρμηνεύεται. καὶ οἱ ταπεινωθέντες ὑπὸ τῶν δαιμόνων· Αἰθιοπία γὰρ ταπείνωσις ἑρμηνεύεται. οὗτοι οὖν ὡς ἀπεξενωμένοι τοῦ θεοῦ ἐγενήθησαν ἐκεῖ. ποῦ; ἐν τῇ παρουσίᾳ τοῦ Χριστοῦ, πιστεύσαντες καὶ σωθέντες.

5. μήτηρ Σιών] Ὡς μήτηρ γὰρ ἡ Σιὼν τρέφει τὸν ἄνθρωπον· ἐν

---

[1] V. Baroc. νῦν ὁ προφήτης παρακαλεῖ.

[2] V. Baroc. add. ἵνα τὸ σημεῖον τοῦ σταυροῦ καταβάλῃ τοὺς δαίμονας.

[3] V. Bar. continuat sic: καὶ οἱ δαίμονες, ὅταν ἴδωσι τὸν ἄνθρωπον τὸν σταυρὸν εἰς χεῖρας κρατοῦντα, τότε καταισχύνονται.

[4] A. post παράκλησιν αἰωνίαν procedit sic: δοὺς αὐτῷ ἐν τῷ παρασχεῖν τὸ σῶμα καὶ αἷμα τοῦ Χριστοῦ ἐν τῇ μυστικῇ τραπέζῃ.

αὐτῇ γὰρ πρῶτον ἐζυμώθη ὁ ἄρτος τῆς ζωῆς, ὅ ἐστι τὸ σῶμα τοῦ Χριστοῦ.

καὶ ἄνθρωπος] Ὁ Χριστός, ὡς ἄνθρωπος γεννηθεὶς ἐν αὐτῇ καὶ προσενεχθεὶς ὡς ἀμνός.

καὶ αὐτός] Ἐν αὐτῇ γὰρ ἐθεμελίωσε τὰ μυστήρια τῆς οἰκείας σαρκός, ἅτινα λυθῆναι οὐ δύνανται.

6. κύριος διηγήσεται] Διὰ γὰρ τῶν γραφῶν (προφητῶν) τοῖς μετέπειτα λαοῖς διηγήσατο ὁ θεός τὰ ἑαυτοῦ μεγαλεῖα (μυστήρια).

καὶ ἀρχόντων τούτων] Τῶν ἀποστόλων· αὐτοὶ γὰρ ἐν τῇ Σιὼν ἐπολιτεύθησαν· δι' αὐτῶν γὰρ τὸ κήρυγμα τοῖς ἔθνεσι ἀπεστάλη.

Διάψαλμα· διαστολὴ τοῦ λόγου.

7. ὡς εὐφραινομένων] Πάντων γὰρ εὐφροσύνη ἐγένετο τὸ σῶμα καὶ τὸ αἷμα Χριστοῦ, [ἡ διδαχὴ τῶν ἀποστόλων], τῶν κατοικούντων ἐν τῇ πίστει Χριστοῦ καὶ θεοῦ ἡμῶν.[1]

LXXXVII.

Ὠδὴ ψαλμοῦ — συνέσεως Ἀιθὰμ τῷ Ἰσραηλίτῃ] Ἡ προφητεία σημαίνει τὸν θάνατον τοῦ Χριστοῦ καὶ τὸ πάθος καὶ τοῦ λαοῦ τῶν Ἰουδαίων τὴν πρὸς τὸν Χριστὸν ἔχθραν.

2. κύριε ὁ θεός] Νυκτὸς τὸ πάθος, ἡμέρας ὁ σταυρός· ὅλην γὰρ τὴν ἡμέραν διεπέτασα πρὸς σὲ τὰς χεῖράς μου.

3. εἰσελθέτω] Ἐκ προσώπου τοῦ Ἀδὰμ ὁ Χριστὸς ὡς ἄνθρωπος προσηύχετο.

κλῖνον τὸ οὖς] Εἰς τὴν δέησιν, ἣν ὑπὲρ τοῦ ἀνθρώπου προσφέρω, φησὶ ὁ κύριος πρὸς τὸν πατέρα.

4. ὅτι ἐπλήσθη] Ἡ ψυχὴ τοῦ Ἀδὰμ ὑπὸ τῶν δαιμόνων ἐμπαιζομένη· ταύτην δὲ ἀνεδέξατο ὁ κύριος.

καὶ ἡ ζωή] Λέγει περὶ τοῦ Χριστοῦ, ὅτι ἐγεύσατο θάνατον (θανάτου σαρκί).

5. προσελογίσθην] Ἐγενήθην ὡς εἷς τῶν θνητῶν ἀνθρώπων, τῶν εἰς τὰ μνήματα τιθεμένων τῆς γῆς. λέγει δὲ τὸν τάφον τὸν δεσποτικόν.

6. ἐγενήθην] Ἐνομίσθην ὡς εἷς τῶν θνητῶν ἀνθρώπων, μὴ ἔχων βοήθειαν, ἀλλ' ἐγὼ ὑπέτασσον τὸν θάνατον, ἐλεύθερος ὢν ἀπὸ τῶν ἐχθρῶν (νεκρῶν).

ὡσεὶ τραυματίαι] Ὡς ἀπ' αἰῶνος νεκροὶ κείμενοι ἐν τοῖς τάφοις, ὧν οὐδεὶς ἐμνήσθη ποτέ.

καὶ αὐτοί] Ὅσοι μὴ γνόντες τὸν θεὸν ἀπέθανον.

7. ἔθεντό με] Τὸν Χριστὸν οἱ

[1] V. post ἐν τῇ πίστει τοῦ Χριστοῦ procedit sic: εὐφραινόμενοι τῷ σώματι καὶ τῷ αἵματι τοῦ Χριστοῦ.

Ἰουδαῖοι ἐν τῷ μνήματι [φησὶν ὁ κύριος].

ἐν σκοτεινοῖς] Πᾶς γὰρ τάφος σκιὰ θανάτου καὶ σκότους ἐργαστήριον.

8. ἐπ' ἐμέ] Ἐγὼ γὰρ περὶ (ὑπὲρ) πάντων ἀπέθανον, ἵνα τὸν θυμὸν παύσω, τὸν κατὰ τοῦ ἀνθρώπου.

καὶ πάντας] Τοὺς[1] μετεωρισμοὺς λέγει, τουτέστιν τὰ ὑψηλὰ φρονήματα τῶν ὑπερηφάνων, καὶ ἀνθρώπων καὶ δαιμόνων, διῆλθον ἐπ' ἐμὲ καὶ ἐβάσταξα διὰ τὸν ἄνθρωπον.

Διάψαλμα· μεταβολὴ τοῦ λόγου.

9. ἐμάκρυνας] Ἰουδαίους ὁ λόγος αἰνίττεται· ἦσαν γὰρ φίλοι θεοῦ καὶ ἐμακρύνθησαν δι' ἀπιστίαν.

ἔθεντό με] Ἐβδελύξαντο γὰρ τὸν Χριστὸν ὡς δαιμονιῶντα.

παρεδόθην] Ἐκράτησαν γὰρ τὸν Χριστόν, ἀλλ' οὐκ ἀπέκρυψεν ἑαυτὸν ἀπ' αὐτῶν, ἀλλ' ὑπέμεινεν ἑκουσίως.

10. οἱ ὀφθαλμοί] Οὗτος γάρ ἐστιν ὁ λέγων· αἱ ἀλώπεκες φωλεοὺς ἔχουσι καὶ τὰ πετεινὰ τοῦ οὐρανοῦ κατασκηνώσεις, ὁ δὲ υἱὸς τοῦ ἀνθρώπου οὐκ ἔχει ποῦ τὴν κεφαλὴν κλῖναι (θεῖναι).

καὶ ἐκέκραξα] Ὅταν ἐπὶ τοῦ σταυροῦ ἔκραξεν ὁ κύριος· ἐλωεί, ἐλωεί.

διεπέτασα] Ἐπὶ τοῦ σταυροῦ ὁ Χριστὸς ἐκτεταμένος.

11. μὴ τοῖς νεκροῖς] Τοὺς νεκρωθέντας λέγει τῇ ἁμαρτίᾳ καὶ ἀπιστίᾳ· οὗτοι γὰρ θεωροῦντες τὰ θαυμάσια (θαύματα) οὐ κατανύγονται.

ἢ ἰατροί] Οὔτε γὰρ αἰσθητοὶ ἰατροὶ οὔτε νοητοὶ δυνήσονται ἀναστῆσαι τοὺς ἅπαξ κεκαρωμένους τῇ ἁμαρτίᾳ καὶ κειμένους.

12. μὴ διηγήσεται] Ὅταν γὰρ εἰς τὸν λάρυγγα τοῦ διαβόλου, περὶ οὗ γέγραπται· τάφος ἀνεωγμένος ὁ λάρυγξ αὐτοῦ, εἰσέλθῃ ὁ ἄνθρωπος, οὐκέτι ἐλπίδα ἔχει ζωῆς, ὥστε διηγεῖσθαι τὰ ἐλέη τοῦ θεοῦ (κυρίου).

καὶ τὴν ἀλήθειαν] Περὶ γὰρ ἐκείνου λέγει· καὶ ἔσται ἐν τῷ στόματι αὐτοῦ ἀπώλεια· ἀλήθεια γὰρ ἐκεῖ οὐκ αὐλίζεται.

13. μὴ γνωσθήσεται] Οἱ γὰρ ἅπαξ ἐσκοτισμένοι τῇ πλάνῃ οὐκ ἐπιγινώσκουσι τὰ θαυμάσια τοῦ κυρίου.

καὶ ἡ δικαιοσύνη] Ἐν γὰρ τῇ γηΐνῃ πολιτείᾳ δικαιοσύνη θεοῦ οὐ γνωρίζεται οὔτε συνίσταται.

14. κἀγὼ κύριε] Ὁ υἱὸς πρὸς τὸν πατέρα, [ἵνα ῥυσθῇ ἀπὸ πάσης θλίψεως].

καὶ τὸ πρωί] Τῇ ὥρᾳ τῆς ἀναστάσεως προσεδέχθη ἡ προσευχὴ τοῦ ἀνθρώπου· ὄρθρου γὰρ ἡ ἀνάστασις ⟨ἐγένετο⟩.

15. ἵνα τί] Ὡς ἄνθρωπος γὰρ ὁ Χριστὸς λαλεῖ, ἵνα βεβαιώσῃ τὴν ἐνανθρώπησιν.

---

[1] V. incipit sic: *Πάντας τοὺς λόγους τῶν προφητῶν, εἰς ἐμὲ ἐπληρώθησαν. λέγει δὲ καὶ μετεωρισμοὺς τὰ ὑψηλά κτλ.*

ἀποστρέφεις] *Ἐκ προσώπου τοῦ Ἀδὰμ ὁ Χριστὸς φησίν· ὅσον γὰρ ὤφειλεν ὁ Ἀδάμ, ὁ Χριστὸς ἀποδίδωσιν.*

16. πτωχός εἰμι] *Ἑκουσίως γὰρ ἀνεδεξάμην καὶ πτωχείαν καὶ κόπον, ἵνα σώσω τὸν ἄνθρωπον, φησὶν ὁ Χριστός.*

ὑψωθείς] *Ὑψωθεὶς γὰρ ἐπὶ τοῦ σταυροῦ ὁ Χριστὸς καὶ γευσάμενος θανάτου, ὡς ἄτιμος ἐλογίσθη καὶ ἐξεμυκτηρίσθη ὑπὸ πάντων ὡς ἄνθρωπος ταπεινός.*

17. ἐπ' ἐμέ] *Οἷς γὰρ ὠργίσθης σὺ καὶ ἀπέρριψας, οὗτοι διῆλθον ἐπ' ἐμέ, μαστίζοντες καὶ ἐμπαίζοντές με.*

καὶ οἱ φοβερισμοί] *Τὰ στοιχεῖα σαλευόμενα*[1] *καὶ ἡ γῆ κλονουμένη, ἐταράσσετο ὁ κυριακὸς ἄνθρωπος συγχωρούσης τῆς θεότητος.*

18. ἐκύκλωσάν με] *Οἱ Ἰουδαῖοι ὡς ὕδωρ, τουτέστιν ἀνυπόστατοι, χεόμενοι ὧδε καὶ ἐκεῖσε ὡς ὕδωρ.*

ὅλην τὴν ἡμέραν] *Ὅλην γὰρ τὴν ἡμέραν τοῦ πάθους οὐκ ἀπέστησαν κυκλοῦντες καὶ κολαφίζοντες καὶ ἐμπαίζοντες τὸν Χριστὸν (ἐμπτύοντες τῷ Χριστῷ) οἱ Ἰουδαῖοι.*

19. ἐμάκρυνας] *Τότε γὰρ οἱ ἀπόστολοι ἔφυγον πάντες· φίλοι γὰρ καὶ πλησίοι τοῦ Χριστοῦ [ἐν ἀληθείᾳ] αὐτοὶ ἦσαν (εἰσὶν) καὶ μάλιστα Πέτρος [καὶ Ἰωάννης].*

καὶ τοὺς γνωστούς] *Πάντες γὰρ οἱ γνωστοί, ὡς γέγραπται, εἱστήκεισαν ἀπὸ μακρόθεν, μή ποτε, οἷα εἰκός, καὶ αὐτοὶ συλληφθῶσιν.*

LXXXVIII.

Συνέσεως Αἰθὰμ τῷ Ἰσραηλίτῃ] *Εἰς σύνεσιν, φησί, τῷ Ἰσραὴλ διὰ τὸ μὴ μολύνεσθαι εἰδωλικαῖς θυσίαις. Αἰθὰμ γὰρ ἑρμηνεύεται αἷμα.*

2. τὰ ἐλέη σου] *Ὁ λαὸς ὁ ἐξ ἐθνῶν σωθεὶς παρὰ θεοῦ ἀδιαλείπτως ᾄδει τὰ ἐλέη ⟨μυστήρια⟩ τοῦ θεοῦ καὶ θαυμάζει.*

εἰς γενεάν] *Τίς γάρ ποτε παρασιωπῆσαι δύναται καὶ μὴ λαλεῖν τὴν ἀλήθειαν τοῦ θεοῦ καὶ (ἐν) γενεαῖς πάσαις ἐν τῷ νῦν αἰῶνι καὶ ἐν τῷ μέλλοντι.*

3. ὅτι εἶπας] *Ὥστε μὴ ἐκλείπειν, ἀλλὰ μένειν εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.*

ἐν τοῖς οὐρανοῖς] *Ἐν γὰρ τοῖς οὐρανοῖς ἀπόκειται ἡ ἀλήθεια· ἐπὶ γῆς γὰρ σπανίως εὑρίσκεται.*

4. διεθέμην] *Τοῖς ἀποστόλοις· αὐτοὺς γὰρ ἐξελέξατο ὁ κύριος καὶ ὅσοι δι' αὐτοὺς (αὐτῶν) ἐπίστευσαν. αὐτοῖς γὰρ ἐπίστευσε τὴν τῶν εὐαγγελίων διαθήκην.*

ὤμοσα] *Ἐπειδὴ ἐξ αὐτοῦ τὸ κατὰ σάρκα, διὰ τοῦτο τὰ πιστὰ αὐτῷ ⟨πιστὸν αὐτὸν⟩ ἐφύλαξεν ὁ θεός.*

---

[1] V. post *σαλευόμενα* scribit sic: *τὰ ἐν οὐρανῷ καὶ ἐπὶ τῆς γῆς, ἐταράσσετο κτλ.*, sed A. *ἐταράσσετο* mutavit in *ἐτάρασσον τὸν κυριακὸν ἄνθρωπον.*

5. ἕως τοῦ αἰῶνος] Τὴν παρθένον λέγει τὴν θεοτόκον, ὅτι ἐκ τοῦ Δαυὶδ κατάγεται, αὕτη δὲ μένει εἰς αἰῶνα αἰῶνος ἀνεξάλειπτος.

καὶ οἰκοδομήσω] Λέγει τὸν Χριστόν, ὅτι θρόνον ἔχει (ἔσχε) τὴν παρθένον καὶ ὅτι αἰώνιος ὑπάρχει.

Διάψαλμα· μετάθεσις τῆς προφητείας.

[ἢ προσώπου ἐναλλαγὴ ἢ διανοίας μεταβολὴ ἢ ἄλλως ἀπαλλαγή. ἢ διάψαλμά ἐστι μουσικοῦ μέλους ἢ ῥυθμοῦ προτροπῆς γενομένης ἢ διανοίας ἐναλλαγή. ἔγραψαν τὸ διάψαλμα οἱ ἑρμηνεύσαντες ἄρχοντες, οἱ ἐκλεχθέντες παρὰ τοῦ βασιλέως Δαυὶδ ἐκ τῆς φυλῆς Λευί, Ἀσὰφ ὁ υἱὸς Κόρε, Αἰμάν, Αἰθάμ, Ἰδιθούμ.][1]

6. ἐξομολογήσονται] Οἱ νοητοί· εἰσὶ δὲ οἱ ἀπόστολοι καὶ ὅσοι οὐράνιον τὸν βίον ἔχουσιν, οὗτοι τὰ θαυμάσια τοῦ κυρίου (θεοῦ) ἐξαγγέλλουσι.

καὶ τὴν ἀλήθειαν] Ἐν τῇ συνόδῳ τῇ παγκοσμίῳ· αὕτη γὰρ πρὸς ἀλήθειαν ἐκκλησία μεγάλη καὶ σύστημα ἁγίων.

7. ὅτι τίς ἐν νεφέλαις] Τίς γὰρ ἴσα τῶν νεφελῶν τὸν βίον κεκτημένος, ἴσος τῷ κυρίῳ εὑρεθήσεται.

καὶ τίς ὁμοιωθήσεται] Τίς γὰρ τῶν ἁγίων, ὡς υἱοθεσίας ἀξιουμένων, ὅμοιος τῷ θεῷ εὑρεθῆναι δυνήσεται.

8. ὁ θεός] Σφόδρα γὰρ δοξάζεται ὁ θεός, ὅταν οἱ ἅγιοι βουλεύωνται περὶ αὐτοῦ καὶ τῆς αἰωνίου ζωῆς.

μέγας καὶ φοβερός] Ἐν τῇ ἡμέρᾳ ἐκείνῃ μάλιστα, ὅταν καθίσῃ ἐπὶ θρόνου ὑψηλοῦ καὶ ἐπηρμένου, καθὼς γέγραπται. πᾶς γὰρ ὁ κόσμος τότε κύκλῳ αὐτοῦ ἐκτέταται ἐν φόβῳ καὶ τρόμῳ.

9. κύριε ὁ θεός] Τότε βοήσουσιν οἱ ἅγιοι πάντες, δοξάζοντες τὴν αὐτοῦ δύναμιν.

δυνατὸς εἶ] Τότε γὰρ γνώσονται πᾶσαι αἱ φυλαὶ τῆς γῆς τὴν ἀκατάληπτον δύναμιν τοῦ Χριστοῦ, κύκλῳ

[1] V. Bar. praebent haec: Διάψαλμα ἢ προσώπου ἐναλλαγὴ ἢ διανοίας μεταβολὴ ἢ ἄλλως ὑπαλλαγή. ἢ διάψαλμά ἐστι μουσικοῦ μέλους ἢ ῥυθμοῦ τροπῆς γενομένης ἢ διανοίας ἐναλλαγή. ἔγραψαν τὸ διάψαλμα οἱ ἑρμηνεύσαντες ἄρχοντες τέσσαρες, οἱ ἐκλεχθέντες παρὰ τοῦ βασιλέως Δαυὶδ ἐκ τῆς φυλῆς Λευί· Ἀσὰφ ὁ υἱὸς Κόρε, Αἰμάν, Αἰθάμ, Ἰδιθούμ. τούτοις ἀριθμὸς ᾠδῶν παρακολουθεῖ. ἕκαστος οὖν τούτων, καθὼς εἴρηται, ἵστατο ἐνώπιον τοῦ ἁγιάσματος κυρίου, αἰνοῦντες τὸν τῶν πάντων δεσπότην, ὃς μὲν κυμβάλοις, ὃς δὲ ψαλτηρίῳ, ὃς δὲ κιννύρᾳ ὃς δὲ κερατίνῃ, ὃς δὲ κιθάρᾳ, ὧν μέσος ἵστατο Δαυίδ, κρατῶν ἐπὶ χεῖρας τὸ ψαλτήριον. καὶ ἕκαστος πνεύματι ἁγίῳ κινούμενος ὑμνεῖ τὸν θεόν, καὶ πάντες ἐπεφώνουν σὺν τῷ ψάλλοντι τὸ ἀλληλούϊα. ἢ διάψαλμά ἐστι μεταξὺ τῆς ψαλμῳδίας γινομένης κατὰ τὸ ἄρθρον ὑπηρέμησις πρὸς ὑποδοχὴν τοῦ θεόθεν ἐπικρουομένου νοήματος. ἢ διάψαλμά ἐστι διδασκαλία τοῦ πνεύματος τῇ ψυχῇ κατὰ τὸ ἀπόρρητον γινομένη τῆς περὶ τὸ νόημα τοῦτο προσοχῆς, τὸ συνέχον τῆς μελῳδίας περικοπτούσης ἢ ὅτι(?) προιούσης κατὰ τὸ ἀκόλουθον τῆς ψαλμῳδίας. ἐάν τις ἐγένετο μεταξὺ προφητεύοντος τοῦ Δαυὶδ ἑτέρα τοῦ ἀεὶ πνεύματος ἁγίου ἔλλαμψις θεία καὶ προσθήκη τοῦ κατὰ γνῶσιν χαρίσματος, ἐπωφέλεια τῶν δεχομένων τὴν προφητείαν, ἐπέχων τὴν φωνήν, καιρὸν ἐδίδου τῇ διανοίᾳ δέξασθαι τῶν νοημάτων τὴν γνῶσιν τῶν γινομένων ἐν αὐτῷ παρὰ τῆς θείας ἐλλάμψεως.

δὲ αὐτοῦ ἡ ἀλήθεια. ἀπροσωπόληπτος γὰρ ὑπάρχει ὁ θεός.

10. σὺ δεσπόζεις] Ἔστι μὲν νοεῖν καὶ τὴν θάλασσαν τὴν μεγάλην· λέγει δὲ καὶ τὴν τοῦ βίου, ὡς πολυτάραχον καὶ ἐν σάλῳ οὖσαν.

καὶ τὸν σάλον] Καὶ ταύτην καὶ ἐκείνην ὁ Χριστός ἐστι ὁ κρατῶν, καταπραΰνων ἀμφοτέρων τὴν ζάλην.

11. σὺ ἐταπείνωσας] Τὸν διάβολον καὶ τοὺς αὐτὸν ζηλοῦντας ἐν ὑπερηφανίᾳ· ὡς ὁ σφαγεὶς καὶ κείμενος νεκρός, οὕτως πίπτουσιν οἱ ὑπερήφανοι.

καὶ ἐν τῷ βραχίονι] Ἐν τῷ βραχίονι γὰρ τοῦ πατρὸς ὡς θεοῦ δύναμις καὶ θεοῦ σοφία· ἐν αὐτῷ γὰρ ἐσκορπίσθησαν οἱ δαίμονες καὶ ὅσοι τούτοις ἐζήλωσαν.

12. σοί εἰσιν] Τουτέστιν καὶ τῶν οὐρανῶν καὶ τῆς γῆς σὺ βασιλεύεις, καὶ τῶν αἰσθητῶν οὐρανῶν καὶ τῶν νοητῶν, καὶ τῆς αἰσθητῆς γῆς καὶ τῆς νοητῆς.

τὴν οἰκουμένην] Πᾶσαν μὲν γὰρ [τὴν οἰκουμένην] σὺν τοῖς κατοικοῦσι. λέγει δὲ καὶ τὴν μέλλουσαν, καθὼς ὁ ἀπόστολος φησί, περὶ ἧς καὶ λαλοῦμεν.

13. τὸν βορρᾶν] Σὺ γὰρ τοὺς ἀνέμους τῇ θαλάσσῃ προσένειμας, ἵνα δῷς καὶ ἐν τοῖς ὕδασιν ἐργασίαν.

Θαβώρ] Ἐπειδὴ καὶ ταῦτα ὄρη ἐλάχιστα ὄντα πολλῆς ἠξιώθησαν δόξης· ἐν γὰρ τῷ Θαβὼρ μετεμορφώθη ὁ κύριος, ἐκ δὲ τοῦ Ἑρμωνιεὶμ ἀνελήφθη Ἠλίας· καὶ διὰ τοῦτο ἠγαλλιάσαντο ἐν τῷ θεῷ.

14. σὸς ὁ βραχίων] Τοῦ πατρὸς ὁ υἱός, τοῦ υἱοῦ ἡ σὰρξ ἡ ἁγία. Χριστὸς γὰρ θεοῦ δύναμις καὶ θεοῦ σοφία.

κραταιωθήτω] Κατὰ τῶν ἐχθρῶν σου, καὶ τῶν αἰσθητῶν καὶ τῶν νοητῶν.

15. δικαιοσύνη] Τότε ὅταν μέλλῃ κρίνειν πάντα τὰ ἔθνη· ὁ γὰρ θρόνος τοῦ θεοῦ δικαιοσύνης καὶ κρίματος πλήρης.

ἔλεος καὶ ἀλήθεια] Ἡ γὰρ δευτέρα παρουσία μετὰ παρατάξεως πολλῆς καὶ φρικτῆς δυνάμεως ἔρχεται. προηγοῦνται δὲ τὸ ἔλεος καὶ ἡ ἀλήθεια. τὸ μὲν ἔλεος διὰ τὸ ἐλεῆσαι, ἀλήθεια δὲ ὅτι οὐκ ἔστι προσωποληψία παρὰ τῷ θεῷ.

16. μακάριος ὁ λαός] Τότε γὰρ μακαρίζονται, ὅσοι διὰ προσευχῆς καὶ ψαλμῶν δοξάζοντες τὸν θεὸν οὐκ ἐπαύσαντο· μακαρίζονται δὲ τῶν ἀμοιβῶν ἀξιούμενοι.

κύριε, ἐν τῷ φωτί] Ὅσοι τότε τὰς ἀμοιβὰς τῶν ἔργων ἀπολαμβάνουσιν (κομίζονται), ἐν φωτὶ ἀληθινῷ χαίρουσιν εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

17. καὶ ἐν τῷ ὀνόματι] Οἱ ἅγιοι πάντες ἀγαλλιῶνται ὅλον τὸν αἰῶνα (ὅλην τὴν ἡμέραν).

καὶ ἐν τῇ δικαιοσύνῃ] Ὑψηλὸν τὸν βίον ποιήσαντες καὶ διὰ τοῦτο ὑψούμενοι ἐνδόξως.

18. ὅτι τὸ καύχημα] Ὁ Χριστὸς

τῶν ἁγίων· ἐν αὐτῷ γὰρ σεμνύνονται καὶ ἐν τῷ αἰῶνι τούτῳ καὶ ἐν τῷ μέλλοντι.

καὶ ἐν τῇ εὐδοκίᾳ] Τῶν πιστῶν πάντων ἐν τῷ θελήματι τοῦ Χριστοῦ ὑψώθη τὸ καύχημα καὶ ἡ ἰσχύς.

19. ὅτι τοῦ κυρίου] Τοῦ λαοῦ τοῦ πιστοῦ, ὅ ἐστι τῶν ἐθνῶν, ὁ Χριστὸς ἀντελάβετο ὡς βασιλεὺς Ἰσραήλ, ὡς εἶδος καὶ ὅρασις τοῦ θεοῦ, ὅ ἐστιν Ἰσραήλ.

20. τότε ἐλάλησας] Τοῖς προφήταις πᾶσι προλέγων τὰ ἑαυτοῦ μυστήρια καὶ τὴν ἔλευσιν [καὶ τὴν δευτέραν αὐτοῦ παρουσίαν].

καὶ εἶπας] Διὰ τοῦ Χριστοῦ, ὅ ἐστιν ὁ κυριακὸς ἄνθρωπος, τὴν βοήθειαν τοῦ γένους ἡμῶν.

ὕψωσα] Λέγει μὲν τὸν Δαυίδ, νοεῖται δὲ ὁ Χριστός.

21. εὗρον] Ἐνταῦθα αἰνίττεται τὸν Χριστόν, ἐκ τοῦ Δαυὶδ γὰρ τὸ κατὰ σάρκα.

ἐν ἐλέει] Τότε μὲν τὸν Δαυὶδ τῷ ἐλαίῳ τῆς χρίσεως, νῦν δὲ τῷ ἐλαίῳ τῆς χάριτος τοὺς προσερχομένους τῷ βαπτίσματι.

22. ἡ γὰρ χείρ] Ἡ δεξιὰ τοῦ πατρὸς τῷ υἱῷ (τὸν υἱόν) [καὶ ἡ χάρις τοῦ ἁγίου πνεύματος τὸν βαπτισθέντα].

καὶ ὁ βραχίων] Λέγει μὲν τὸν Δαυὶδ κατὰ τῶν πολεμίων·[1] ἔστι δὲ ὁ Χριστὸς νικήσας τὸν πόλεμον τοῦ ἐχθροῦ ἐπὶ τοῦ σταυροῦ.

23. οὐκ ὠφελήσει] Οὔτε γὰρ ὁ διάβολος οὔτε οἱ Ἰουδαῖοι ὠφέλησάν τι κατὰ τοῦ Χριστοῦ γενόμενοι.

καὶ υἱὸς ἀνομίας] Αἰνίττεται τὸν Ἰούδαν ὡς υἱὸν ἀνομίας, ὅτι οὐκέτι δύναταί τι κατὰ Χριστοῦ λογίσασθαι. χρὴ δὲ νοεῖν τὸν διάβολον, ὅτι οὐκέτι ἐξουσιάζει τοῦ ἀνθρώπου, ἀφ' οὗπερ ἐσφραγίσθη τῷ ὀνόματι τοῦ Χριστοῦ καὶ θεοῦ.

24. καὶ συγκόψω] Ἀπὸ προσώπου τοῦ ἀνθρώπου τοὺς δαίμονας· οὗτοι γὰρ πρὸς ἀλήθειαν ἐχθροὶ τοῦ ἀνθρώπου, ἐνεκρώθησαν δὲ τῇ ἐπιδημίᾳ τοῦ Χριστοῦ.

καὶ τοὺς μισοῦντας] Τοὺς Ἰουδαίους· οὗτοι γὰρ τὸν Χριστὸν ἐμίσησαν (ἐμίσουν).

25. καὶ ἡ ἀλήθεια] Μετὰ τοῦ Χριστοῦ· αὐτῷ γὰρ μόνῳ ταῦτα πρέπει.

καὶ ἐν τῷ ὀνόματι] Αὐτὸς γὰρ ἄκρα ⟨κέρας⟩ καὶ δύναμις τοῦ πατρός.[2]

26. καὶ θήσομαι] Ἐν τῇ θαλάσσῃ τοῦ βαπτίσματος· τῇ χειρὶ γὰρ τοῦ θεοῦ δυναμοῦται, καὶ

---

[1] V. procedit sic: ὁμοίως δὲ καὶ πᾶς πιστὸς τῇ δυνάμει τοῦ σταυροῦ νικᾷ τοὺς δαίμονας, καθὼς καὶ ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστὸς ἐνίκησε τὸν πόλεμον τοῦ ἐχθροῦ ἐπὶ τοῦ σταυροῦ.

[2] V.: Κέρας γὰρ δύναμις ἑρμηνεύεται· ἐν τῷ ὀνόματι τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος ἐδυναμώθη ἡ φύσις τῶν ἀνθρώπων. πληροῦται δὲ εἰς τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστόν· αὐτὸς γάρ ἐστιν ἡ δύναμις τῶν πιστῶν.

ἡ αἰσθητὴ θάλασσα χειρὶ θεοῦ κρατεῖται.[1]

καὶ ἐν ποταμοῖς] Λέγει τὰ δάκρυα τῆς μετανοίας· καὶ αὐτὰ γὰρ εἰς τὴν δεξιὰν τοῦ θεοῦ εἰσέρχονται καὶ οἱ ποταμοὶ οἱ αἰσθητοὶ τῇ δεξιᾷ τοῦ θεοῦ χαλινοῦνται.

27. αὐτὸς ἐπικαλέσεται] Ἐν τῷ λέγειν τὸν Χριστόν· πάτερ, εἰ δυνατόν, παρελθέτω ἀπ' ἐμοῦ τὸ ποτήριον τοῦτο.

θεός μου] Ἐν τῷ λέγειν τὸν Χριστὸν τοῖς ἀποστόλοις· πορεύομαι πρὸς τὸν θεόν μου καὶ θεὸν ὑμῶν.

28. κἀγὼ πρωτότοκον] Τὸν Χριστόν, καθὼς ὁ [ἀπόστολος] Παῦλος φησί· πρωτότοκος ἐν πολλοῖς ἀδελφοῖς (πρωτότοκος ὁ πρὸ πάσης κτίσεως).

ὑψηλόν] Πασῶν γὰρ τῶν βασιλειῶν ἀνώτερος ὁ Χριστός, ὡς ποιητὴς καὶ αὐτῶν τῶν βασιλέων [πάντων].

29. εἰς τὸν αἰῶνα] Ἀχώριστος γὰρ ὁ υἱὸς τοῦ πατρὸς καὶ ὁ πατὴρ τοῦ υἱοῦ.

καὶ ἡ διαθήκη] Πρὸς τὸν Δαυὶδ [ὁ λόγος]· λέγει δὲ διὰ τὸν Χριστόν (κύριον).

30. καὶ θήσομαι] Λέγει τὴν παρθένον τὴν θεοτόκον, ὅτι ἐκ τῆς ῥίζης Ἰεσσαὶ ἀνέτειλεν.

καὶ τὸν θρόνον] Λέγει μὲν τὸν Δαυίδ, νόει δὲ τὸν Χριστόν· τούτου γὰρ ὁ θρόνος (sic slav., graece φθόνος) οὐκ ἐν χρόνῳ (θρόνῳ) κρίνεται.

31. ἐὰν ἐγκαταλίπωσιν] Προέλεγεν γὰρ ἡ γραφὴ τὸν Σαλομῶνα ὡς υἱὸν τοῦ Δαυίδ· νόει δὲ καὶ ὅλον τὸ ἔθνος τῶν Ἰουδαίων ὡς υἱοὺς τοῦ θεοῦ λεγομένους.

καὶ τοῖς κρίμασιν] Σαλομὼν γὰρ ἐγκατέλιπε τὴν ὁδὸν τοῦ πατρὸς καὶ οἱ Ἰουδαῖοι τὸν νόμον.

32. ἐὰν τὰ δικαιώματα] Τῇ πορνείᾳ γὰρ τῇ αἰσθητῇ καὶ νοητῇ ἐμόλυναν τὰ ἅγια τῶν ἁγίων.

33. ἐπισκέψομαι] Τῷ[2] σταυρῷ· ἐν αὐτῷ γὰρ συνετρίβησαν ὡς σκεύη κεραμέως, τουτέστιν ὡς ὄστρακα σαθρά [καὶ παντελῶς ἄχρηστα].

καὶ ἐν μάστιξιν] Ὥστε πρὸς ἐπιστροφὴν ἀγαγεῖν.

34. τὸ δὲ ἔλεος] Τινὲς γὰρ ἐξ αὐτῶν πιστεύσαντες ἐσώθησαν· ἐξ αὐτῶν γάρ εἰσι καὶ (ἐξ αὐτῶν δὲ καὶ) οἱ ἀπόστολοι.

οὐδὲ μή] Τουτέστιν οὐ νοθεύσω τὴν ἀλήθειαν· οὐ ψεύσομαι, φησί, ὅτι θεὸς ἐγώ εἰμι.

35. οὐδὲ μὴ βεβηλώσω] Οὐ ψεύσομαι γάρ, ὅσα διεθέμην πρὸς Ἀβραὰμ τὸν πατέρα αὐτῶν· ἐν γὰρ τῷ πιστεῦσαι πολλοὺς ἐκ τῶν Ἰουδαίων ἡ διαθήκη οὐ παρεθραύσθη.

---

[1] V.: ἐν τῇ θαλάσσῃ τοῦ βαπτίσματος τῇ χειρὶ αὐτοῦ δυναμοῦνται. χεὶρ γὰρ θεοῦ ἡ χάρις ἐστὶ τοῦ ἁγίου πνεύματος. δυναμοῦνται δὲ οἱ πιστοὶ ἐν τῷ βαπτίσματι. ὁμοίως δὲ καὶ ἡ αἰσθητὴ θάλασσα χειρὶ θεοῦ κρατεῖται τοῦ μὴ ὑπερβαίνειν τὸν ἴδιον ὅρον.

[2] V. incipit sic: Ῥάβδον λέγει τὴν ὀργὴν τοῦ κυρίου· ἔστι δὲ ὁ σταυρός. τῷ σταυρῷ κτλ.

καὶ τὰ ἐκπορευόμενα] Θεὸς γὰρ ψεύσασθαι οὐ δύναται, ἀλλ' ὅσα ἐπηγγείλατο, αὐτοῖς παρέσχεν.

36. ἅπαξ ὤμοσα] Ὤμοσα τῷ Δαυὶδ καὶ οὐ ψεύσομαι (οὐκ ἐψευσάμην), φησὶν ὁ θεός· ἐκ γὰρ αὐτοῦ [τὸ κατὰ σάρκα] ἀνέτειλα, ἵνα σώσω τὸν ἄνθρωπον.

37. τὸ σπέρμα] Σπέρμα τοῦ θεοῦ οἱ πιστοί. λέγει δὲ καὶ τὴν παρθένον τὴν θεοτόκον.

καὶ ὁ θρόνος] Ὁ θρόνος τοῦ υἱοῦ ἐνώπιον τοῦ πατρός· ἥλιος γὰρ δικαιοσύνης ὁ Χριστὸς χρηματίζει.

38. καὶ ὡς ἡ σελήνη] Περὶ τῆς ἐκκλησίας ὁ λόγος, ὅτι ὡς σελήνη φωτὸς πλήρης.

καὶ ὁ μάρτυς] Ὁ Χριστός· μάρτυς γὰρ τῆς ἐκκλησίας ὡς νυμφίος αὐτῆς ὑπάρχων.

Διάψαλμα· μετάθεσις τῆς προφητείας.

39. σὺ δὲ ἀπώσω] Πρὸς τὸν διάβολον ὁ λόγος· αἰνίττεται δὲ καὶ τὸν Σαούλ.

ἀνεβάλου] Ἠρνήσατο γὰρ ὁ Σαοὺλ τὸ χρῖσμα, ὃ ἐχρίσατο, τὸ βασιλικὸν καὶ τὸ προφητικόν.

40. κατέστρεψας] Φησὶν ὁ Σαοὺλ πρὸς τὸν θεόν· διὰ τί ἀπώσω με καὶ ἐβδελύξω με; ἀπὸ μέρους δὲ ὅλον τὸ ἔθνος λέγει (νοεῖ) τῶν Ἰουδαίων· ἔστι δὲ νοεῖν καὶ τὸν διάβολον.

ἐβεβήλωσας] Τοῦ λαοῦ τῶν Ἰουδαίων, ὅτι πᾶν τὸ ἁγίασμα αὐτοῦ ἠδαφίσθη εἰς τὴν γῆν.

41. καθεῖλες] Νόμον καὶ χάριν καὶ προφήτας· ἐν τούτοις γὰρ ἐσκέποντο οἱ Ἰουδαῖοι, ἀφῃρέθησαν δὲ ἀπ' αὐτῶν.[1]

ἔθου] Πάντα γὰρ τὰ δυνατὰ τοῦ λαοῦ κατεφρονήθη ἁμαρτησάντων αὐτῶν.

42. διήρπασαν] Οἱ δαίμονες καὶ τὰ ἔθνη διήρπαζον τὸν λαὸν τῶν Ἰουδαίων, ὡς Χαλδαῖοι καὶ οἱ λοιποί· οὗτοι γὰρ ἔξωθεν τῆς ἀληθινῆς ὁδοῦ παρεπορεύοντο.

ἐγενήθη] Τοῖς ἔθνεσι τοῖς κύκλῳ αὐτῶν· ὠνείδιζον γὰρ τοὺς Ἰουδαίους, ὅτι νόμον ἔχοντες οὐκ ἔπραττον τὰ τοῦ νόμου.

43. ὕψωσας] Λέγει μὲν περὶ τοῦ Σαούλ, ὅτι ἐνικήθη ἐν τῷ πολέμῳ καὶ ἀπέθανεν· πλὴν καὶ κατὰ τοῦ λαοῦ ἐπῆραν χεῖρα καὶ Χαλδαῖοι καὶ Ρωμαῖοι.

εὔφρανας] Λέγει τὸν Σαούλ, ὅτι ἡττᾶτο ἐν τῷ πολέμῳ, ἀποστὰς ἀπὸ τοῦ θεοῦ.

44. ἀπέστρεψας] Ἡ γὰρ ῥομφαία, ἣν εἶχε πρὸς βοήθειαν, αὕτη ἐστράφη [κατ' αὐτοῦ] καὶ ἐθανάτωσεν αὐτόν.

καὶ οὐκ ἀντελάβου] Τὸν Σαοὺλ λέγει· ὑπὸ τῶν ἐχθρῶν γὰρ κατεπατήθη καὶ οὐ προσέφυγε τῷ θεῷ, [ἀλλὰ τὴν μαντείαν ἐζήτει].

---

[1] V. add. καὶ ἐδόθησαν τοῖς ἔθνεσι ὁ νόμος καὶ λόγοι τῶν προφητῶν.

45. κατέλυσας] Ἀπέρριψε γὰρ αὐτὸν ὁ θεός, ὥστε μηκέτι περὶ καθαρσιῶν θυσίας προσφέρειν.

τὸν θρόνον] Κατέπεσε γὰρ εἰς τὸ γήϊνον φρόνημα, ὡς καὶ ὁ διάβολος ἀπ' οὐρανοῦ εἰς τὴν γῆν ἐρρίφη.

46. ἐσμίκρυνας] Τουτέστιν ὀλιγοχρόνιον ἔταξεν ὁ θεὸς [εἰς] τὴν βασιλείαν αὐτοῦ.

κατέχεας] Ῥίψας ζῶντα τῆς βασιλείας καὶ ἄλλον ἀντ' αὐτοῦ εἰσαγαγών.

Διάψαλμα· καὶ πάλιν μεταβολὴ τῆς προφητείας.

47. ἕως πότε] Ὁ προφήτης πρὸς τὸν θεὸν δεόμενος [λέγει] μὴ ἐγκαταλειφθῆναι.

ἐκκαυθήσεται] Εἰς τέλος, φησίν, ἐξεγερθήσεται.

48. μνήσθητι] Οὐ γὰρ ἀγνοεῖς, φησίν, ὃν ἔπλασας ἄνθρωπον, ὅτι ἀσθενὴς καὶ εὐόλισθος ὑπάρχει.

μὴ γὰρ ματαίως] Οὐ γὰρ εἰς μάτην, φησίν, ἐποίησας τὸν ἄνθρωπον, ἀλλ' εἰς δόξαν τῶν χειρῶν σου, ὃν μὴ παρίδῃς, ὡς θεὸς συμπαθής.

49. τίς ἐστιν] Οὐδείς, φησίν· διὰ τοῦτο ὁ θεὸς καταβὰς ἐξ οὐρανοῦ κατήργησε τὸν θάνατον.

ῥύσεται] Οὐδεὶς γὰρ δύναται (δυνατὸς) ῥυσθῆναι (ἰαθῆναι) ἐκ τοῦ ᾅδου, εἰ μὴ μόνος ὁ Χριστός, περὶ οὗ γέγραπται· καὶ ἡ σὰρξ αὐτοῦ οὐκ εἶδε διαφθοράν.

50. ποῦ ἐστιν] Ὅταν ἔπλασας τὸν ἄνθρωπον καθαρὸν καὶ δίχα πάσης ἁμαρτίας.

ἃ ὤμοσας] Ἃ ἐπηγγείλω τῷ Δαυίδ, ἐξ αὐτοῦ φανῆναι τὸ κατὰ σάρκα, καὶ ἤδη τάχυνον τὰ ἐλέη σου ⟨κύριε⟩.

51. μνήσθητι] Ὡς ὀνειδίζουσιν (ὠνείδιζον) οἱ δαίμονες τὸν ἄνθρωπον λέγοντες αὐτῷ· ποῦ ἐστιν ὁ θεός σου;

οὗ ὑπέσχου] Καθώς, φησίν, ὑπέσχου διὰ τοῦ σπέρματός μου ἐπιστρέφειν τὰ ἔθνη ἐπὶ σωτηρίαν, φησὶν ὁ Δαυίδ.

52. οὗ ὠνείδισαν] Ὠνείδιζον γὰρ οἱ δαίμονες τὸν ἄνθρωπον χρονιζούσης τῆς παρουσίας τοῦ κυρίου.

53. εὐλογητός] Ὁ λαὸς ὁ πιστὸς προσφέρει τὴν εὐλογίαν (θυσίαν) τῷ θεῷ, εὐχαριστῶν ἐφ' οἷς ἐσώθη.

LXXXIX.

Προσευχὴ τοῦ Μωυσῆ ἀνθρώπου τοῦ θεοῦ] Ὁ Μωυσῆς ὑπὲρ τοῦ λαοῦ προσεύχεται· προεώρα γὰρ αὐτῶν τὴν βουλὴν ὡς προφήτης.

1. κύριε, καταφυγή] Καθ' ἑκάστην γὰρ γενεὰν καὶ γενεὰν προῆγεν ὁ θεὸς τοῦ λαοῦ τῶν Ἰουδαίων.

2. πρὸ τοῦ ὄρη] Πρὸ γὰρ τούτων ἁπάντων ὡς προγνώστης προ-

ετοιμάσας ἦν τὸν λαόν. λέγει δὲ καὶ τὸ ἄχρονον τοῦ Χριστοῦ.

καὶ ἀπὸ τοῦ αἰῶνος] Γέγραπται γάρ· πρὸ δὲ πάντων βουνῶν γεννᾷ με. ἐν ἀρχῇ γὰρ ἦν ὁ λόγος καὶ ὁ λόγος ἦν πρὸς τὸν θεόν, καὶ θεὸς ἦν ὁ λόγος.

3. μὴ ἀποστρέψῃς] Ἀφ' οὗ γὰρ ἀνέλαβε τὸν ἄνθρωπον, χωρισθῆναι οὐ δύναται.

καὶ εἶπας] Διὰ προφητῶν καὶ πατριαρχῶν προτρέπων τὸν ἄνθρωπον ἐπιστρέψαι.

4. ὅτι χίλια ἔτη] Ὅλος γὰρ ὁ κόσμος [τῷ θεῷ] ὡς σταγὼν ἀπὸ κάδου λογίζεται, καὶ πάντες οἱ αἰῶνες ὡς μία ἡμέρα καὶ ὡς ὥρα νυκτερινή, ὥστε τὴν σωτηρίαν ζητεῖ, ὁ θεὸς τοῦ ἀνθρώπου, ἵνα σωθῇ· ὁ γὰρ θεὸς ἀπροσδέης.

5. τὰ ἐξουδενώματα] Ὡς (ὅσα) γὰρ ἐξουδένωσαν οἱ Ἰουδαῖοι τὸν Χριστόν, εἰς ἔτη πολλὰ φυλάττεται αὐτοῖς.

τὸ πρωί] Γενομένης γὰρ τῆς ἀναστάσεως ὄρθρου, οἱ Ἰουδαῖοι ὡσεὶ χόρτος ἐμαράνθησαν [καὶ ἔπεσον] καὶ παρῆλθον.

6. τὸ πρωὶ ἀνθῆσαι] Ἕως γὰρ τῆς ὥρας ἐκείνης τῆς ἑωθινῆς, ἐν ᾗ ἀνέστη ὁ κύριος, ἤνθησαν Ἰουδαῖοι. καὶ παρῆλθον ὡς ἄνθος χόρτου.

τὸ ἑσπέρας] Μετὰ γὰρ τὴν ἀνάστασιν ἐκείνοις ἐγένετο ἑσπέρα, ὅ ἐστι τὸ τέλος· ἀπέπεσαν γὰρ ξηρανθέντες.

7. ὅτι ἐξελίπομεν] Ὡς ἐταράχθη τὰ στοιχεῖα καὶ ὁ ἥλιος καὶ ἡ ἡμέρα καὶ πᾶσα ψυχὴ ἐσκορπίζετο (ἐσκοτίζετο), τότε ἡ ἐλπὶς τῶν Ἰουδαίων ἐξέλιπε πᾶσα.

καὶ ἐν τῷ θυμῷ] Τῆς γῆς κλονουμένης καὶ τῶν πετρῶν σχιζομένων, οἱ Ἰουδαῖοι ἔτρεμον ταρασσόμενοι.

8. ἔθου] Τότε γὰρ ἔγνωσαν οἱ Ἰουδαῖοι, ὅτι πᾶσα αὐτῶν ἀνομία ἐμνήσθη ἐνώπιον τοῦ θεοῦ.

ὁ αἰών] Ὅσον γὰρ ἐν τῷ φωτί σου ⟨τοῦ προσώπου σου⟩ ἐζήσαμεν, ἐκεῖναι ἦσαν ἡμέραι ἀγαθαί· ὅταν δὲ ἡμάρτομεν, ἀπερρίφημεν εἰς τὸν αἰῶνα.

9. ὅτι πᾶσαι] Αἱ γὰρ ἡμέραι ἐκεῖναι, ἐν αἷς μετὰ θεοῦ ἦμεν, ἐξέλιπον διὰ τὰς ἁμαρτίας ἡμῶν.

καὶ ἐν τῇ ὀργῇ] Παρωργίσαμεν γὰρ καὶ ἀνῆκεν ἡμᾶς.

τὰ ἔτη ἡμῶν] Ἀράχνης γὰρ δίκην διεσπάσθησαν καὶ ἐγένοντο ἀνυπόστατα.

10. αἱ ἡμέραι] Τὴν ὀλιγότητα λέγει τοῦ ἀνθρώπου, ὅτι ὡς οὐδὲν ἐν ῥισὶν ἡ ζωὴ ἡμῶν.

ἐὰν δὲ ἐν δυναστείαις] Τὸ αὐτό ἐστιν· ὅταν γὰρ (γε χρὴ) καὶ ὀγδοήκοντα ἔτη ζήσῃ ὁ ἄνθρωπος, ἐν πολλῇ ἀδυναμίᾳ γίνεται.

καὶ τὸ πλεῖον] Ἐὰν δέ, φησί, καὶ τούτων πλείονα τύχῃ, ἐν ὀδύνῃ καὶ πόνοις ἐστὶν ὁ ἄνθρωπος.

ὅτι ἐπῆλθεν] Παιδιώδη γὰρ λοιπὸν φθέγγονται ἐκ τοῦ γήρους καὶ οὐδὲν ἐνυπόστατον.

11. τίς γινώσκει] Τίς, φησίν; οὐδείς· οὐκ ἄγγελοι, οὐκ ἀρχάγγελοι, οὔτε τις ἑτέρα δύναμις.

καὶ ἀπὸ τοῦ φόβου] Ὁ γὰρ φόβος τοῦ θεοῦ καὶ ἀπὸ ἀκοῆς μόνης (μόνον) στροβεῖ τὸν ἄνθρωπον· οὐχὶ[1] γὰρ καὶ τὸν θυμὸν ὑποστῆναι δύναταί τις.

12. τὴν δεξιάν] Ἐν γὰρ τῇ ἀγαθότητι τοῦ θεοῦ σωθεὶς ὁ ἄνθρωπος, δύναται ἐξαριθμεῖν (ἀπαριθμεῖν) τὰ ἔργα τοῦ θεοῦ.

καὶ τοὺς πεπαιδευμένους] Ὅσοι γὰρ τῷ φόβῳ τοῦ θεοῦ μετὰ σοφίας πολλῆς ἠσφαλίσαντο τὴν καρδίαν, οὗτοι γνωρίζουσι τὴν ἀγαθότητα τοῦ θεοῦ.

13. ἐπίστρεψον] Ὡς φιλάνθρωπος καὶ συμπαθής, φησὶν ὁ προφήτης, ἐπέσχες τὴν ὀργήν [σου].

καὶ παρακλήθητι] Ὁ λόγος περὶ τῶν ἐθνῶν· ἐπίστρεψον, φησί, καὶ δέξαι τὰ ἔθνη εἰς σωτηρίαν.

14. ἐνεπλήσθημεν] Γενομένης γὰρ τῆς ἀναστάσεως ὄρθρου ἐπλήσθη πᾶσα ἡ γῆ τοῦ ἐλέους κυρίου (Χριστοῦ).

καὶ ἠγαλλιασάμεθα] Μεταλαμβάνοντες γὰρ λοιπὸν οἱ πιστοὶ τὰ μυστικά, χαρᾶς καὶ εὐφροσύνης πληροῦνται, Χριστοῦ ἀναστάντος ἐκ νεκρῶν.

ἐν πάσαις ταῖς ἡμέραις] Οὐ γὰρ ἔτι ταύτης τῆς χαρᾶς ἀφαιρεθῆναι δυνατὸν [τοὺς πιστούς].

15. ἀνθ' ὧν] Ἀντὶ γὰρ τῶν ἡμερῶν ἐκείνων, ὧν ἐταπείνωσας ἡμᾶς, ἐάσας κυριεύεσθαι ὑπὸ τῶν δαιμόνων, ἔδωκας ἡμῖν τὴν χαρὰν (χάριν) τῆς ἀναστάσεως.

ἐτῶν] Ἀντ' ἐκείνων γὰρ τῶν ἐτῶν, ὧν ἔθλιψαν ἡμᾶς οἱ δαίμονες, ἔδωκας ἡμῖν τὴν χαρὰν τὴν αἰώνιον, φησὶ τὰ ἔθνη.

16. καὶ ἴδε] Κτῆμα[2] γὰρ ἄλλο τοιοῦτον οὐκ ἔχεις ὡς τὸν ἄνθρωπον· διὸ μὴ παρίδῃς τὰ ἔργα σου.

καὶ ὁδήγησον] Οὕτως γὰρ ὡδήγει (αὐτὸς γὰρ ἤτοι ὁ θεὸς ὁδηγεῖ) κατὰ γενεὰν τοὺς τικτομένους ἐπὶ τὴν ὁδὸν τῆς σωτηρίας.

17. καὶ ἔστω] Τὸ φῶς τὸ ἀληθινόν ἐστιν ὁ Χριστός· κατασκηνοῖ γὰρ ἐν πᾶσι τοῖς πιστοῖς.

καὶ τὰ ἔργα] Ὅσα γὰρ ἐργάζεται ὁ ἄνθρωπος ἔργα δικαιοσύνης, ὑπὸ θεοῦ κατευθύνεται. χωρὶς γὰρ αὐτοῦ ἐγένετο οὐδέν, καθὼς γέγραπται.

XC.

Αἶνος ᾠδῆς τῷ Δαυίδ] Ἡ προφητεία ἀναμέμικται (ἀναδέδεικται) τῇ ᾠδῇ καὶ τῷ αἴνῳ. σημαίνει δὲ προστακτικῶς (πρακτικῶς, συντακτι-

[1] V. continuat sic: τίς γὰρ δύναται ὑπομεῖναι τὸν θυμὸν τοῦ κυρίου. Quae mox sequuntur, legi non possunt nisi ex parte: Οὐδεὶς ὡς ἀληθῶς τὰ πάντα . . . . τὰ ἄνω τὰ κάτω. τὰ μὲν ἄνω ἤγουν οἱ ἄγγελοι, τὰ δὲ κάτω πᾶσα τῶν ἀνθρώπων ἡ φύσις . . . . τίς δὲ . . . . τὸν φόβον τοῦ θεοῦ.

[2] V. incipit sic: Σὺ μόνος οἶδας τὸ ἔργον τῶν χειρῶν σου. ταῦτα ὁ προφήτης δεόμενος πρὸς κύριον ἀεί, ὅτι ἄλλο τοιοῦτον κτῆμα οὐκ ἔχεις κτλ.

κῶς) τὸν κατὰ θεὸν βουλόμενον (τῷ κατὰ θεὸν βουλομένῳ) ζῆν.

1. ὁ κατοικῶν] Ὁ υἱὸς ἐν τῷ πατρί, καθὼς γέγραπται· ἐγὼ ἐν τῷ πατρὶ καὶ ὁ πατὴρ ἐν ἐμοί. τὸ δὲ αὐλισθήσεται ἐν σκέπῃ σημαίνει τὸ ἐν τοῖς κόλποις εἶναι τοῦ πατρός, τουτέστιν ὁ ἀγαθὸς καὶ πιστὸς ἄνθρωπος, ἀεὶ ἐν τῇ βοηθείᾳ τοῦ θεοῦ ἔχων τὴν ἐλπίδα, ἐπαναπαύεται τῷ θεῷ, ὅ ἐστιν αὐλίζεται.

2. ἐρεῖ τῷ θεῷ] Ὁ υἱὸς πρὸς τὸν πατέρα ἐκ προσώπου τοῦ ἀνθρώπου ἐν τῷ καιρῷ τοῦ πάθους φησί· θεός μου, θεός μου, ἵνα τί με ἐγκατέλιπες; ὁ γὰρ πιστὸς ἄνθρωπος ἀεὶ ἐλπίζειν ὀφείλει τῷ θεῷ καὶ τὴν παρ' αὐτοῦ βοήθειαν ἐκδέχεσθαι.

3. ὅτι αὐτὸς ῥύσεται] Ἤθελον γὰρ παγιδεύειν (οἱ) Ἰουδαῖοι τὸν Χριστόν. γέγραπται γάρ· καὶ ἐζήτουν αὐτὸν παγιδεῦσαι ἐν λόγοις, ὥσπερ ἀεὶ οἱ δαίμονες παγιδεύουσι τὸν ἄνθρωπον, εἴτε διὰ λόγων ταράσσοντες εἴτε δι' ὁράσεων εἴτε δι' ἐνθυμήσεων. ῥύονται δὲ οἱ ἐλπίζοντες ἐπὶ τὸν θεὸν ἀπὸ τῶν ἀτόπων.

4. ἐν τοῖς μεταφρένοις] Μετάφρενα ὁ τόπος ἐστὶν ὁ μεταξὺ τῶν ὤμων, ἐν ᾧ αἱ πτέρυγες κρατοῦνται, ὅ ἐστιν ἡ δύναμις. γέγραπται γάρ· καὶ ἔσται ἴασις ἐν ταῖς πτέρυξιν αὐτοῦ. πτέρυγες δὲ θεοῦ δικαιοσύνη καὶ ἀλήθεια, μετάφρενα δὲ αὐτοῦ κράτος καὶ δύναμις. ἐν τούτοις οὖν (δὲ) σκέπονται οἱ πιστοὶ κατὰ τὸν ἀπόστολον διὰ τῶν ὅπλων τῆς δικαιοσύνης, τῶν δεξιῶν καὶ τῶν ἀριστερῶν.

5. οὐ φοβηθήσῃ] Τουτέστι μὴ φοβοῦ, λέγει τῷ πιστῷ ἀνθρώπῳ, ἀπὸ τῶν δαιμόνων· αὐτοὶ γὰρ ἐν νυκτὶ τὴν κατοικίαν ἔχουσι καὶ τὴν κίνησιν, ἐν ἡμέρᾳ δὲ ὡς βέλη διὰ τοῦ ἀέρος διατρέχουσιν, ὅθεν καὶ πτοοῦσιν ἀοράτως ἐφιστάμενοι. ποίαν δὲ ἰσχὺν ἢ φόβον ἔχουσιν ὅλως οἱ ἐν σκότει [τὴν ἐξουσίαν ἔχοντες καὶ] τὰ κακὰ πάντα [ἐν σκότει] πράττοντες, οἷον πορνείαν, κλοπήν, φόνον, ἅπερ ὀφείλει παραφυλάττεσθαι ὁ ἄνθρωπος.[1]

6. ἀπὸ πράγματος] Ὁμοίως ἐν τῇ θατέρᾳ μεσημβρίᾳ, ὡς ἐν σκότει, ἐνεργοῦσιν τὰ πνεύματα, ἐμπίπτοντα καὶ συμπτώματα ποιοῦντα τοῖς ἀνθρώποις.

---

[1] V. Baroc. Ὁ πιστὸς καὶ κατὰ θεὸν ἄνθρωπος ἀεὶ ἐλπίζει ἐπὶ κύριον καὶ ἐν τῇ δυνάμει αὐτοῦ σκέπεται ἀπὸ τῶν δαιμόνων διὰ τοῦ ἁγίου πνεύματος. ταῦτα ὁ προφήτης βοᾷ. μὴ φοβοῦ ἀπὸ τοῦ νοῦ, ὅτι ἔχεις σωτήριον ὅπλον τὸν τίμιον σταυρόν, ἵνα τοὺς ἐχθρούς σου νικᾷς. ἐχθροὶ τοῦ ἀνθρώπου οἱ πονηροὶ δαίμονές εἰσιν. αὐτοὶ γὰρ ἐν νυκτὶ κτλ. — διὰ τοῦ ἀέρος κατατρέχουσιν. οἱ ἐν σκότει τὰ κακὰ πάντα πράττοντες κτλ. — ὁ ἄνθρωπος. In Vatic. legitur sic: Τῷ πιστῷ λέγει· μὴ φοβοῦ ἀπὸ τῶν δαιμόνων· αὐτοὶ γὰρ ἐν νυκτὶ τὰ δεινὰ ἐργάζονται, ἐν δὲ τῇ ἡμέρᾳ, ἐὰν πιστὸν καὶ ἐργαζόμενον τὰ ἀγαθὰ εὕρωσι, φοβοῦνται μᾶλλον· οὗτοι γὰρ πορνείας, μοιχείας, φόνους βασιλεύουσι τῶν δαιμόνων καὶ κυριεύουσι αὐτῶν καὶ ἐξουσίαν κατ' αὐτῶν ἔχουσι· τὸ γὰρ διαπορευόμενον πρᾶγμα ἐν σκότει ἐκεῖνό ἐστιν οἷον πορνεία, μοιχεία, φόνος καὶ λοιπά.

7. πεσεῖται] Οἱ γὰρ ἐκ δεξιῶν τοῦ ἀνθρώπου δαίμονες πλείονές εἰσιν τῶν ἀριστερῶν. διὰ τοῦτο ἐκ τοῦ ἀριστεροῦ μέρους ἐλάττω (ἔλαττον) πίπτουσι δαίμονες παρὰ τοῖς πιστοῖς, πλείονες δὲ ἐκ δεξιῶν [πίπτουσι].

8. πλὴν τοῖς ὀφθαλμοῖς] Τουτέστιν τοῖς τῆς διανοίας ὀφθαλμοῖς πρόσεχε ἀκριβῶς· τοξεύοντες γὰρ οἱ δαίμονες οὐ παύονται. ὄψει δὲ καὶ τὴν πτῶσιν τῶν πειθομένων αὐτοῖς, πῶς ἀπολαμβάνουσιν ἀπὸ θεοῦ [τὴν ἀνταπόδοσιν αὐτῶν].

9. ὅτι σύ, κύριε] Ἐλπὶς γὰρ ἀγαθὴ καὶ μὴ πίπτουσα τῶν πιστῶν ἀνθρώπων τὸ ἀεὶ τὴν μέριμναν [αὐτοῦ] τῷ θεῷ ἐπιρρίπτειν καὶ εἰς αὐτὸν καταφεύγειν.

10. οὐ προσελεύσεται] Οὔτε γὰρ κακία τις ἥψατο τῆς δεσποτικῆς σαρκός. γέγραπται γάρ· καὶ ἡ σὰρξ αὐτοῦ οὐκ εἶδε διαφθοράν. σκηνὴ γὰρ θεοῦ ἡ σάρξ· ὁ λόγος γὰρ σὰρξ ἐγένετο καὶ ἐσκήνωσεν ἐν ἡμῖν.

11. ὅτι τοῖς ἀγγέλοις] Πάρεισι γὰρ οἱ ἄγγελοι καὶ ἀποσχοινίζουσι τὸν ἄνθρωπον πάσης κακῆς πράξεως ὡς ἀποσοβοῦντες ἀπ' αὐτοῦ τοὺς δαίμονας.

12. ἐπὶ χειρῶν] Χερσὶ γὰρ τοῦ θεοῦ καὶ τῶν ἀγγέλων βαστάζεται ὁ ἄνθρωπος, ὥστε μὴ προσκόπτειν τῇ λήθῃ· ἔθος (λίθος) γὰρ ἡ λήθη ὡς ἀναίσθητος. σημαίνει δὲ τὴν ἀνάληψιν τοῦ κυρίου.

13. ἐπ' ἀσπίδα] Ἀσπίδα (ἐπὶ ἀσπίδα) λέγει τοὺς ἀποστρέφοντας τὴν ἀκοὴν ἀπὸ τῶν ἐντολῶν τοῦ θεοῦ. ὁ βασιλίσκος τῇ ὁράσει αὐτοῦ ἀποκτείνει τὸν ἄνθρωπον. εἰσὶ δὲ οἱ φαρμακοί. λέοντα δὲ λέγει τὸν ἅρπαγα καὶ τυραννικὸν ἄνθρωπον, δράκοντα δὲ τοὺς δολεροὺς καὶ ὑποκριτὰς καὶ θυμώδεις· ἅπαντα (ἑκάτερα) δὲ ὁ διάβολος ὑπάρχει. τοῦτον ἐπάτησεν ἐπὶ τοῦ σταυροῦ ὁ Χριστὸς καὶ θεός.

14. ὅτι ἐπ' ἐμέ] Ῥύεται (ῥύσεται) γὰρ ὁ θεὸς πάντας τοὺς ἐλπίζοντας ἐπ' αὐτὸν ἀπὸ παντὸς κακοῦ καὶ σκέπει ἀπὸ πάσης θλίψεως. ἑκάτερα δὲ νοητῶς (νοεῖται) εἰς τὸν Χριστὸν ἀναφέρεται (καὶ ἀναφέρεται).

15. ἐπικαλέσεται] Λέγει τὸν Ἀδάμ, τουτέστιν τὸν ἄνθρωπον. τὰ πάντα γὰρ ὑπέμεινε [ὁ Χριστὸς] διὰ τὸν ἄνθρωπον.

16. μακρότητι] Λέγει τὸν ἄνθρωπον, ὃν συνήγειρε καὶ συνεκάθισεν, ὅ ἐστιν ὁ Ἀδάμ. μένει γὰρ εἰς αἰῶνας αἰώνων, μηκέτι τέλος ἔχων, καὶ δι' αὐτοῦ πάντες οἱ καλῶς βιώσαντες καὶ ἑαυτοὺς καθάραντες ἀπὸ παντὸς μολυσμοῦ.

XCI.

Ψαλμὸς ᾠδῆς, εἰς τὴν ἡμέραν τοῦ σαββάτου] Ἡ προφητεία περὶ τοῦ σαββάτου λέγει ἐκείνου, περὶ οὗ εἶπεν ὁ κύριος· εὔχεσθε, ἵνα μὴ

γένηται ἡ φυγὴ ὑμῶν χειμῶνος ἢ σαββάτου. προτρέπει δὲ πάντας ὁ ψαλμὸς εὐσεβεῖν καὶ μνημονεύειν θεοῦ ἀδιαλείπτως.

2. *ἀγαθόν*] *Προτροπὴ τοῦ πνεύματος τοῦ ἁγίου, τοῦ κατὰ θεὸν ἀνθρώπου, ὥστε ἐξομολογεῖσθαι ἀεὶ τῷ θεῷ καὶ ἀκαταπαύστως ψάλλειν. δι' αὐτὸν γὰρ νοερὸς γίνεται ὁ ἄνθρωπος.*

3. *τοῦ ἀναγγέλλειν*] *Χρὴ γὰρ τὸν πιστὸν ἄνθρωπον (πάντα ἄνθρωπον πιστὸν) καθ' ἑκάστην ἡμέραν, καὶ νυκτὸς καὶ ὄρθρου, δοξάζειν τὸν θεόν· νυκτὸς γὰρ τὸ πάθος καὶ ὄρθρου ἡ ἀνάστασις.*

4. *ἐν δεκαχόρδῳ*] *Λέγει μὲν χορδὰς τοὺς δακτύλους, νοεῖται δέ, ὡς ὀφείλει τὴν κιθάραν, τουτέστιν τὴν γλῶτταν, τὴν τῶν δώδεκα ἀποστόλων διδαχήν, ἀντὶ νεύρων ἱστουργεῖν καὶ οὕτω δοξάζειν τὸν κύριον. δίχα γὰρ τούτων ψάλλειν ἀνόητον.*

5. *ὅτι εὔφρανάς με*] *Θεωρῶν πᾶσαν τὴν κτίσιν ὁ ἄνθρωπος, ὡς παρήγαγεν αὐτὴν ὁ θεὸς ἀκαμάτως, τὸν οὐρανὸν βλέπων τοῖς ἄστροις ἐστεφανωμένον [τὴν γῆν κομῶσαν τοῖς καρποῖς], τὸν ἥλιον καὶ τὴν σελήνην φωτίζοντας τὰ σύμπαντα.*

καὶ ἐν τοῖς ἔργοις] *Ὁρῶν ὁ ἄνθρωπος ἑαυτὸν ὡς βασιλέα τῆς κτίσεως· μόνος γὰρ ὁ ἄνθρωπος χερσὶ θεοῦ ἐπλάσθη, αὐτὸν δὲ καὶ ἀνέλαβεν ἐπὶ τῆς θεότητος.*

6. *ὡς ἐμεγαλύνθη*] *Ἐν γὰρ τῷ μεγαλυνθῆναι τουτέστιν πληθυνθῆναι τὸν ἄνθρωπον ἐβαθύνθησαν οἱ διαλογισμοὶ τοῦ θεοῦ, τουτέστιν ἀπεκρύβησαν (ἀπεκρύβησεν) ἀπὸ πάσης ἐνθυμήσεως ἀνθρώπου ἡ βουλὴ τοῦ θεοῦ, ἣν ἐβουλεύσατο περὶ τοῦ ἀνθρώπου. τίς γὰρ ἐνθυμηθῆναι ὅλως ἠδύνατο, ὅτι θεὸς ἐπὶ γῆς ἔρχεται διὰ τὸν ἄνθρωπον.*

7. *ἀνὴρ ἄφρων*] *Ὁ διάβολος, ὡς ἄφρων καὶ ἀσύνετος, ἠγνόησε τὴν ἐσομένην σωτηρίαν τῷ ἀνθρώπῳ ὑπὸ τοῦ θεοῦ.*

8. *ἐν τῷ ἀνατεῖλαι*] *Οὓς γὰρ ὁ διάβολος ἐπλάνησε καὶ ἐποίησε ἁμαρτωλούς. ἐπληθύνθη δὲ ἡ ἁμαρτία ἐπὶ τῆς γῆς. διὰ τοῦτο ὁ θεὸς ὤφθη ἐπὶ γῆς, ἵνα οὓς ἐκεῖνος ἠχμαλώτευσεν, αὐτὸς ἐλευθερώσῃ.*[1]

καὶ διέκοψαν] *Οἱ δαίμονες· αὐτοὶ γὰρ τὸν ἄνθρωπον ἐξέκλιναν ἀπὸ τῆς εὐθείας ὁδοῦ.*

ὅπως ἂν ἐξολεθρευθῶσιν] *Οὐκέτι γὰρ τὴν ἀρχαίαν τιμὴν ἀπολαβεῖν οἱ δαίμονες δύνανται, ἀλλ' ἐρρίφησαν εἰς τὸν αἰῶνα.*

9. *σὺ δὲ ὕψιστος*] *Ὡς θεὸς παντοδύνατος ἐν οὐρανοῖς κατοικεῖς.*

10. *ὅτι ἰδού*] *Οἱ παῖδες Ἰουδαίων· αὐτοὶ γὰρ ἐχθροὶ τοῦ κυρίου*

---

[1] V.: *Οὓς γὰρ ὁ διάβολος ἐπλάνησε καὶ ἐποίησε ἁμαρτωλούς, τοσοῦτον ἐπλήθυνεν ἡ ἁμαρτία ὑπὲρ τὸν χόρτον τῆς γῆς. ἐλθὼν οὖν ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστὸς καὶ πᾶσιν ὤφθη, ἵνα οὓς ἐκεῖνος ἠχμαλώτευσεν, αὐτὸς ἐλευθερώσῃ. καὶ οὓς ὁ ἐχθρὸς ὡς χόρτα ἄκαρπα πεποίηκεν, ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστὸς εὐκάρπους ἐποίησε τοὺς εἰς αὐτὸν πιστεύοντας.*

ἐγένοντο, ἀπώλοντο δέ, κατὰ θεοῦ τὰς χεῖρας ἐπάραντες.

καὶ διασκορπισθήσονται] *Ὁ λαὸς τῶν Ἰουδαίων· αὐτοὶ γὰρ τὴν ἀσύγκριτον ἀνομίαν εἰργάσαντο σταυρώσαντες τὸν κύριον· ἀναστὰς δὲ ὁ Χριστὸς τούτους ἐσκόρπισεν.*[1]

11. καὶ ὑψωθήσεται] *Λέγει* [*μὲν οὖν*] *τὸ μυστήριον τῆς παρθένου κέρας, ὡς ἄκρον πάντων τῶν μυστηρίων, μονόκερως δέ* [*ὡς μονοειδὴς καὶ ἀσυμμιγὴς πάσης κτίσεως*].

καὶ τὸ γῆράς μου] *Γῆρας εἰπὼν ὁ προφήτης αἰνίττεται τὸν πρὸ αἰώνων· ἐν ἀρχῇ γὰρ ἦν ὁ λόγος. ἐλαίῳ δὲ πίονι, τουτέστιν πλουσίῳ ἐλέει* ⟨*ἐλαίῳ*⟩ *σώσας τὸν ἄνθρωπον. πίονα δὲ νόει τὴν παρθένον, ὡς διὰ τὸ σῶμα· δι᾽ αὐτῆς γὰρ ἐσώθη τὸ γένος τῶν ἀνθρώπων.*

12. καὶ ἐπεῖδεν] *Τουτέστιν πρὸ τοῦ δρᾶσαι τὸν κατ᾽ ἐμοῦ πόλεμον τοὺς ἐχθρούς μου ὁ ὀφθαλμός μου προεώρα καὶ προεγίνωσκεν.*

καὶ ἐν τοῖς ἐπανισταμένοις] *Προεγίνωσκεν γὰρ τὴν ἐπανάστασιν Ἰουδαίων καὶ προήκουε τῆς ἀθεμίστου αὐτῶν συμβουλῆς (συμβουλίας).*

13. δίκαιος] *Ὁ Χριστός, ὡς γλυκὺς καὶ ἡδὺς τοῖς πιστοῖς καὶ ὡς κυπρίσας τὸν βότρυν τῆς σωτηρίας ἐπὶ τοῦ σταυροῦ.*

ὡς ἡ κέδρος] *Κέδρον λέγει τὸ ὑψηλὸν τῆς δόξης. Λίβανος δὲ σημαίνει τὴν θεότητα· τὸ δὲ πληθυνθήσεται (πληθυνθῆναι) σημαίνει τὸ πλῆθος τῶν σωζομένων διὰ Χριστόν (Χριστοῦ).*

14. πεφυτευμένοι] *Οἱ σωζόμενοι ἐν τῇ ἐκκλησίᾳ, φυτευόμενοι ἐν αὐτῇ διὰ τοῦ βαπτίσματος.*

ἐν ταῖς αὐλαῖς] *Αὐλὰς λέγει τὰς ἐκκλησίας· ἐκεῖ γὰρ ἐπαναπαύεται (ἐπανεπαύετο) ὁ Χριστός, ἐκεῖ δὲ ἀνθοῦσι οἱ πιστοί, τουτέστι καρποφοροῦσι τὰς ἀρετάς.*

15. τότε πληθυνθήσονται] *Ἐκεῖ. ποῦ; ἐν τῇ ἐκκλησίᾳ. ἐκεῖ, φησί, καταγηράσουσιν οἱ πιστοί, πιαινόμενοι τῷ σώματι καὶ τῷ αἵματι τοῦ Χριστοῦ.*

καὶ εὐπαθοῦντες] *Ὑγιεῖς, φησί, καὶ ἐν δυνάμει ἀναγγελοῦσι τὰ ἔργα κυρίου καὶ τὴν δόξαν αὐτοῦ.*

16. ὅτι εὐθὴς κύριος] *Εὐθύτης γὰρ καὶ δικαιοσύνη καὶ ἀλήθεια παρὰ τῷ θεῷ αὐλίζεται.*

XCII.

Εἰς τὴν ἡμέραν — ἡ γῆ. αἶνος ᾠδῆς τῷ Δαυίδ] *Ὧδε σημαίνει ἡ προφητεία, ὥστε πρὸ τοῦ σαββάτου ἐκείνου τοῦ προσδοκουμένου εὐτρε-*

[1] V.: *Ἐν τῇ δευτέρᾳ αὐτοῦ παρουσίᾳ ἡ ὀργὴ αὐτοῦ διασκορπίσει αὐτούς. ὁ γὰρ λαὸς τῶν Ἰουδαίων εἰργάσατο τὴν ἀσύγκριτον παρανομίαν, σταυρώσαντες τὸν κύριον, καὶ διὰ τοῦτο διπλῆν ὀργὴν παρὰ κυρίου ἔλαβον, αἰσθητὴν καὶ νοητήν.*

πίζεσθαι τοὺς πιστούς. μετὰ γὰρ τὴν ἡμέραν ἐκείνην κατοικίζεται ἡ γῆ τῆς ἐπαγγελίας τῶν ζώντων.

1. κύριος ἐβασίλευσεν] Πρὸ πάντων μὲν αἰώνων ἐβασίλευεν ὁ Χριστός, ἀλλὰ ὅμως ἐβασίλευσε τῇ σαρκί, καταπατήσας τὸν θάνατον καὶ ἀναστὰς ἐκ τῶν νεκρῶν.

ἐνεδύσατο] Καταβὰς ἐξ οὐρανοῦ καὶ συντρίψας τὸν θάνατον ὡς θεὸς καὶ σκυλεύσας τὸν ᾅδην καὶ πολλῷ χρόνῳ κατεχομένας ψυχὰς ἐλευθερώσας, καὶ διὰ τοῦτο (τούτου χάριν) λέγει τὸ ἐνεδύσατο δύναμιν.

καὶ γὰρ ἐστερέωσεν] Ἐσαλεύετο γὰρ ἀπὸ τῆς εἰδωλολατρείας, ἐστήριξε δὲ αὐτὴν ἀναστὰς ἐκ νεκρῶν.

2. ἕτοιμος ὁ θρόνος] Ὁ θρόνος τῆς ἀναστάσεως· ἀφ' οὗ γὰρ ἐπλάσθη ἡ γῆ, προεγινώσκετο ὁ τόπος.

ἀπὸ τοῦ αἰῶνος] Πρὸ τοῦ αἰῶνος γὰρ ἦν ὁ Χριστὸς σὺν τῷ πατρὶ κατὰ τὸν εἰπόντα· ἐν ἀρχῇ ἦν ὁ λόγος.

3. ἐπῆραν] Συγχαίροντες πάντες οἱ ποταμοὶ τῆς γῆς τῷ Ἰορδάνῃ διὰ τὸν ἐν αὐτῷ κατελθόντα μετὰ φωνῆς. λέγει δὲ καὶ τοὺς ποταμοὺς τῆς χάριτος· ἤχησαν γὰρ εἰς τὴν οἰκουμένην διὰ τῶν εὐαγγελίων.

ἀροῦσιν] Οἱ ἐπιβρύχοντες (ἐπιβρέχοντες) καὶ ἐπανιστάμενοι τῇ γηΐνῃ πολιτείᾳ κατακλύζοντες αὐτήν (αὐτούς).

4. ἀπὸ φωνῶν] Τῶν ὑδάτων, λέγει, τοῦ βαπτίσματος· πολλὰ γὰρ ὡς κατὰ πᾶσαν τὴν οἰκουμένην ἠχοῦντα καὶ κατακλύζοντα (κατακτυποῦντα) τὸν διάβολον.

θαυμαστοὶ] Ἔστι μὲν θαυμάζειν (θαυμάσαι) καὶ τὴν αἰσθητὴν θάλασσαν, ὡς μέγα στοιχεῖον καὶ φοβερὰν οὖσαν. τί δὲ πρὸς τὸ ὕψος τῆς θαλάσσης τῆς νοητῆς, τουτέστιν τοῦ βαπτίσματος; ἐκείνη μὲν γὰρ λαβοῦσα (λαμβάνουσα) τὸν ἄνθρωπον θανατοῖ, αὕτη δὲ λαμβάνουσα τὸν ἄνθρωπον ζωοποιεῖ καὶ λαμπρὸν τῷ θεῷ ἀποδίδωσι. τί οὖν τοῦ μετεωρισμοῦ τούτου θαυμαστότερον (θαυμασιώτερον).

θαυμαστός] Ἐν τῷ ὕψει τῆς θεότητος καὶ ἐν τῇ μεγαλειότητι τῆς δόξης.

5. τὰ μαρτύριά σου] Προφῆται καὶ ἀπόστολοι καὶ εὐαγγελισταί· ταῦτα γάρ ἐστι τὰ ἀληθινὰ μαρτύρια τοῦ θεοῦ. ἐπιστώθησαν γάρ, ὅτι ἐπληρώθησαν οἱ λόγοι αὐτῶν ἐν ἀληθείᾳ.

τῷ οἴκῳ] Λέγει τῇ σαρκὶ τῇ δεσποτικῇ· αὕτη γὰρ οἶκος θεοῦ πρὸς ἀλήθειαν. οὗτος ὁ οἶκος ἅγιος καὶ ἔνδοξος εἰς τὰς ἡμέρας τοῦ αἰῶνος. λέγει δὲ καὶ τὴν ἐκκλησίαν, ὡς ἐν αὐτῇ τὸ ἁγίασμα ὑψούμενον.

XCIII.

Ψαλμὸς τῷ Δαυὶδ τετράδι σαββάτων] Καὶ αὕτη ἡ προφητεία περὶ τοῦ Χριστοῦ· τῇ τετάρτῃ γὰρ τοῦ σαββάτου τὸ συμβούλιον

ἐγένετο τῶν Ἰουδαίων κατὰ τοῦ Χριστοῦ.

1. *ὁ θεὸς ἐκδικήσεων*] *Ἐν πολλῇ γὰρ παρρησίᾳ καὶ δυνάμει ἐποίησε τὴν ἑαυτοῦ ἐκδίκησιν, ἀναστὰς ἐκ νεκρῶν καὶ σκορπίσας τὸ ἔθνος τῶν Ἰουδαίων.*

2. *ὑψώθητι*] *Μετὰ γὰρ τὸ ὕψος (τοῦ ὕψους) τῆς ἀγαθότητος τοῦ θεοῦ καὶ ἐν πολλῇ δυνάμει παρατάξεως ⟨σαρκώσεως⟩ ἔρχεται, ὅταν μέλλῃ κρίνειν πᾶσαν τὴν γῆν.*

ἀπόδος] *Τότε, φησίν, ὅταν ἀποδιδῷς (*codices *ἀποδίδῃς, ἀποδώσῃς), ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ, τότε γνώσονται οἱ ὑπερήφανοι καὶ ἀλαζόνες, πόση καὶ πηλίκη ἡ δύναμις τοῦ θεοῦ.*

3. *ἕως πότε*] *Τί, φησίν, ὀφρυοῦνται οἱ ἁμαρτωλοί; ἐγγὺς τὸ τέλος· ἑτοιμαζέσθωσαν πρὸς μάστιγας.*

4. *φθέγξονται*] *Ἐξ ἀλαζονείας λαλοῦντες οἱ Ἰουδαῖοι κατὰ θεοῦ καὶ κατὰ τῶν ἀποστόλων.*

λαλήσουσιν] *Ἀσεβεῖς καὶ ἀλαζόνες καὶ ὑπερήφανοι καὶ ὑποκριταὶ καὶ αἱρετικῶν παῖδες· οὐ παύονται γὰρ οὔτε βλασφημοῦντες οὔτε ἐργαζόμενοι τὰ ἄτοπα.*

5. *τὸν λαόν σου*] *Λέγει μὲν τὸν λαὸν τῶν Ἑβραίων ὑπὸ τῶν ἐθνῶν σκυλευόμενον τότε· ταπεινοῦσι δέ, τὸ δοκεῖν, καὶ τὸν πιστὸν λαὸν οἱ δαίμονες, καὶ ἀλαζόνες καὶ ὑπερήφανοι.*

6. *χήραν*] *Οἱ ἄρχοντες τῶν Ἰουδαίων· ἐτελώνευον γὰρ πάντας, καὶ χήρας καὶ ὀρφανοὺς καὶ προσηλύτους· μετὰ μισθοῦ γὰρ ὑπεκρίνοντο.*

7. *καὶ εἶπαν*] *Οὔτε γὰρ ἐνενόησαν τὸν θεόν, ὅτι ἔκδικος τῶν [ταπεινῶν] πάντων ἐστίν.*

8. *σύνετε δή*] *Ὀνειδίζει τὸ πνεῦμα τὸ ἅγιον τὸν λαὸν τῶν Ἰουδαίων, ὅτι οὐ συνῆκαν, πῶς μὲν ἐκδικῶν αὐτοὺς ἀεὶ ἐκ τῶν ἐχθρῶν ὁ θεὸς οὐκ ἐπαύσατο, ποῖον δὲ ἠσέβησαν εἰς αὐτὸν ἐξ ἀλαζονείας.*

9. *ὁ φυτεύσας*] *Τουτέστιν ἄφρονες, διὰ τί οὐ νοεῖτε, ὅτι ὁ πλάσας τὰ ὦτα τοῖς ἀνθρώποις πάσης ἀκοῆς ἀνώτερος ὑπάρχει.*

ἢ ὁ πλάσας] *Ὁ δεδωκώς, φησίν, τοὺς ὀφθαλμοὺς τοῖς ἀνθρώποις τοῦ βλέπειν, ἐνδεὴς ἄρα ὑπάρχει; οὕτως δὲ οἱ λογιζόμενοι τὸν θεὸν λανθάνειν πλανῶνται.*

10. *ὁ παιδεύων ἔθνη*] *Ὁ διδοὺς νοῦν καὶ σύνεσιν παντὶ ἔθνει ⟨πᾶσι τοῖς ἀνθρώποις⟩ καὶ ἐπιστάμενος τὰς ἐνθυμήσεις αὐτῶν, ἐλέγξαι τὰ κρύφια αὐτῶν οὐ δύναται;*

ὁ διδάσκων] *Ὁ δεδωκὼς τῷ ἀνθρώπῳ τὸ συνιέναι, αὐτὸς τὸν νοῦν ἑκάστου οὐκ ἐπίσταται; ὥστε μάτην λανθάνειν σπεύδει ὁ ἁμαρτάνων.*

11. *κύριος γινώσκει*] *Ὅσοι γὰρ οἴονται θεὸν λανθάνειν, ματαίως λογίζονται· τῷ γὰρ θεῷ πάντα φανερά (φαιδρά).*

12. *μακάριος*] *Μακάριοι γὰρ οἱ ὑπὸ θεοῦ παιδευόμενοι καὶ ποιοῦντες τὰς ἐντολὰς αὐτοῦ καὶ πορευόμενοι ἐν τῷ νόμῳ αὐτοῦ.*

13. τοῦ πραῦναι] Τῷ τοιούτῳ γὰρ ὁ θεὸς δίδωσιν ἀνάληψιν μὴ κυριεύεσθαι ὑπὸ τῶν πνευμάτων τῆς πλάνης. νοεῖται δὲ τὸ πᾶν εἰς τὸν Χριστόν.

ἕως οὗ] Ἁμαρτωλὸν λέγει τὸν διάβολον. βόθρος δὲ αὐτῷ φοβερὸς ἐγένετο ὁ τάφος ὁ δεσποτικός· εἰς αὐτὸν γὰρ ἑάλωκεν.

14. ὅτι οὐκ ἀπώσεται] Τὸν πιστὸν λέγει λαὸν τὸν ἐξ ἐθνῶν, ὃν ἐξελέξατο ἑαυτῷ.

καὶ τὴν κληρονομίαν] Κληρονομία γὰρ θεοῦ τὰ ἔθνη, κατὰ τὸν ἀπόστολον· συγκληρονόμα καὶ σύσσωμα γενέσθαι καλῶν τὰ ἔθνη.

15. ἕως οὗ] Ἕως οὗ πάλιν ὁ Χριστὸς ἔλθῃ ἐκ δευτέρου κρῖναι ζῶντας καὶ νεκρούς·[1] δικαιοσύνη γὰρ πρὸς ἀλήθειαν ὁ Χριστός.

καὶ ἐχόμενοι] Οἱ δίκαιοι γὰρ πάντες καὶ θεόφοβοι τότε στήσονται πέριξ τοῦ θρόνου μετὰ τῶν ἀγγέλων, ἐκδεχόμενοι τὸν μισθόν.

Διάψαλμα· ἀνοχὴ τοῦ λόγου ἐπὶ ἑτέραν προφητείαν.

16. τίς ἀναστήσεται] Τίς τῶν πονηρῶν δαιμόνων ἢ ἀνθρώπων τότε ἀντιστήσεται τῷ θεῷ ἢ ἀντοφθαλμῆσαι δυνήσεται ἢ παρρησιάσεται;

ἢ τίς συμπαραστήσεται] Τίς, φησί, μετ' ἐμοῦ ἐπὶ τοῦ σταυροῦ στήσεται ἢ συναντιλήψεταί μοι, ἡνίκα οἱ Ἰουδαῖοι πράττουσι κατ' ἐμοῦ τὴν ἀνομίαν; γέγραπται γάρ· ληνὸν ἐπάτησα μόνος καὶ οὐδεὶς τῶν ἀρχόντων τῶν ἐθνῶν ἦν μετ' ἐμοῦ.

17. εἰ μὴ ὅτι] Εἰ μὴ ὅτι ὁ πατὴρ μόνος ἦν μετ' ἐμοῦ.

παρὰ βραχύ] Ὡς ἐδόκουν οἱ Ἰουδαῖοι, πλὴν παρῴκησε τῷ ᾅδῃ ἡ ψυχή μου, φησὶν ὁ κύριος· παρὰ βραχὺ τουτέστιν παρ' ὀλίγον.

18. εἰ ἔλεγον] Ὁ λόγος περὶ τοῦ Πέτρου, ὅτι σαλευθεὶς ἐδίσταζεν.

τὸ ἔλεός σου] Εἶχε γὰρ τὸν νοῦν ὁ Πέτρος πρὸς τὸν σωτῆρα· εἰ καὶ τῷ στόματι ἠρνεῖτο, ἀλλὰ γοῦν ἡ ψυχὴ τῆς ἐλπίδος οὐκ ἔπιπτεν.

19. κατὰ τὸ πλῆθος] Ἐλογίζετο γὰρ τὴν ἄρνησιν καὶ οὐκ ἔφερε τὴν ὀδύνην ἡ καρδία.

παρακλήσεις] Ὅταν εἶπεν ὁ κύριος τῷ Πέτρῳ· Σίμων Ἰωνᾶ, φιλεῖς με, τότε [γὰρ] παρεκλήθη ὁ Πέτρος.

20. μὴ συνπροσέσται] Τουτέστιν οὐ πρόσεστίν σοι θρόνος ἀνομίας, ἀλλὰ μετανοεῖς ἐπὶ κακίαις ἀνθρώπων, ὡς δίκαιος κριτής, ὡς συμπαθής.

ὁ πλάσσων] Συνεχώρησε (συνεχώρησας) γὰρ τὸν Πέτρον σαλευθῆναι, ἵνα γνῷ τὸν ἐγείραντα, ἵνα συμπαθὴς γένηται πρὸς τὸν ἀλλόφυλον.

---

[1] V. persequitur sic: *νεκροὺς δὲ λέγει, οὓς ἡ ἁμαρτία ἐνέκρωσεν, ζῶντας δὲ οὓς ἡ δικαιοσύνη ἐζωοποίησε καὶ οὐρανίους ἀπειργάσατο.* Et sub finem ante *ὁ Χριστός* haec verba inseruntur: *ἡ δευτέρα παρουσία τοῦ κυρίου ἡμῶν.*

21. θηρεύσουσιν] Οἱ Ἰουδαῖοι τὴν ψυχὴν τοῦ Χριστοῦ.

καὶ αἷμα] Τὸ τοῦ Χριστοῦ αἷμα· ἀθῷος γὰρ ὡς καθαρὸς καὶ ἄμωμος.

22. καὶ ἐγένετο] Ἡ θεότης τοῦ σώματος τοῦ δεσπότου (δεσποτικοῦ).

καὶ ὁ θεός] Πάντα[1] γὰρ ἐκ προσώπου τοῦ ἀνθρώπου ἔπραττεν ὁ Χριστός.

23. καὶ ἀποδώσει] Τῷ ἰουδαϊκῷ λαῷ, ὡς ἀνομήσαντι εἰς θεόν.

καὶ τὴν πονηρίαν] Ἀφανεῖς γὰρ ἐγένοντο οἱ Ἰουδαῖοι ἀπὸ προσώπου τοῦ θεοῦ, καθὰ ἐβουλεύσαντο· ἡ γὰρ βουλὴ αὐτῶν καθ' ἑαυτῶν ἐγένετο.

XCIV.

Αἶνος ᾠδῆς τῷ Δαυίδ.] Τῷ αἴνῳ τὸ μέλος συνέζευξεν. ᾠδὴ γὰρ μέλος νοεῖται. ᾐνίξατο δὲ καὶ τὴν δευτέραν παρουσίαν τοῦ Χριστοῦ.

1. δεῦτε ἀγαλλιασώμεθα] Προτροπὴ τῶν πιστῶν ὑπὸ τοῦ προφήτου.

ἀλαλάξωμεν] Ἐν ψαλμοῖς καὶ ὕμνοις, τουτέστι μετὰ φωνῆς προσέλθωμεν τῷ θεῷ.

2. προφθάσωμεν] Πρὸ τοῦ ἐλθεῖν, φησί, κρῖναι ζῶντας καὶ νεκρούς, ἕκαστος ἀναγγείλῃ τὰ ἑαυτοῦ ἔργα ἐξομολογούμενος.

καὶ ἐν ψαλμοῖς] Τουτέστιν ἀκαταπαύστως ψάλλειν χρὴ τῷ θεῷ.

3. ὅτι θεός] Οὐ γάρ ἐστι θεὸς ἄλλος πλὴν αὐτοῦ καὶ ἡ βασιλεία αὐτοῦ βασιλεία αἰώνιος.

4. ὅτι ἐν τῇ χειρί] Σπιθαμῇ γὰρ τὸν οὐρανὸν καὶ δρακὶ τὴν γῆν ἐμέτρησεν, ὥστε πάντα ἔσω τῆς χειρὸς ἔχει (κατέχει) ὡς θεός.

καὶ τὰ ὕψη] Εἰ πᾶσαν τὴν γῆν ἔσω τῆς χειρὸς ἔχει, πῶς οὐχὶ καὶ τὰ ὄρη; χρὴ δὲ νοεῖν τὰ δόγματα τῶν προφητῶν, ἅ ἐστι νοητὰ ὄρη.

5. ὅτι αὐτοῦ ἐστιν] Καὶ τὴν αἰσθητὴν ὡς μεγάλην, ὅ ἐστιν ὁ βίος ⟨ὁ κόσμος⟩, καὶ τὴν νοητὴν ὡς μείζονα, ὅ ἐστι τὸ βάπτισμα.

καὶ τὴν ξηράν] Τὴν γῆν λέγει ξηράν, καὶ αὕτη γὰρ ἔργον θεοῦ, ὡς μέγα στοιχεῖον. νόει δὲ τὸν ἄνθρωπον ὡς διὰ τὸ πλασθῆναι (ὃν ἰδίαις χερσὶν ἔπλασεν)· γῆ γὰρ νοητὴ ὁ ἄνθρωπος.

6. δεῦτε προσκυνήσωμεν] Δεῦτε, φησί, προσκυνήσωμεν τῷ τὰ τοιαῦτα ποιήσαντι θαυμάσια. λέγει δὲ καὶ περὶ τῆς μετανοίας.

καὶ κλαύσωμεν] Διὰ τί κλαύσωμεν; ὅτι αὐτὸς μὲν καθαρὸν τὸ σκεῦος ἡμῶν ἔπλασεν, ἡμεῖς δὲ ἐρυπώσαμεν αὐτό. χρὴ οὖν πλῦναι αὐτὸ τοῖς δάκρυσι τῆς μετανοίας.

7. ὅτι αὐτός ἐστιν] Ἄλλον γὰρ θεὸν οὐκ οἴδαμεν· αὐτὸς γάρ ἐστιν ὁ μέλλων κρίνειν ἡμᾶς.

---

[1] Ven. praemittit: ὁ πατὴρ τοῦ υἱοῦ.

καὶ ἡμεῖς] Καὶ τὰ γὰρ ἔθνη λαὸς θεοῦ ἐγένετο καὶ πρόβατα τῆς ἀληθινῆς ποίμνης· οὐ γὰρ μόνον, φησίν, οἱ Ἰουδαῖοι ἐδόκουν εἶναι λαὸς θεοῦ.

8. σήμερον] Πρὸς τὸν λαὸν τὸν ἐξ ἐθνῶν ὁ λόγος· ὅταν ἀκούσητε, φησί, τῆς φωνῆς τοῦ εὐαγγελίου, προσέχετε, μὴ ἀπιστήσετε.

μὴ σκληρύνητε] Φησί, μὴ ἐκείνῳ τῷ καιρῷ ἀκολουθήσετε τῷ προτέρῳ, μηδὲ καθὼς οἱ Ἰουδαῖοι ἐποίησαν ἐν τῇ ἐρήμῳ, παραπικραίνοντες τὸν θεόν.

κατὰ τὴν ἡμέραν] Τεσσαράκοντα γὰρ ἔτη ἐν τῇ ἐρήμῳ ἐτεκνοτρόφησεν αὐτούς, διδοὺς αὐτοῖς πάντα τὰ αἰτήματα αὐτῶν, καὶ ἐν πᾶσι τούτοις ἐγόγγυζον κατὰ θεοῦ.

9. οὗ ἐπείρασαν] Ἄλλα καὶ ἄλλα αἰτοῦντες τὸν θεόν, καὶ οὐδὲ οὕτως ηὐχαρίστουν.

ἐδοκίμασαν] Τεσσαράκοντα γὰρ ἔτη ἱμάτιον αὐτῶν οὐκ ἐπαλαιώθη, οὔτε τὰ ὑποδήματα, οὔτε ἡ θρὶξ αὐτῶν ηὐξήθη, ἀλλὰ καὶ τὰ ἱμάτια καὶ τὰ ὑποδήματα συνηυξάνοντο τῷ λαῷ, καὶ ἐπὶ πᾶσι τούτοις ἐγόγγυζον κατὰ τοῦ θεοῦ ἀδιαλείπτως.

10. τεσσαράκοντα] Διό, φησίν, ἐμίσησα αὐτούς, λέγει ὁ κύριος, ὅτι γενεὰ πονηρὰ καὶ διεστραμμένη ἐστίν.

καὶ εἶπα] Μέμφεται αὐτοὺς ὁ θεὸς ὡς ἀκαμπεῖς καὶ σκληροὺς τῇ καρδίᾳ.

καὶ αὐτοί] Τουτέστιν οὐκ ἠθέλησαν ταῖς ὁδοῖς μου πορευθῆναι, ἀλλ' ἐξέκλιναν.

11. ὡς ὤμοσα] Μετ' ὀργῆς ὤμοσεν ὁ θεός, μὴ εἰσελθεῖν Ἰουδαίους, τοὺς μὴ ὁμολογοῦντας Χριστόν, εἰς τὴν κατάπαυσιν τῶν ἁγίων ἐν τῇ ἡμέρᾳ ἐκείνῃ.

XCV.

Ὅτε ὁ οἶκος ᾠκοδομεῖτο . . .] Λέγει μὲν τὴν οἰκοδομίαν τοῦ ναοῦ τοῦ ἐν Ἰερουσαλήμ, μετὰ τὴν ἐπάνοδον τὴν ἐκ Βαβυλῶνος· λέγει (σημαίνει) δὲ τὴν ἐκκλησίαν καὶ τὴν τῶν ἐθνῶν κλῆσιν καὶ Χριστοῦ παρουσίαν καὶ τοῦ νέου ᾄσματος τὴν χάριν τὴν τῶν μυστικῶν.

1. ᾄσατε] Καινὴ κτίσις, κατὰ τὸν ἀπόστολον· τὰ ἀρχαῖα παρῆλθον. ἀνάγκη οὖν τὸ λοιπὸν τὸ καινὸν ᾆσμα ᾄδεσθαι τὸ μυστικόν (μυστήριον).

ᾄσατε τῷ κυρίῳ] Πᾶς ἄνθρωπος· γῆ γὰρ [νοητὴ] ὁ ἄνθρωπος. ᾄσατε, φησί, τὸν τῆς χάριτος ὕμνον.

2. ᾄσατε τῷ κυρίῳ] Ἄσατε καὶ ὑμνήσατε τῷ Χριστῷ ⟨κυρίῳ⟩. ἐνέωσε γὰρ πᾶσαν τὴν κτίσιν, ἐπιφανεὶς ἐν αὐτῇ μετὰ σαρκός.

εὐαγγελίζεσθε] Τοῖς προφήταις τὸ πνεῦμα τὸ ἅγιον λέγει· εὐαγγελίζεσθε, τουτέστιν κηρύξατε τὸν Χριστὸν σωτῆρα τοῦ κόσμου.

3. ἀναγγείλατε] Νῦν περὶ τῶν ἀποστόλων ὁ λόγος· δι' αὐτῶν γὰρ ἐφωτίσθη τὰ ἔθνη.

ἐν πᾶσι] Διδάξατε, φησί, πάντας τοὺς λαοὺς τὰ μυστικά· πῶς τὸ σῶμα τοῦ Χριστοῦ ὡς ἄρτος ἔσθίεται καὶ τὸ αἷμα αὐτοῦ ὡς οἶνος πίνεται.

4. ὅτι μέγας] Ὅτι πολλὴ ἡ μεγαλοσύνη αὐτοῦ καὶ ἡ αἴνεσις αὐτοῦ, ὅτι ἑαυτὸν τροφὴν ἔδωκε τοῖς ἀνθρώποις.

φοβερός] Λέγει μὲν καὶ τοὺς ὀνομαζομένους θεούς (θεοὺς τοὺς καλῶς ἀγωνισαμένους), εἰσὶ δὲ καὶ οἱ ἄρχοντες (λέγει δὲ καὶ τοὺς ἄρχοντας) τῆς γῆς· ἐπὶ πάντας δὲ φοβερός ἐστιν ὁ θεός.

5. ὅτι πάντες] Καὶ οἱ ἄρχοντες αὐτῶν καὶ τὰ εἴδωλα αὐτῶν δαιμόνια ἅμφω ἅμα ὑπάρχουσιν.

ὁ δὲ κύριος] Θεῷ γὰρ πρέπων ὁ οὐρανὸς καὶ ἡ γῆ· οὐρανοὺς δὲ νόει τοὺς ἁγίους, μάλιστα τοὺς ἀποστόλους, οὓς αὐτὸς ἐξελέξατο.

6. ἐξομολόγησις] Οἱ γὰρ ἐν ὅλῃ καρδίᾳ ἐξομολογούμενοι τῷ θεῷ, οὗτοι ὡραῖοι τῷ θεῷ τυγχάνουσιν· εἰσὶ δὲ πάντες οἱ ἅγιοι, οἵτινες ὡραιώθησαν τῷ θεῷ.

ἁγιωσύνη] Ἐν τῇ σαρκὶ τῇ δεσποτικῇ· ἁγίασμα γὰρ αὕτη τῷ θεῷ ὡς ἀναμάρτητος, μεγαλοπρεπὴς δὲ ὡς ὑπερέχουσα τὴν ἀνθρωπίνην φύσιν.

7. ἐνέγκατε] Πᾶν γένος τῶν ἐθνῶν ἐνέγκατε, τουτέστι ἔλθετε καὶ προσαγάγετε ἑαυτοὺς τῷ θεῷ· ἐπὶ γῆς γὰρ παρεγένετο ὁ λυτρούμενος ὑμᾶς.

ἐνέγκατε] Δοξάσατε τὸν ἐπιστρέψαντα ἡμᾶς, φησὶ τοῖς ἔθνεσι.

8. ἐνέγκατε] Δοξάσατε τὸ ὄνομα, ᾧ ἐσφραγίσθητε.

ἄρατε θυσίας] Τὰς ἀπαρχὰς καὶ τὰς προσφοράς, λέγει, τὰς αἰσθητὰς καὶ τὰς νοητὰς ἑορτάζοντες, πορεύεσθε εἰς τὰς ἐκκλησίας· αὗται γὰρ αὐλαὶ θεοῦ πρὸς ἀλήθειαν.

9. προσκυνήσατε] Ἐν τῇ ἐκκλησίᾳ· ἐν αὐτῇ γὰρ προσκυνεῖται ὁ θεός.

σαλευθήτω] Μεταβαλλέσθω ἡ γηΐνη πολιτεία εἰς οὐράνιον φρόνημα.

10. εἴπατε] Κηρύξατε, φησίν, τοῖς ἔθνεσιν, ὅτι ἤγγικεν ἡ βασιλεία τοῦ θεοῦ· μετανοεῖτε, φησί, καὶ σπεύδετε.

καὶ γὰρ κατώρθωσεν] Ἐστήριξεν γὰρ αὐτὴν ἐκ τοῦ σάλου τῶν δαιμόνων διὰ τοῦ σταυροῦ.

κρινεῖ] Ὡς θεὸς ἀπροσωπόληπτος ἐν ἀληθείᾳ καὶ εὐθύτητι κρίνειν μέλλει πάντα τὰ ἔθνη.

11. εὐφραινέσθωσαν] Καὶ οἱ αἰσθητοὶ μὲν οὗτοι οἱ ὁρώμενοι ⟨καὶ νοητοί⟩, ἀλλ' ὅμως αἱ δυνάμεις τῶν οὐρανῶν, ὅτι εἶδον τὸν ἄνθρωπον [ἡνωμένον τῷ θεῷ].

καὶ ἀγαλλιάσθω] Καὶ αὕτη μὲν ἡ γῆ, ὅτι κατηξιώθη τῶν δεσποτικῶν ἰχνῶν. πλὴν νόει τὸν ἄνθρωπον, ὅτι κατηξιώθη οἶκος γενέσθαι θεοῦ ⟨γῆ γὰρ κατηξιώθη οἶκος γενέσθαι θεοῦ⟩.

σαλευθήτω] Τὴν θάλασσαν λέγει τοῦ βίου σαλευθῆναι, τουτέστιν μετατεθῆναι ἀπὸ τῆς φθορᾶς εἰς τὴν ἀφθαρσίαν. πλήρωμα δὲ λέγει, ὅτι δεῖ πάντας πιστεῦσαι τῷ Χριστῷ.

12. χαρήσεται] Αἱ ἐκκλησίαι· αὗται γὰρ πεδία, ὡς πάσης τραχύτητος ἐκτὸς οὖσαι καὶ ὡς ἔχουσαι αὗται τὴν συγκατάβασιν τοῦ Χριστοῦ.

τότε ἀγαλλιάσονται] Τὰ σώματα τῶν ἁγίων λέγει τὰ ἐν τοῖς μνημείοις· ὡς ἐν δρυμῷ γὰρ ἐν τῷ ἅλσει τοῦ θανάτου κατέχονται (κατέσχοντο).

13. πρὸ προσώπου] Τότε ἐν τῇ ἐπιφανείᾳ αὐτοῦ· οὕτως γὰρ ἐδήλουν οἱ προφῆται ὅτι ἔρχεται. οὐ μόνον γὰρ ἐπὶ τῆς γῆς ἦλθεν, ἀλλὰ καὶ ἐν τῷ ᾅδῃ κατῆλθεν καὶ τοὺς ἐν αὐτῷ κατεχομένους ἠλευθέρωσε.

ὅτι ἔρχεται] Τοῦτο πάλιν ἐν τῇ δευτέρᾳ παρουσίᾳ.[1]

κρινεῖ] Ὁ θεὸς γὰρ κριτὴς δίκαιος· οὔτε γὰρ κατ' ὄψιν, ἀλλ' ἐν δικαιοσύνῃ· δίδωσι γὰρ τότε τοῖς πιστοῖς τὴν ἀγαθὴν μισθαποδοσίαν καὶ τοῖς ἀσεβέσι καὶ ἁμαρτωλοῖς κατὰ τὴν πρᾶξιν αὐτῶν.

καὶ λαούς] Τοὺς λαοὺς τότε παντὸς ἔθνους, ὅσοι παραστήσονται τῇ κρίσει, ἀποδιδοὺς τότε ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ.

XCVI.

Τῷ Δαυίδ, ὅτε ἡ γῆ αὐτοῦ καθίσταται] Ἡ προφητεία σημαίνει τὴν παρθένον τὴν θεοτόκον· καὶ αὐτὴ γὰρ ἐκ τῆς γῆς καὶ ἐκ τοῦ Δαυίδ. καθίστατο δέ, ὅταν ἐξελέχθη εἰς διακονίαν τοῦ μυστηρίου. δηλώσει δέ σοι ἕκαστα ὁ ψαλμός.

1. ὁ κύριος] Καὶ αὕτη μὲν ἡ αἰσθητὴ γῆ ἀγαλλιάσθω, ὅτι θεοῦ ποσὶν ἡγιάσθη, πλὴν ἀγαλλιάσθω ὁ ἄνθρωπος [γῆ γὰρ ὁ ἄνθρωπος], ὅτι ἐλθὼν ὁ κύριος ἔσωσεν αὐτόν.

εὐφρανθήτωσαν] Λέγει τὰς ἐκκλησίας· ὡς γὰρ αἱ νῆσοι ἐν τῇ θαλάσσῃ ἀκίνητοι τυγχάνουσι, οὕτως αἱ ἐκκλησίαι ἐν τῇ βιωτικῇ θαλάσσῃ ἀκίνητοι τυγχάνουσι.

2. νεφέλη] Τὸ σῶμα τὸ δεσποτικὸν λέγει νεφέλην, γνόφον δὲ τὸ δυσκατάληπτον τοῦ μυστηρίου· ἐν γὰρ γνόφῳ οὐ δύναταί τις ὁρᾶν.

δικαιοσύνη] Τῆς σαρκὸς τῆς δεσποτικῆς λέγει, ἥτις κατωρθώθη, δικαιωθεῖσα ὑπὸ τοῦ θεοῦ.

3. πῦρ ἐναντίον] Τὸ μυστήριον τῆς θεότητος· ὁ θεὸς γὰρ ἡμῶν πῦρ καταναλίσκον ἐστί, φησὶν ἡ γραφή.

καὶ φλογιεῖ] Πάντας γὰρ τοὺς ἀντικειμένους τῇ παρουσίᾳ τοῦ Χριστοῦ πῦρ κατανάλωσε, τουτέστιν τῇ ὑπερβολῇ τοῦ μυστηρίου ἐξηπορήθησαν καὶ οὐκ ἔστησαν.

4. ἔφαναν] Οἱ ἀπόστολοι ἀστράψαντες τὸ κήρυγμα τοῦ εὐαγγελίου· ἐν αὐτῷ γὰρ ἐφωτίσθησαν τὰ πάντα.

εἶδεν] Ἡ γηΐνη πολιτεία, θεωρή-

[1] V.: Ὅταν μέλλῃ κρῖναι πάντα καὶ ἐπίγεια καὶ καταχθόνια, τότε οἱ δίκαιοι στεφανοῦνται καὶ οἱ ἁμαρτωλοὶ ἀποπέμπονται εἰς κόλασιν αἰώνιον.

σασα τὰ μυστήρια τοῦ Χριστοῦ, ἐσαλεύθη τουτέστιν μετεβλήθη.

5. τὰ ὄρη] Ποῖα ὄρη; ὁ διάβολος καὶ οἱ δαίμονες καὶ οἱ ὑψηλοὶ καὶ οἱ ὑπερήφανοι τῷ φόβῳ τῆς παρουσίας τοῦ Χριστοῦ ἠφανίσθησαν.

ἀπὸ προσώπου] Ἔγνωσαν γάρ, ὅτι πάσης τῆς γῆς κύριός ἐστιν ὁ φανεὶς καὶ τόπον ἐπὶ γῆς οὐκ ἔχουσιν.

6. ἀνήγγειλαν] Καὶ οἱ οὐρανοὶ οἱ αἰσθητοὶ ἐκ τοῦ ἔργου δεικνύουσι τὸν κτίστην· πλὴν οἱ ἀπόστολοι τὴν δικαιοσύνην ἀνήγγειλαν πᾶσι τοῖς ἔθνεσιν.

καὶ εἶδοσαν] Διὰ τοῦ κηρύγματος τῶν ἀποστόλων.

7. αἰσχυνθήτωσαν] Πάντες γὰρ οἱ προσκυνοῦντες τοῖς γλυπτοῖς εἰδώλοις, ἰδόντες τὴν χάριν τοῦ θεοῦ, ἐσβέσθησαν.

οἱ ἐγκαυχώμενοι] Οἵτινες ἔλεγον· οὗτοι οἱ θεοὶ ἡμῶν. καὶ αὐτοὶ οὐκ ἦσαν θεοί, ἀλλ' εἴδωλα κωφά.

προσκυνήσατε] Πάντες γὰρ οἱ πιστεύσαντες τῇ ἐπιφανείᾳ αὐτοῦ ἄγγελοι ἐκλήθησαν· οὗτοι γὰρ προσεκύνησαν ἐν ἀληθείᾳ.

8. ἤκουσεν] Ἡ ἐκκλησία. Σιὼν γὰρ σκοπεύτρια ἑρμηνεύεται· ἡ ἐκκλησία γὰρ σκοπεύει τὰ ἐν ἡμῖν πάντα, ὡς πάντων μήτηρ.

καὶ ἠγαλλιάσαντο] Αἱ ἐκκλησίαι, ὡς ἐκ τῆς ἐξομολογήσεως συνιστάμεναι· Ἰουδαῖα γὰρ ἐξομολόγησις ἑρμηνεύεται.

ἕνεκεν] Ἀκούσασαι γὰρ αἱ ἐκκλησίαι, ὅτι ἀληθινὰ τὰ κρίματα τοῦ θεοῦ, ἠγαλλιάσαντο [κρίματα δὲ θεοῦ νόμος καὶ ἐντολαί].

9. ὅτι σὺ εἶ] Πάσης γὰρ τῆς γῆς ὁ κύριος αὐτός ἐστιν, ὡς κτίσας αὐτὴν καὶ ἐπάνω αὐτῆς ὤν.

σφόδρα] Τοὺς λεγομένους θεούς, μὴ ὄντας δὲ θεούς· αὐτὸς γὰρ πάντων κύριος ὡς θεὸς ἀληθινός.

10. οἱ ἀγαπῶντες] Οἱ πιστεύσαντες (πιστεύοντες) τῇ παρουσίᾳ τοῦ Χριστοῦ, μισεῖτε τὰ εἴδωλα ὡς πονηρά.

φυλάσσει] Τῶν ἀποστόλων καὶ πάντων τῶν πιστῶν· πολλοὶ[1] γὰρ τῶν ἀπίστων ἐπέβαλον ἐπ' αὐτοὺς τὰς χεῖρας.

ἐκ χειρός] Τοὺς ἀποστόλους καὶ πάντας τοὺς πιστεύσαντας δι' αὐτῶν ἐρρύσατο ὁ κύριος ἐκ χειρὸς τοῦ διαβόλου· ἁμαρτωλὸς γὰρ πρὸς ἀλήθειαν ὁ διάβολος.

11. φῶς ἀνέτειλεν] Τῷ Χριστῷ, ὡς τὸ φῶς περιβεβλημένῳ, καὶ τοῖς ἀποστόλοις καὶ πᾶσι τοῖς δικαίοις ὁ Χριστὸς ἡ πρὸς ἀλήθειαν εὐφροσύνη τῶν πιστῶν.

12. εὐφράνθητε] Τότε, ὅταν ἀποδιδῷ ἑκάστῳ τὸν μισθόν, ὅτε οἱ δίκαιοι εὐφραίνονται τῇ χαρᾷ.

καὶ ἐξομολογεῖσθε] Τότε γὰρ μακάριος ὁ ἄνθρωπος, ὅταν διὰ παντὸς ἔχῃ τὴν μνήμην τοῦ θεοῦ ἐν αὐτῷ. καὶ ἐξομολογεῖσθε ἐν ἑαυτῷ τῷ θεῷ.

---

[1] V. persequitur sic: πολλοὶ γὰρ τῶν ἀπίστων ἡ δυναστεία καὶ, εἰ μὴ ἐφυλάσσοντο ὑπὸ κυρίου οἱ πιστοί, ἄρδην πάντας ἐξωλόθρευον.

XCVII.

Ψαλμὸς τῷ Δαυίδ] *Τῷ Χριστῷ ὁ ψαλμὸς ἀνετέθη· ἔστι δὲ καὶ προτροπὴ τοῖς πιστοῖς.*

1. *ᾄσατε*] *Λέγει τὸ τῆς χάριτος ᾆσμα, ὃ ἐπὶ τῶν μυστικῶν ᾄδουσιν οἱ πιστοί [καθ' ἑκάστην].*

ὅτι θαυμαστά] *Ποῖα ταῦτα; γεννηθεὶς ἐκ παρθένου, ἐπιφανεὶς τῇ γῇ ὡς ἄνθρωπος, σταυρωθεὶς ἐπὶ ξύλῳ, ἀναστὰς ἐκ νεκρῶν καὶ ἀνελθὼν εἰς οὐρανούς.*

ἔσωσεν] *Κεντήσας τῷ σταυρῷ τὸν διάβολον καὶ τὸν ᾅδην συντρίψας καὶ σώσας τὸν ἄνθρωπον.*

2. *ἐγνώρισεν*] *Πᾶσι φανερώσας τὸν σταυρὸν καὶ τὴν χάριν τῶν εὐαγγελίων.*

ἀπεκάλυψεν] *Σώσας τὰ ἔθνη ἐκ τῆς εἰδωλικῆς μανίας καὶ φωτίσας αὐτὰ τῇ χάριτι.*

3. *ἐμνήσθη*] *Καὶ ἐξ Ἰουδαίων γάρ [τινες] ἐπίστευσαν, καὶ ἐδέξατο ὁ Χριστὸς καὶ οὐκ ἀπεβάλετο αὐτούς.*

καὶ τῆς ἀληθείας] *Τὴν γὰρ ἀλήθειαν τῇ ἐκκλησίᾳ ἐφύλαξεν· οἶκος γὰρ τοῦ Χριστοῦ ἡ ἐκκλησία. Ἰσραὴλ γὰρ εἶδος θεοῦ ἑρμηνεύεται, ὅ ἐστιν ὁ Χριστός.*

εἶδοσαν] *Εἰς τὰ πέρατα γὰρ τῆς γῆς ἐγνώσθη τὸ σημεῖον τοῦ σταυροῦ, ὅ ἐστι τὸ σωτήριον.*

4. *ἀλαλάξατε*] *Ἀφ' οὗ γὰρ ἐφάνη ὁ σταυρός, οὐκέτι παύουσιν οἱ πιστοὶ καὶ ἐν ψαλμοῖς καὶ ὕμνοις ἀλαλάζοντες τῷ θεῷ (κυρίῳ).*

ᾄσατε] *Σφόδρα ᾄσατε, φησί, μετὰ ἀγαλλιάσεως ψάλλοντες καὶ εὐφροσύνης.*

5. *ψάλατε*] *Μετὰ ψυχῆς τουτέστι· κιθάρα γὰρ ἡ ψυχή, πλῆκτρον δὲ ἡ γλῶσσα. δίχα γὰρ αὐτῆς ἡ ψυχὴ λαλεῖν οὐ δύναται.*

ἐν κιθάρᾳ] *Μετὰ ψυχῆς καὶ (τουτέστι μετὰ) φωνῆς μεγάλης ὑμνεῖν δεῖ τὸν θεόν, ὅτι θαυμαστὰ ἐποίησε τῷ γένει τῶν ἀνθρώπων.*

6. *ἐν σάλπιγξιν*] *Ὥσπερ τότε, φησίν, οἱ Ἰσραηλῖται ταῖς σάλπιγξιν ἠχοῦσαν· ἐλαταῖς δὲ λέγει ταῖς χαλκαῖς καὶ ταῖς κερατίναις· οὕτως ὁ πιστὸς λαὸς ἠχήσατο ταῖς σάλπιγξι ταῖς νοηταῖς, ταῖς εὐαγγελικαῖς φωναῖς· ἰσχυραὶ γὰρ ὡς χαλκός, κερατίναις δὲ τῷ σταυρῷ· κέρας γὰρ ὁ σταυρὸς ὡς ἀρχὴ πάντων.*

ἀλαλάξατε] *Τουτέστιν ἀπαύστως [ἐν ναῷ τοῦ κυρίου ὑμνεῖν χρὴ τοὺς πιστούς].*

7. *σαλευθήτω*] *Τὸ βάπτισμα καὶ ἡ χάρις, ἡ ἐν αὐτῷ. θάλασσα γάρ, ὡς πολὺ [καὶ] κατὰ πᾶσαν τὴν οἰκουμένην κυματουμένη τῷ πνεύματι τῷ ἁγίῳ.*

ἡ οἰκουμένη] *Πᾶσα γὰρ ἡ γῆ καὶ οἱ ἄνθρωποι αὐτῆς θορυβοῦνται τῇ ὥρᾳ τοῦ βαπτίσματος, τίς πρῶτον ἁρπάσει τὴν χάριν.*

8. *ποταμοί*] *Κροτοῦντες τὸ θαῦμα τὸ ἐν Ἰορδάνῃ πραττόμενον, εἰς ἑαυτὸν ἕκαστος τῶν ποταμῶν τὴν*

χάριν ἐλογίζετο. νόει δὲ καὶ τῆς μετανοίας τὰ δάκρυα δίκην ποταμῶν φερόμενα.

τὰ ὄρη] Οἱ προφῆται· ὄρη γὰρ ἐν τῇ γραφῇ λέγονται, ὡς μεγάλα δογματίσαντες καὶ ὡς τῶν δογμάτων φανέντων ὄρη.

9. ὅτι ἥκει] Ἦλθε γὰρ καὶ ἔκρινε τὴν γῆϊνην πολιτείαν, μεταβαλὼν αὐτὴν εἰς [τὴν] χάριν.

κρινεῖ] Νομοθετήσας αὐτὴν τῇ (ἐν) δικαιοσύνῃ.

καὶ λαούς] Τοὺς λαοὺς τοὺς ἐν τῇ οἰκουμένῃ εὐθύνας τῷ εὐαγγελίῳ.

XCVIII.

Ψαλμὸς τῷ Δαυίδ] Καὶ οὗτος ὁ ψαλμὸς φανεροῖ τὴν βασιλείαν τοῦ Χριστοῦ καὶ τὴν κλῆσιν τῶν πιστῶν καὶ εἰσαγωγήν.

1. κύριος ἐβασίλευσεν] Πρὸ τῶν αἰώνων μὲν ⟨γὰρ⟩ ἐβασίλευεν (ἐβασίλευσεν), ἐβασίλευσεν (ἐβασίλευε) δὲ μετὰ σαρκὸς ὁ Χριστός. ὠργίσθησαν δὲ [οἱ] Ἰουδαῖοι καὶ Ἕλληνες.

ὁ καθήμενος] Ὁ προφήτης, [φησί], παρακαλεῖ τὸν θεόν· σαλευθήτω ἡ γῆϊνη πολιτεία τῷ φόβῳ καὶ ἐρχέσθω εἰς ἐπίγνωσιν.

2. κύριος ἐν Σιών] Ἐν γὰρ τῷ ὄρει τῇ Σιὼν ἔπραξε τὰ μυστήρια κἀκεῖθεν συνετρίβησαν οἱ λεγόμενοι θεοὶ καὶ ἐξηπορήθησαν.

3. ἐξομολογησάσθωσαν] Πάντες οἱ ἀπὸ τῶν εἰδώλων ἐπιστρέψαντες ἐξομολογήσεως ἔχρῃζον, λαμβάνοντες ἐφ' ἑαυτοὺς τὸ ὄνομα τοῦ Χριστοῦ.

ὅτι φοβερόν] Ὡς θεοῦ καὶ ποιητοῦ (φοβεροῦ) τὸ ὄνομα αὐτοῦ φοβερόν.

4. καὶ τιμή] Οἱ γὰρ ἀληθινοὶ βασιλεῖς δίχα κρίματος οὐδὲν ποιοῦσιν· τὸ γὰρ μετὰ κρίσεως γινόμενον δικαιοσύνης πλῆρες.

σὺ ἡτοίμασας] Ὡς θεὸς προητοίμασε τοῖς βασιλεῦσιν εὐθύτητα (εὐθύτητας) καὶ ἀλήθειαν (δικαιοσύνην) πᾶσι ἀνθρώποις.

κρίσιν] Κρίσις γὰρ καὶ δικαιοσύνη καὶ ἀλήθεια ὁ Χριστός (ἐστιν)· Ἰακὼβ γάρ, φησίν, ὁ παῖς μου, ὃν ἐξελεξάμην.

5. ὑψοῦτε] Ὑμνοῦντες ἀπαύστως.

καὶ προσκυνεῖτε] Καὶ ἐπὶ γῆς γὰρ χρὴ προσκυνεῖν τῷ θεῷ (Χριστῷ) καὶ ἐκδέχεσθαι τὴν αὐτοῦ παρουσίαν.

6. ὅτι ἅγιόν ἐστιν] [Ἅγιος μόνος ὁ φύσει ἁγιάζων καὶ οὐχ ἁγιαζόμενος κατὰ μέθεξιν καὶ ὁ ἁγιαζόμενος λέγεται ἅγιος].[1]

Μωυσῆς] Οὗτοι γὰρ τότε τὸν λαὸν τῶν Ἑβραίων ἐποδήγουν κελεύσει (τοῦ) θεοῦ.[2]

---

[1] Haec in slav. versione absunt, neque in Ven. A. leguntur.

[2] V. Baroc. add. οὕτως ὀφείλει τοὺς καταξιωθέντας ἱερουργεῖν μιμεῖσθαι, τὸν μὲν Μωυσῆν οἱ ἄρχοντες, τὸν δὲ Ἀαρὼν (οἱ) ἱερεῖς.

καὶ Σαμουήλ] Καὶ αὐτὸς γὰρ ἐν τοῖς προφήταις κατηριθμήθη.

ἐπεκαλοῦντο] Ἡνίκα γὰρ ὠρθοπόδουν πρὸς αὐτόν, ἠκούοντο [προσευχόμενοι] ὁ λαὸς τῶν Ἑβραίων.[1]

7. ἐν στύλῳ] Τοσαύτην τιμὴν περιεποιήσατο αὐτοῖς ὁ θεός, ὥστε συνομιλεῖν αὐτοῖς οὐκ ἀπηξίου.[2]

ἐφύλασσον] Πρὸ τοῦ γὰρ μεταβληθῆναι ἐφύλαττον τὸν νόμον.

8. κύριε] Ἐν οὐδενὶ γάρ ποτε (τότε) παρηκούσθησαν, αὐτοὶ δὲ ἔμειναν ἀνήκοοι.

ὁ θεὸς εὐίλατος] Πολλάκις γὰρ πταίοντων αὐτῶν ὁ θεὸς συνεχώρει αὐτοῖς· αὐτοὶ δὲ οὐδὲν ἧττον προσετίθεντο τῇ ἁμαρτίᾳ.

καὶ ἐκδικῶν] Πολλάκις [γὰρ] ἐπαιδεύοντο ἐπιτηδεύοντες τὰ ἄτοπα.

9. ὑψοῦτε] Τῷ πιστῷ λαῷ ἀεὶ ἐντέλλεται μεγαλύνειν τὸν θεὸν καὶ προσκυνεῖν ἐν τῷ ὄρει Σιών. ἐν αὐτῷ γὰρ ἐπράχθη τὸ μυστήριον.

ὅτι ἅγιος] Ἅγιος ὡς ἐν ἁγίοις οἰκῶν.

XCIX.

Ψαλμὸς εἰς ἐξομολόγησιν] Ὁ ψαλμὸς πάντας προτρέπεται εἰς ἐξομολόγησιν καὶ μετάνοιαν.

1. ἀλαλάξατε] Πάντες, φησίν, οἱ ἄνθρωποι κράξατε τῷ θεῷ (κυρίῳ) ἐν προσευχαῖς.

2. δουλεύσατε] Τουτέστιν δουλεύσατε ἐν [ἁπλότητι καὶ] ἱλαρότητι καὶ ἁπαλῇ καρδίᾳ καὶ μὴ ὡς ἐξ ἀνάγκης.

εἰσέλθατε] Ἐν χαρᾷ μεγάλῃ καὶ ἀγαλλιάσει σπεύδετε ἐν ταῖς ἐκκλησίαις.

3. γνῶτε] Ὁ φανεὶς ἐπὶ γῆς αὐτός ἐστιν ὁ πρὸ αἰώνων θεός (ὁ θεὸς ἡμῶν ὁ πρὸ αἰώνων).

αὐτὸς ἐποίησεν] Αὐτὸς γὰρ ἡμᾶς ἐν (τῇ) πίστει κατῴκισεν· οὐ γὰρ ἡμεῖς ἀφ' ἑαυτῶν ἤλθομεν εἰς τὴν ἀλήθειαν (ἐπίγνωσιν).

ἡμεῖς λαὸς αὐτοῦ] Θελήσαντος γὰρ αὐτοῦ ἐγενήθημεν λαὸς πιστὸς καὶ ποίμνη ἁγία.

---

[1] V. Baroc.: Ἴδετε οὖν πάντες οἱ ἄνθρωποι τὸ πόσας δωρεὰς ἐδωρήσατο (ὁ) κύριος τοῖς ἀγαπῶσιν αὐτὸν διὰ Μωυσέως, πῶς ἡ θάλασσα ἐσχίσθη, πῶς τὸ ὕδωρ ἐγλυκάνθη, πῶς ἡ πέτρα ὕδωρ ἐξήγαγε, πῶς Ἰησοῦς ὁ τοῦ Ναυὴ διὰ προσευχῆς τὰ Ἰεριχουντιαῖα τείχη συνέτριψε, πῶς ὁ Ἠλιοὺ διὰ προσευχῆς τρεῖς ἐνιαυτοὺς τὴν γῆν (τὴν) εὔκαρπον ἄκαρπον πεποίηκεν. οὕτως καὶ πᾶς ὁ φοβούμενος τὸν κύριον πάντα ποιήσει, καθὼς ὁ κύριος εἶπεν· ὁ πιστεύων εἰς ἐμέ, ἃ ἐγὼ ποιῶ, κἀκεῖνος ποιήσει. καὶ ἐὰν ἔχητε πίστιν ὡς κόκκον σινάπεως καὶ τὰ ἑξῆς. οἱ γὰρ Ἰουδαῖοι, ἡνίκα ὠρθοπόδουν πρὸς αὐτόν, ἠκούοντο προσευχόμενοι. ὁμοίως καὶ οἱ πιστοί, εἰ μὲν ἐν τῷ θελήματι κυρίου πορεύονται καὶ τὰ ἀρεστὰ αὐτοῦ ποιοῦσι, οὐ μὴ παρακούσῃ αὐτῶν βοώντων, ἀλλ' ἑτοίμως τὰ πάντα λάβωσιν.

[2] V. Baroc.: Ὅταν ἐν τῇ ἐρήμῳ περιεπάτουσαν διὰ τῆς ἡμέρας ἤγουν σκέπην εἶχον τὴν νεφέλην· ἴδετε ποσαύτης τιμῆς ἠξιώθησαν οἱ ἀγνώμονες Ἰουδαῖοι, ὥστε καὶ συνομιλεῖν αὐτοῖς οὐκ ἀπηξίου. προετύπου δὲ ἡ νεφέλη τὸ πνεῦμα τὸ ἅγιον, διὸ καὶ σκέπη τῶν πιστῶν ἐγίνετο.

4. εἰσέλθατε] Τουτέστιν εἰσερχόμενοι εἰς τὴν γνῶσιν (ἐν τῇ γνώσει)· πύλαι γὰρ γνῶσις θεοῦ εἰσιν· μετ' ἐξομολογήσεως εἰσέρχεσθε (ἔρχεσθε).

τὰς αὐλάς] Ἐν γὰρ ταῖς ἐκκλησίαις ὑμνεῖν ἀεὶ προσήκει καὶ ψάλλειν· οὕτω γὰρ εὐαρεστεῖται ὁ θεός.

ἐξομολογεῖσθε] Ἐξομολογούμενοι [αἰνεῖτε καὶ πιστεύετε τῆς τριάδος].[1]

5. ὅτι χρηστὸς κύριος] Χρηστεύεται καὶ ἐλεεῖ ὡς θεὸς συμπαθὴς ἀπὸ τοῦ αἰῶνος.

καὶ ἕως γενεᾶς] Εἰς τὸν αἰῶνα γὰρ ἕστηκεν ἡ ἀλήθεια [αὐτοῦ] καὶ οὐ πίπτει, ὅτι ὁ θεὸς ἀλήθειά ἐστιν (ἀληθής ἐστιν).

C.

Τῷ Δαυὶδ ψαλμός] Τῷ Χριστῷ, [φησίν], ὁ ψαλμὸς ἀνάκειται· προτροπὴ τῶν εἰς θεὸν ἀγωνιζομένων.

1. ἔλεος] Ὁ κατὰ θεὸν πιστὸς ἄνθρωπος τὸ ἔλεος τοῦ θεοῦ καὶ τὴν ἀλήθειαν ἀεὶ ἔχει ἐν (τῇ) καρδίᾳ.

2. ψαλῶ] Ὁ πιστὸς ἄνθρωπος ἀεὶ τῇ ψαλμῳδίᾳ καὶ τῇ προσευχῇ συνιὼν καθαρίζει τὴν ἑαυτοῦ ὁδὸν ἀπὸ παντὸς μώμου, ἐκδεχόμενος τὸν κύριον αὐτοῦ, πότε ἥξει, καθὼς γέγραπται.

διεπορευόμην] Τουτέστιν οὐδέποτε κακίαν ἐλογισάμην περὶ τοῦ θεοῦ μου ἐν τῷ σκηνώματί μου· οἶκος γὰρ τοῦ ἀνθρώπου τὸ ἴδιον σῶμα. ἔστι δὲ καὶ ἡ καρδία οἶκος τῶν λογισμῶν.

3. οὐ προεθέμην] Ὁ τέλειος ἄνθρωπος ἐξορίζει ἀπὸ τῆς διανοίας αὐτοῦ ἀεὶ ἅπασαν παρανομίαν καὶ οὐ παραδέχεται πᾶσαν κακίαν, ἀλλὰ καθαρεύει ἡ καρδία ⟨τῇ καρδίᾳ⟩.

ποιοῦντας] Ὁ Χριστός· ἐμίσησε γὰρ Ἰουδαίους ὡς παραβάτας τοῦ νόμου καὶ πάντας δὲ τοὺς παραβαίνοντας τὸν θεόν.

οὐκ ἐκολλήθη] Τὸν Χριστὸν λέγει· αὐτοῦ γὰρ ἡ καρδία ἀψευδὴς πρὸς ἀλήθειαν.

4. ἐκκλίναντος] Τοῦ γὰρ ἀγαθοῦ καὶ ὀρθοῦ ἀνθρώπου ἀεὶ φεύγει ἀπ' αὐτοῦ ὁ διάβολος, μὴ εὑρίσκων τόπον ἐν αὐτῷ.

5. τὸν καταλαλοῦντα] Τὸν Ἰούδαν κατὰ τοῦ κυρίου (Χριστοῦ) συμβουλεύοντα τῆς μαθητείας (μαθησίας) ἐξέβαλεν.

ὑπερηφάνῳ] Ἰούδας, ὡς ὑπερηφανίαν νοσήσας καὶ φιλαργυρίαν ἀγαπήσας, οὐκ ἠξιώθη τῆς τοῦ θεοῦ συνδιαγωγῆς.

6. οἱ ὀφθαλμοί] Καὶ γὰρ οἱ ὀφθαλμοὶ τοῦ θεοῦ ἐπὶ τοὺς ἁγίους ἀκαταπαύστως ὁρῶσιν· οὗτοι γάρ εἰσιν οἰκήτορες τῆς γῆς τῆς ἀληθινῆς.

---

[1] V. Bar. ἐξομολογούμενοι ἑνώσει πιστεύετε εἰς τριάδα.

τοῦ συγκαθῆσθαι] *Καθήσεσθε, φησὶ τοῖς ἀποστόλοις, ἐπὶ ιβ' θρόνους μετ' ἐμοῦ, κρίνοντες τὸν κόσμον.*

πορευόμενος] *Οἱ γὰρ ἀμώμως καὶ ἀπροσκόπως δουλεύοντες, οὗτοί εἰσιν οἱ ἀληθινοὶ λειτουργοὶ τοῦ θεοῦ.*

7. *οὐ κατῴκει*] *Οἰκία τοῦ θεοῦ ἡ γνῶσις θεοῦ, οἱ δὲ ὑπερήφανοι τῆς γνώσεως τοῦ θεοῦ μακράν εἰσιν.*

λαλῶν ἄδικα] *Ἰουδαίων παῖδες καὶ ἄρχοντες οἱ λαλοῦντες κατὰ τοῦ θεοῦ ἀδικίαν, οὗτοι οὐ κατευθύνθησαν ἐνώπιον τοῦ θεοῦ, ἀλλὰ καὶ πάντες οἱ ἄδικοι ὁμοίως.*

8. *εἰς τὰς πρωΐας*] *Ὄρθρου γὰρ ἀναστὰς ὁ κύριος πάντας τοὺς δαίμονας ἐξωλέθρευσεν·*[1] *ἁμαρτωλοὶ γὰρ πρὸς ἀλήθειαν οὗτοι.*

τοῦ ἐξολεθρεῦσαι] *Τῆς πόλεως ἐκείνης τῆς νοητῆς παντελῶς ἀπέτυχον οἱ δαίμονες.*

CI.

Προσευχὴ — τὴν δέησιν αὐτοῦ] *Ὁ λόγος περὶ τοῦ Χριστοῦ λαλεῖ (δηλοῖ), ἐπειδὴ ἐκ προσώπου τοῦ Ἀδὰμ πάντα ὑπέμεινε. αἰνίττεται δὲ καὶ τὰ ἔθνη, ὀδύρεται δὲ καὶ τὸν πρότερον λαόν.*

2. *εἰσάκουσον*] *Αὕτη ἡ φωνὴ τοῦ Ἀδάμ.*

καὶ ἡ κραυγή] *Παράκλησις ὀδυνηρὰ πρὸς τὸν θεόν.*

3. *μὴ ἀποστρέψῃς*] *Μὴ βδελύξῃς με, φησί, σεσηπότα τῇ παραβάσει, ἀλλὰ σπλαγχνίσθητι εἰς ἐμέ.*

ἐν ᾗ ἂν ἡμέρᾳ] *Ἐκ προσώπου τοῦ ἀνθρώπου ὁ Χριστὸς βοᾷ πρὸς τὸν πατέρα· διὰ τὸν ἄνθρωπον γὰρ ὑπέμενεν ἐπὶ (διὰ) τοῦ σταυροῦ.*

—] *Ὁ Ἀδάμ, φησίν· ἐξεδέχετο γὰρ τὴν παρουσίαν (τὴν ἡμέραν τῆς παρουσίας) τοῦ Χριστοῦ.*

4. *ὅτι ἐξέλιπον*] *Ὡσεὶ σκιὰ γὰρ καὶ ὡσεὶ καπνὸς διελύθησαν αἱ ἡμέραι τοῦ ἀνθρώπου, εἰ μὴ παρεγένετο ὁ κύριος, ἵνα σώσῃ τὸν ἄνθρωπον.*

καὶ τὰ ὀστᾶ] *Κατακεκομμένα τῇ ἁμαρτίᾳ καὶ τῇ ξηρασίᾳ τῶν εἰδώλων· οὔπω γὰρ ἡ πιότης τοῦ βαπτίσματος ἦν φανεῖσα.*

5. *ἐπλήγην*] *Τῇ τῶν δαιμόνων πληγῇ, καθὼς γέγραπται· καὶ ἀφῆκαν αὐτὸν ἡμιθανῆ. οὐ γὰρ ἀφῆκαν οἱ δαίμονες πιανθῆναι (ἐνυγρανθῆναι) τὸν ἄνθρωπον, τουτέστι τὸν Ἀδάμ, τῇ γνώσει τοῦ θεοῦ.*

ὅτι ἐπελαθόμην] *Πρόπαλαι γὰρ περιέμενε, φησίν, ὁ Ἀδὰμ τὸν ἄρ-*

---

[1] V. continuat sic: *διὸ χρὴ πάντα ἄνθρωπον εἰς τὰς ἀρχὰς τῶν πραγμάτων ἐξολοθρεύειν τοὺς πονηροὺς λογισμούς· ὥσπερ γὰρ ἡ πρωΐα ἀρχή ἐστι τῆς ἡμέρας, οὕτως καὶ ἡ ἀνάστασις τοῦ κυρίου ἡμῶν ἀρχὴ ἐγένετο τῆς ἡμῶν σωτηρίας. διὰ τοῦτο χρὴ ἀπὸ πρωΐ ἐξολοθρεύειν τὰς πονηρὰς ἐνθυμήσεις ὁ ἄνθρωπος· ἁμαρτωλοὶ δὲ πρὸς ἀλήθειάν εἰσιν οἱ πονηροὶ δαίμονες καὶ ἀπεκτάνθησαν τῇ δυνάμει τοῦ σταυροῦ.*

τον τὸν μυστικόν, ἀλλὰ προεχώρει ἡ παράβασις.

6. ἀπὸ φωνῆς] *Ἀπὸ τῆς πολλῆς θλίψεως, ἧς ἔθλιψαν οἱ δαίμονες τὸν ἄνθρωπον.*

ἐκολλήθη] *Ἔστενεν ἀνίατα, ὡς τακῆναι τὰς σάρκας σὺν τοῖς ὀστέοις.*

7. ὡμοιώθην] *Ὁ πελεκὰν φιλεῖ ἀεὶ ἐν τοῖς ὄρεσι τοῖς ἐρημικοῖς διάγειν· ἐφίλει δὲ καὶ ὁ Χριστὸς τὰς ἐρήμους. γέγραπται γάρ· καὶ ἦν διάγων ἐν ταῖς ἐρήμοις ἀπεριστάστως.*[1]

ἐγενήθην] *Τὸ ὄρνεον τοῦτο θρηνῶδές ἐστι (θρηνῳδόν ἐστι) καὶ ἀεὶ ἐν οἰκοπέδοις ἢ ἐν συμπτώμασιν ἐκεῖ φιλεῖ καθέζεσθαι· οὕτως καὶ ὁ Χριστός, εἰς τὴν ἐρήμωσιν τοῦ ἀνθρώπου ἀποβλέψας, παρεγένετο ἐνοικῆσαι τῷ ἀνθρώπῳ καὶ ζωοποιῆσαι αὐτόν.*

8. ἠγρύπνησα] *Γέγραπται γάρ· [ἐγὼ] καθεύδω καὶ ἡ καρδία μου ἀγρυπνεῖ. ἡνίκα ἡ θεότης ἐσκύλευσε τὸν ᾅδην, ἡ σὰρξ μόνη ἔκειτο ἐν τῷ μνήματι, ὥσπερ στρουθίον μόνον ἐπὶ τὸ χῶμα (σχίσμα) τῆς γῆς. διὸ λέγει· ἐπὶ δώματι (δώματος).*

9. ὅλην τὴν ἡμέραν] *Ἡνίκα ἐπὶ τοῦ σταυροῦ ἐκρέματο, οἱ Ἰουδαῖοι ὠνείδιζον αὐτόν· ἐχθροὶ γὰρ τοῦ σωτῆρος Ἰουδαῖοι.*

καὶ οἱ ἐπαινοῦντες] *Οἱ πρότερον ἐπαινοῦντές με, φησίν, ὤμνυον κατὰ τοῦ Χριστοῦ ⟨τῷ ὀνόματι τοῦ Χριστοῦ⟩ χλευάζοντες.*

10. ὅτι σποδόν] *Ἀντὶ γὰρ ἄρτου ὁ Ἀδάμ (ἀντὶ γὰρ τοῦ Ἀδάμ), τουτέστιν ὁ ἄνθρωπος, σποδὸν [ὡσεὶ ἄρτον] ἔφαγε (ἤσθιε) τὰς θυσίας τῶν εἰδώλων, [ὡς ἀνυπόστατα ὄντα].*

καὶ τὸ πόμα] *Ἡνίκα γὰρ τὸ ὕδωρ ἔπινεν, ἐκίρνα αὐτὸ τοῖς δάκρυσι, κλαίων ἀπαύστως.*

11. ἀπὸ προσώπου] *Παρώργισε γὰρ ὁ ἄνθρωπος τὸν θυμὸν τοῦ θεοῦ καὶ ἐπλήθυνε τὴν ὀργὴν τοῦ θεοῦ (καθ' ἑαυτοῦ) τῇ παραβάσει τῶν εἰδώλων.*

ὅτι ἐπάρας] *Ἄρχοντα γὰρ κατέστησάς με τῆς κτίσεως, καθηρέθην δὲ τῇ παρακοῇ.*

---

[1] V. Baroc. sic: *Ὁ πελεκὰν (πελέκας) οὗτος ὄρνεόν ἐστιν, ὁ δὲ ὄφις πολὺ (πολλὰ) ἐχθραίνει τοῖς νεοττοῖς αὐτοῦ. αὐτὸς δὲ τί μεχανᾶται; εἰς ὕψος πήγνυσι τὴν καλιὰν αὐτοῦ, πανταχόθεν περιφράσσων αὐτὴν διὰ τὸν ὄφιν. τί οὖν ποιεῖ ὁ κακομήχανος ὄφις; περισκοπεῖ, ὅθεν πνέει ὁ ἄνεμος κἀκεῖθεν ἐμφυσᾷ τοῖς νεοττοῖς τὸν ἰὸν αὐτοῦ καὶ τελευτῶσιν. ἔρχεται οὖν ὁ πελεκὰν (πελέκας) καὶ θεωρεῖ, ὅτι ἀπέθανεν αὐτοῦ τὰ παιδία καὶ σκοπεῖ νεφέλην καὶ πέταται εἰς ὕψος καὶ μετὰ τῶν πτερῶν τύπτει αὐτοῦ τὰς πλευρὰς καὶ ἐξέρχεται αἷμα, καὶ διὰ τῆς νεφέλης ἐπιστάζει τούτοις καὶ ἐγείρονται. λαμβάνεται δὲ ὁ πελεκὰν (πελέκας) πρὸς (εἰς) τὸν κύριον. τὰ παιδία αὐτοῦ ὁ Ἀδὰμ καὶ ἡ Εὔα, καὶ ἡμετέρα φύσις, ἡ δὲ καλιὰ αὐτοῦ ὁ παράδεισος, ὁ δὲ ὄφις ὁ ἀποστάτης διάβολος. ἐνεφύσησεν οὖν ὁ ἀρχέκακος ὄφις διὰ τῆς παρακοῆς τοῖς πρωτοπλάστοις καὶ γεγόνασι νεκροὶ τῇ ἁμαρτίᾳ. ὁ οὖν κύριος ἡμῶν καὶ θεὸς διὰ τὴν πρὸς ἡμᾶς ἀγάπην ὑψοῦται ἐπὶ τοῦ τιμίου σταυροῦ καὶ νυγεὶς τὴν πλευρὰν, διὰ τῆς νεφέλης τοῦ ἁγίου πνεύματος ζωὴν ἡμῖν ἐδωρήσατο τὴν αἰώνιον. λέγεται δὲ καὶ οὕτως· ὅτι ὁ πελικὰν φιλεῖ κτλ.*

12. αἱ ἡμέραι] Λιώνιος γὰρ γεγονώς, ἐγενόμην πρόσκαιρος καὶ δίκην σκιᾶς, ἐξέλιπον αἱ ἡμέραι μου, φησὶν ὁ ἄνθρωπος.

καὶ ἐγώ] Ἀποστὰς γὰρ ἀπὸ θεοῦ καὶ μηκέτι πιαινόμενος τῷ ἐλέει τοῦ θεοῦ, δίκην χόρτου ἐξηράνθην.

13. σὺ δέ, κύριε] Ὡς ἀληθὴς καὶ ἀψευδὴς θεὸς εἰς τὸν αἰῶνα μένεις (μένει), ὁ δὲ ἄνθρωπος πρόσκαιρος ὡς ὠνητός (θνητός) ⟨νοητός⟩.

καὶ τὸ μνημόσυνον] Εἰς τὰς γενεὰς γὰρ τοῦ αἰῶνος τὰ ἔργα τοῦ θεοῦ μένει. λέγει δὲ τὴν ἐνανθρώπησιν τοῦ Χριστοῦ καὶ τὸν σταυρὸν καὶ τὴν ἀνάστασιν.

14. σὺ ἀναστάς] Μετὰ γὰρ τὸ ἀναστῆναι τὸν κύριον ἐκ νεκρῶν ἡ ἐκκλησία ἐφανερώθη λυτρωθεῖσα ἐκ τῶν εἰδώλων.

ὅτι καιρός] Ἔφθασε γὰρ ὁ καιρὸς τῆς ἐπιφανείας τοῦ Χριστοῦ καὶ ἧκεν ἡ [καινὴ] δόξα τῆς ἐκκλησίας.

15. ὅτι εὐδόκησαν] Οἱ ἀπόστολοι· αὐτοὶ γάρ εἰσιν οἰκήτορες τῆς Σιών. λίθους δὲ λέγει τὰ ἐν αὐτῇ πραχθέντα μυστήρια, ὡς στερεὰ καὶ ἀμετάθετα (ἀμετάβλητα) καὶ μηκέτι λυόμενα.

καὶ τὸν χοῦν] Τῆς γὰρ ἐκκλησίας οὔτε τὸ τυχὸν αὐτῆς πρᾶγμα παρεωράθη, ἀλλ' ἡγιάσθη.

16. καὶ φοβηθήσονται] Ὅταν γὰρ ἔφθασεν ἡ ἀκοὴ τῆς Χριστοῦ παρουσίας εἰς τὰ ἔθνη, φόβῳ συνεσχέθησαν, ὅθεν ἔσπευσαν πρὸς ἐπιστροφήν.

καὶ πάντες] Οἱ ἄρχοντες τῶν ἐθνῶν καὶ οἱ κρατοῦντες τῆς γηΐνης πολιτείας· εἰσὶ δὲ οἱ δαίμονες πρὸς ἀλήθειαν.

17. ὅτι οἰκοδομήσει] Τὴν ἐκκλησίαν· ἦν γὰρ καταπεπτωκυῖα τῇ πλάνῃ τῶν εἰδώλων, ἀνέστη δὲ τῇ παρουσίᾳ Χριστοῦ.

καὶ ὀφθήσεται] Καθ' ἑκάστην γὰρ ἑαυτὸν ἐν τῇ ἐκκλησίᾳ ἐμφανίζει ἐνδόξως ὁ κύριος.

18. ἐπέβλεψεν] Τοῦ λαοῦ τοῦ ἐξ ἐθνῶν· ταπεινωθέντες γὰρ ἦσαν τῇ αἰχμαλωσίᾳ τῶν δαιμόνων.

καὶ οὐκ ἐξουδένωσεν] Οὐκ ἀπεβάλετο τουτέστιν τὴν δέησιν τῶν ἐθνῶν, ὡς βδελυκτῶν ὄντων τῇ ἀσεβείᾳ, ἀλλὰ προσεδέξατο ὡς συμπαθής.

19. γραφήτω] Ἡ ἐξ ἐθνῶν κλῆσις γραφήτω εἰς τὴν τῶν ἀγγέλων [λῆξιν καὶ] τάξιν διὰ τῆς ἐξομολογήσεως καὶ πίστεως.

καὶ λαός] Ὁ ἐκ τῶν ἐθνῶν λαός, ὁ τικτόμενος (κτιζόμενος) κατὰ γενεὰν καὶ γενεάν· αὐτὸς γὰρ πρὸς ἀλήθειαν αἰνεῖ τὸν θεόν.

20. ὅτι ἐξέκυψεν] Ὅτι ἀπὸ τῶν κόλπων τοῦ πατρὸς ἐνεφάνισεν ἑαυτὸν τῇ γῇ ὁ θεὸς λόγος.

κύριος] Ἐπιζητῆσαι (ἐπιζητήσας) τὸν ἀπολλύμενον ἄνθρωπον· τούτου χάριν γὰρ παρεγένετο.

21. τοῦ ἀκοῦσαι] Ἔστενε γὰρ ἡ ἀνθρωπότης, δεδεμένη ὥσπερ σιδή-

ρῳ τῇ πλάνῃ τῶν εἰδώλων. ἐλθὼν δὲ ὁ κύριος, ἠλευθέρωσε τὸν ἄνθρωπον ἐκ τῶν σιδήρων (σειρῶν) τῶν δαιμόνων.

τοῦ λῦσαι] Τοὺς προαποθανόντας τῇ ἁμαρτίᾳ. λέγει δὲ καὶ τοὺς νεκρούς, οὓς καταβὰς ἐν τῷ ᾅδῃ ἠλευθέρωσε καὶ λύσας ἐκ τῶν δεσμῶν τοῦ θανάτου συνανέστησε.

22. τοῦ ἀναγγεῖλαι] Ἐν τῇ ἐκκλησίᾳ γὰρ διὰ τῶν γραφῶν τὸ ὄνομα κυρίου καταγγέλλεται τοῖς πιστοῖς.

καὶ τὴν αἴνεσιν] Τὸ αὐτό. καὶ Ἱερουσαλὴμ γὰρ εἰς τὴν ἐκκλησίαν λαμβάνεται· ἑκάστης γὰρ ἡμέρας ἐν τῇ ἐκκλησίᾳ ᾄδεται ἡ αἴνεσις τοῦ κυρίου (θεοῦ).

23. ἐν τῷ συναχθῆναι] Πάντες γὰρ οἱ λαοὶ ἐν τῇ ἐκκλησίᾳ [δηλαδὴ] συνάγονται ἀπολαῦσαι τοῦ δείπνου τοῦ μυστικοῦ.

καὶ βασιλεῖς] Καὶ γὰρ οἱ βασιλεῖς καὶ πᾶσα ἐξουσία ἐν τῇ ἐκκλησίᾳ τὰς κεφαλὰς τῷ θεῷ κλίνουσι, δουλεύοντες ἐν φόβῳ τῷ κυρίῳ.

24. ἀπεκρίθη] Ἐν ᾧ γὰρ ζῇ ὁ ἄνθρωπος, ἰσχύει δοξάζειν (δοξολογεῖν) τὸν κύριον· ὁδὸν γὰρ λέγει τὴν τοῦ βίου.

τὴν ὀλιγότητα] Ἵνα, φησίν, ἴδῃ ⟨εἰδῇ⟩ ὁ ἄνθρωπος, ὅτι πρόσκαιρός ἐστι καὶ ἵνα μὴ ἐπαίρηται.

25. μὴ ἀναγάγῃς] Τουτέστι μὴ συντέμῃς (συντεμεῖς) τὰς ἡμέρας μου, πρὶν ἂν κατορθώσω τὴν ἀρετήν.

ἐν γενεᾷ] Τοῦ Χριστοῦ ὡς θεοῦ· τούτου γὰρ τὰ ἔτη τέλος οὐκ ἔχουσι.

26. κατ' ἀρχάς] Αὐτὸς γὰρ ἐποίησε τὴν γῆν καὶ ἐστερέωσεν.

καὶ ἔργα] Καὶ οἱ οὐρανοὶ καὶ ἡ γῆ ὑπὸ σοῦ, φησὶν ὁ προφήτης, ἐκτίσθησαν καὶ διὰ σοῦ διαμένουσιν εἰς τοὺς αἰῶνας.

27. αὐτοὶ ἀπολοῦνται] Ὁ θεὸς γὰρ χρόνῳ οὐχ ὑποπίπτει οὐδὲ συγκαταριθμεῖται τοῖς κτίσμασι.

καὶ πάντες] Πάντα γὰρ τὰ κτίσματα, κἂν μεγάλα ᾖ, χρόνῳ ὑπόκεινται.

καὶ ὡσεὶ περιβόλαιον] Οὗτοι γὰρ οὐρανοὶ ἀλλάσσονται, καινοὺς δὲ οὐρανοὺς ἐπαγγέλλεται ὁ ποιητὴς τῆς κτίσεως.

28. σὺ δὲ ὁ αὐτὸς εἶ] Οὔτε γὰρ τροπὴν ὑπομένει ὁ θεός, οὔτε πέρας ἐτῶν ὑφίσταται. ὁ γὰρ θεὸς αἰώνιος καὶ ἀΐδιος.

29. οἱ υἱοί] Ὅσοι ἐμαθήτευσαν τοῖς ἀποστόλοις, οὗτοί εἰσιν υἱοὶ αὐτοῦ ⟨αὐτῶν⟩, κατασκηνώσουσι δὲ ἐν ταῖς σκηναῖς τῶν ἁγίων τότε.

καὶ τὸ σπέρμα] Σπέρμα ἐστὶν ὁ λόγος τοῦ θεοῦ, καθὼς γέγραπται· ἡ οὖν διδαχὴ τῶν ἀποστόλων, ἣν κατήγγειλαν τῇ γῇ, αὕτη κατευθύνθη καὶ κατευθύνεται (κατευθυνθήσεται) εἰς τὸν αἰῶνα.

CII.

Τῷ Δαυίδ] *Τῷ Χριστῷ τουτέστιν ἡ ᾠδὴ τοῦ ψαλμοῦ ἀνετέθη. διδάσκει δὲ τὸν ἄνθρωπον εὐχαριστεῖν, ἐφ' οἷς ἔπαθε καλοῖς.*

1. εὐλόγει] *Ὁ ἄνθρωπος ὁ πιστὸς τῇ ψυχῇ παρακελεύεται, ὥστε ἀπαύστως εὐλογεῖν τὸν κύριον.*

καὶ πάντα] *Ἐκ πάντων γὰρ τῶν μελῶν τῆς ψυχῆς καὶ τοῦ σώματος χρὴ εὐλογεῖν τὸν θεόν (κύριον).*

2. εὐλόγει] *Οὐχ ἅπαξ, ἀλλὰ δίς, τουτέστιν πολλάκις διεγείρει τὴν ψυχὴν ὁ κατὰ θεὸν ζῶν ⟨ὤν⟩, εὐλογῶν (εὐλογεῖν) τὸν θεόν.*

καὶ μὴ ἐπιλανθάνου] *Οὔτε γὰρ δεῖ λήθῃ παραδιδόναι πάσας τὰς εὐεργεσίας τοῦ θεοῦ, ἃς τῷ ἀνθρώπῳ ἐποίησεν.*

3. τὸν εὐιλατεύοντα] *Διὰ μετανοίας καὶ βαπτίσματος.*

τὸν ἰώμενον] *Διὰ προσευχῆς καὶ μετανοίας (δακρύων) τὰς τοῦ σώματος, καὶ διὰ λουτροῦ ἀφθαρσίας τὰς τῆς ψυχῆς.*

4. τὸν λυτρούμενον] *Τῇ παρουσίᾳ γὰρ ὁ Χριστὸς ἐλυτρώσατο τὸν ἄνθρωπον ἐκ πάσης φθορᾶς τοῦ διαβόλου.*

τὸν στεφανοῦντα] *Διὰ γὰρ τοὺς πολλοὺς οἰκτιρμοὺς τοῦ θεοῦ καὶ τὸ πολὺ ἔλεος ἔσωσεν ὁ θεὸς τὸν ἄνθρωπον, καὶ οὐ μόνον ἔσωσεν, ἀλλὰ καὶ στεφάνου βασιλείας ⟨δόξης⟩ ἠξίωσεν.*

5. τὸν ἐμπιμπλῶντα] *Παρασχὼν τὸ σῶμα αὐτοῦ εἰς βρῶσιν τῷ ἀνθρώπῳ καὶ τὸ αἷμα αὐτοῦ εἰς πόσιν.*

ἀνακαινισθήσεται] *Ὁ ἀετὸς κατὰ πεντακοσιαστὸν ἔτος ἀνακαινίζεται, καιόμενος ὑπὸ τοῦ ἡλίου, καὶ καταδύνων εἰς τὴν πηγὴν τοῦ ὕδατος πάλιν νέος εὑρίσκεται· οὕτως καὶ ὁ ἄνθρωπος πυροῦται τῷ πυρὶ τοῦ πνεύματος τοῦ ἁγίου, γλώσσαις τῶν ἱερέων διδασκόμενος, καὶ τῇ καταβάσει τοῦ βαπτίσματος ἀνακαινιζόμενος εἰς ζωὴν αἰώνιον.*

6. ποιῶν] *Διὰ γὰρ πολλὴν εὐσπλαγχνίαν καὶ τὸ πολὺ ἔλεος ταύτην τὴν δωρεὰν ἐχαρίσατο τοῖς ἀνθρώποις ὁ κύριος.*

καὶ κρίμα] *Ἔκδικος γὰρ ὁ θεὸς τῶν ταπεινῶν κατὰ πάντα, μάλιστα δὲ τῷ ἀνθρώπῳ τῷ ἀδικουμένῳ ὑπὸ τῶν δαιμόνων, ὡς ἐκείνους μὲν ἐξωλόθρευσε, τὸν ἄνθρωπον δὲ ἐδόξασεν ὡς δίκαιος κριτής.*

7. ἐγνώρισεν] *Τότε ἐπὶ τῶν Ἰσραηλιτῶν, ὅπως ἐδίδαξε τὸν προφήτην ⟨τὸν ἄνθρωπον⟩ ὁδηγεῖν τὸν λαόν, προεσήμαινε δὲ τὸν λαὸν τὸν πιστόν.*

τοῖς υἱοῖς] *Θέλημα γὰρ αὐτοῦ ἦν ἐν αὐτοῖς καὶ πᾶσαν ἀνταπόδοσιν τῶν ἀγαθῶν παρέσχεν αὐτοῖς. αὐτοὶ δὲ οὐκ ἐνέμειναν τῷ θελήματι αὐτοῦ, διὸ καὶ ἐξεβλήθησαν.*

8. οἰκτίρμων] *Παρ' αὐτῷ γὰρ οἱ οἰκτιρμοὶ τοῦ ἐλέους ἀπόκεινται ὡς θεῷ.*

μακρόθυμος] *Εἰ γὰρ μὴ ἦν μακρόθυμος καὶ πολυέλεος, πῶς ἐσώζετο τὸ γένος τῶν ἀνθρώπων;*

9. οὐκ εἰς τέλος] *Οὔτε γὰρ ὡς ἄνθρωπος ὀργίζεται ὁ θεός.*

οὐδὲ εἰς τὸν αἰῶνα] *Οὔτε ὡς ἄνθρωπος μηνίει, ἀλλ' ὡς θεὸς ἐν ἐλέει διοικεῖ πάντας, ἐπεὶ πῶς ἐλθὼν ἔσωσε τὸν ἄνθρωπον;*

10. οὐ κατὰ τὰς ἁμαρτίας] *Οὐχ οὕτως γὰρ ἐποίησεν ὁ θεὸς τῷ ἀνθρώπῳ, καθὼς ἥμαρτεν, ἀλλ' ἐλθὼν ἔσωσε ⟨αὐτόν⟩.*

οὐδὲ κατὰ τὰς ἀνομίας] *Οὔτε γὰρ τοῦ ἀνθρώπου ἀπωσαμένου τὸν φυσικὸν νόμον καὶ παρανόμως δουλεύοντος (δουλεῦσαι) τοῖς εἰδώλοις ἀνταπέδωκε, ἀλλὰ ζητήσας ἠλέησεν.*

11. ὅτι κατὰ τὸ ὕψος] *Τὸ ἀπέραντον λέγει τῆς αὐτοῦ φιλανθρωπίας· ὥσπερ γὰρ ἀνέφικτον τῷ ἀνθρώπῳ μετρῆσαι τὸ ὕψος τοῦ οὐρανοῦ, οὕτως ἀδύνατον νοῦν ἀνθρώπου τὸ μέγεθος καταλαβέσθαι τῆς φιλανθρωπίας τοῦ θεοῦ, ἧς ἐποίησεν εἰς τὸν ἄνθρωπον.*

ἐκραταίωσεν] *Τοσοῦτον γὰρ δυνάμει ὁ θεὸς προσέθετο τῆς ἀγάπης πρὸς τὸν ἄνθρωπον, ὥστε τὸν υἱὸν αὐτοῦ τὸν ἀγαπητὸν ἔδωκεν ὑπὲρ αὐτοῦ ἀποθανεῖν, καθὼς γέγραπται.*

12. καθ' ὅσον] *Τοσοῦτον γὰρ ἐμάκρυνεν ὁ θεὸς τὴν ἀσέβειαν ἀπὸ τοῦ ἀνθρώπου.*

ἐμάκρυνεν] *Ἀφ' οὗπερ ἐξελέξατο αὐτὸν διὰ τοῦ βαπτίσματος.*

13. καὶ καθώς] *Ὡς γὰρ πατὴρ ἐπὶ τέκνοις, οὕτως ἐσπλαγχνίσθη ὁ θεὸς ἐπὶ τὸν ἄνθρωπον.*

οἰκτείρησεν] *Ὅτι θεὸς ὢν ἐκένωσεν ἑαυτόν, μορφὴν δούλου λαβών, ἵνα σώσῃ τὸν ἄνθρωπον.*

14. ὅτι αὐτός] *Ἐμνήσθη γὰρ ὁ θεός, ὅτι χοῦν λαβὼν ἀπὸ τῆς γῆς ἔπλασε τὸν ἄνθρωπον καὶ συνεπάθησεν καὶ ἐλθὼν ἀνέπλασεν αὐτόν, δοὺς αὐτῷ αἰώνιον παράκλησιν.*

15. ἄνθρωπος] *Σήμερον γὰρ ἔστιν, αὔριον οὐκ ἔστιν· δίκην γὰρ χόρτου φθείρεται ὁ ἄνθρωπος. διὸ σπλαγχνισθεὶς ἔδωκεν αὐτῷ τὴν χάριν, ἵνα ζῇ αἰωνίως.*

ὡσεὶ ἄνθος] *Μαραίνεται γὰρ καὶ πίπτει δίκην ἄνθους ὁ ψυχικὸς ἄνθρωπος, ὁ δὲ πνευματικὸς μένει διηνεκῶς διὰ τὴν χάριν.*

16. ὅτι πνεῦμα] *Μετὰ γὰρ τὸ χωρισθῆναι τὴν ψυχὴν ἀπὸ τοῦ σώματος οὐκέτι ἔστιν ὁ ἄνθρωπος, τῶν πιστῶν δὲ διαμένει τὸ μνημόσυνον.*

καὶ οὐκ ἐπιγνώσεται] *Λήθην γὰρ πάντων ὁμοῦ ποιεῖται ὁ ἄνθρωπος, ὅταν χωρίζεται ἡ ψυχὴ ἀπὸ τοῦ σώματος.*

17. τὸ δὲ ἔλεος] *Τὸ γὰρ ἔλεος τοῦ θεοῦ ἀδιάδοχον ἐπὶ τοῖς πιστοῖς μάλιστα καὶ μηδέποτε ἐκλεῖπον.*

18. καὶ ἡ δικαιοσύνη] *Γενεὰ γὰρ εὐθέων (εὐθεῖα) εὐλογηθήσεται· οἱ γὰρ ὄντως τὸν θεὸν φοβούμενοι μεταπαραδίδουσι τὴν διαθήκην [τοῖς υἱοῖς], τουτέστιν τὸν θεσμὸν τοῦ δουλεύειν τῷ κυρίῳ.*

καὶ μεμνημένοις] Ὅσοι γὰρ ἀεὶ τὸν φόβον τοῦ θεοῦ [δουλεύοντες καὶ] πρὸ ὀφθαλμῶν ἔχουσιν, οὗτοι φυλάσσουσι τὰς ἐντολὰς τοῦ θεοῦ.

19. κύριος] Τοῦ ἀνθρώπου, ὃν ἐνεδύσατο· συνήγειρε γὰρ καὶ συνεκάθισεν ἐν τοῖς ἐπουρανίοις.

καὶ ἡ βασιλεία] Τοῦ Χριστοῦ καὶ θεοῦ· αὐτὸς γὰρ βασιλεὺς πάντων τῶν αἰώνων.

20. εὐλογεῖτε] Καὶ οἱ ἐν οὐρανῷ ἄγγελοι οἱ ἀσώματοι καὶ οἱ ἐπὶ γῆς, ὅσοι τὸν βίον ἀγγελικὸν ⟨ἔνδοξον⟩ ἀπετέλεσαν.

δυνατοί] Ἄμφω γὰρ ἐν ὅλῃ τῇ καρδίᾳ καὶ ἰσχύι ποιοῦσι τὸν λόγον τοῦ θεοῦ.

τοῦ ἀκοῦσαι] Τούτων γὰρ ὑμνούντων τῆς φωνῆς ἀκούει ὁ θεός.

21. εὐλογεῖτε] Ταῖς ἐπουρανίαις δυνάμεσι παρακελεύεται εὐλογεῖν τὸν θεὸν ἐπὶ τῷ παραδόξῳ μυστηρίῳ.

λειτουργοί] Τὰ γὰρ λειτουργικὰ πνεύματα τῷ νεύματι τοῦ θεοῦ δουλεύουσιν.

22. εὐλογεῖτε] Καὶ τὰ ἐν οὐρανῷ καὶ τὰ ἐπὶ γῆς, ὡς τῇ δεξιᾷ τοῦ θεοῦ καὶ τῷ νεύματι αὐτοῦ γενόμενα.

ἐν παντί] Καὶ ἐν οὐρανῷ γὰρ καὶ ἐπὶ τῆς γῆς ἡ δόξα αὐτοῦ κατασκηνοῖ.

εὐλόγει] Βλέπεις, ὅτι οὐχ ἅπαξ οὐδὲ δίς, ἀλλὰ πλειστάκις τὴν ψυχὴν διεγείρει ὁ κατὰ θεὸν ἄνθρωπος εὐλογεῖν τὸν κύριον, ὅτι οὐκ ἔστιν ἄλλη μεγάλη ⟨μείζων⟩ σωτηρία.

CIII.

Τῷ Δαυίδ] Τῷ Χριστῷ, φησίν, χρὴ προσέχειν διδάσκοντι πρὸς ἐξομολόγησιν καὶ μετάνοιαν.

1. εὐλόγει] Ὁρᾷς, ποῖον θεμέλιον ἔθηκε τῷ ψαλμῷ τὸ πνεῦμα τὸ ἅγιον, διεγεῖρον τὴν ψυχὴν τοῦ ἀνθρώπου πρὸς τὸ εὐλογεῖν διηνεκῶς τὸν κύριον.

κύριε] Πᾶσα γὰρ πνοὴ μεγαλύνει τὸν κύριον.

ἐξομολόγησιν] Ὅταν γὰρ ἐξομολόγησις προσάγεται τῷ θεῷ, τότε εὐπρέπειαν ἐνδύεται, ὡς φιλῶν τὴν ἐπιστροφὴν τοῦ ἀνθρώπου.

2. ἀναβαλλόμενος] Φῶς γὰρ ὑπάρχει ὅλος καὶ ἐκ φωτὸς καὶ τὸ φῶς περιβεβλημένος· θεῷ γὰρ ἀμφότερα πρόσεστιν.

ἐκτείνων] Δείκνυσι τὴν δύναμιν τοῦ θεοῦ ὁποία ἐστίν· ἐτάνυσε τῷ λόγῳ τὸν οὐρανὸν ὡς ἱμάτιον ἁπλοῦν.

3. ὁ στεγάζων] Καὶ τοῦτο τῆς δυνάμεως τοῦ θεοῦ τὸ προσκαλεῖσθαι τὸ ὕδωρ τῆς θαλάσσης, δίκην ὀροφῆς περιτιθέναι τῷ οὐρανῷ καὶ ἐκχέειν ἐπὶ προσώπου τῆς γῆς.

ὁ τιθείς] Ἐπέβη γὰρ τοῖς ἀπο-

στόλοις ὡς νεφέλαις, ἵνα τὴν οἰκουμένην φωτίσῃ· ἐπέβη δὲ καὶ τῇ νεφέλῃ τότε, τῷ καιρῷ τῆς ἀναστάσεως, ἐπέβη δὲ καὶ τῇ θεοτόκῳ ὡς τῇ νεφέλῃ.

ὁ περιπατῶν] *Ἐπιβαίνει γὰρ καὶ τοῖς ἀνέμοις, ὁπότε βούλεται. λέγει δὲ [καὶ] τὰ τῆς σαρκὸς μυστήρια.*

4. ὁ ποιῶν] *Οὐ μόνον τοὺς ἐν οὐρανῷ, ἀλλὰ καὶ τοὺς ἐπὶ τῆς γῆς ἁγίους ἀγωνισαμένους, καὶ τούτους νοεροὺς ἀποτελῶν.*

καὶ τοὺς λειτουργούς] *Ὁπόταν γὰρ θέλει, καὶ εἰς πῦρ μεταβάλλονται οἱ ἅγιοι, τῷ πυρὶ τοῦ πνεύματος νευρούμενοι.*

5. ἐθεμελίωσεν] *Ἐπὶ ὑδάτων γὰρ ἥδραστο χειρὶ θεοῦ καὶ μένει ἀσάλευτος· τὸ δ' αὐτὸ καὶ ὁ ἄνθρωπος, ὡς γῆ ὤν, ἐπὶ τοῦ ὕδατος θεμελιοῦται τοῦ βαπτίσματος.*

οὐ κλιθήσεται] *Οὐ κινεῖται γὰρ καὶ αὕτη (ταῦτα) ἐπὶ τῶν ὑδάτων ἐστηριγμένη· βουλῇ γὰρ θεοῦ ἐστήρικται καὶ διαμένει.*

6. ἄβυσσος] *Τὸ ἀκατάληπτον λέγει τοῦ μυστηρίου τῆς σαρκώσεως ἄβυσσον, [ὡς μετρηθῆναι μὴ δυνάμενον].*

ἐπὶ τῶν ὀρέων] *Ἐπὶ τῶν δογμάτων τῶν προφητῶν στήσονται τὰ ὕδατα τοῦ βαπτίσματος.*

7. ἀπὸ ἐπιτιμήσεως] *Οἱ δαίμονες ἀπὸ τῶν ὑδάτων τοῦ βαπτίσματος· ἐπιτιμῶνται γὰρ τῇ σφραγῖδι τοῦ σταυροῦ.*

ἀπὸ φωνῆς] *Ἀπὸ φωνῆς τοῦ εὐαγγελικοῦ κηρύγματος φοβηθήσονται πάντα τὰ πονηρὰ πνεύματα.*

8. ἀναβαίνουσι] *Οἱ δαίμονες· ὑψηλοῦνται (ὑψοῦνται) γὰρ ὡς ὄρη, ταπεινοῦνται δὲ ὡς πεδίον ἀφανισμοῦ, καθὼς γέγραπται. λέγει δὲ καὶ τὰ κύματα τῆς θαλάσσης.*

εἰς τόπον] *Ἐκεῖ γὰρ ἐπορεύθησαν εἰς τὸν τόπον τὸν ὁρισθέντα αὐτοῖς ὑπὸ θεοῦ. λέγει δὲ καὶ τὰ κύματα τῆς θαλάσσης καὶ τῆς αἰσθητῆς καὶ τῆς νοητῆς.*

9. ὅριον ἔθου] *Τῇ γὰρ θαλάσσῃ ὅριον τὴν ψάμμον ἔθετο, ἀλλὰ καὶ τοῖς δαίμοσι τὸν σταυρόν· ὅπου γὰρ αὐτὸν ἴδωσι, φρίττουσιν.*

οὐδὲ ἀποστρέψουσιν] *Οὔτε γὰρ τὰ κύματα τῆς θαλάσσης δύνανται καλύψαι τὴν γῆν, οὐδὲ πάλιν οἱ δαίμονες κατακυριεῦσαι τοῦ ἀνθρώπου· κατηργήθησαν γάρ.*

10. ὁ ἀποστέλλων] *Λέγει μὲν τὰς φάραγγας τῶν ὀρέων, ὡς ἐν αὐταῖς τὰ ὕδατα ἠχημένα·*[1] *ἔστι δὲ [καὶ] τὰ δάκρυα τῆς μετανοίας, φάραγγες δὲ αἱ ὀπαὶ τῶν ὀφθαλμῶν.*

ἀνὰ μέσον] *Προφητῶν λέγει καὶ ἀποστόλων· ὄρη γὰρ ἅγια κἀκεῖνοι καὶ οὗτοι· μέσον δὲ τούτων τὰ ὕδατα τοῦ βαπτίσματος.*

---

[1] A. legit *τῶν ὑδάτων διϊκνουμένων*, Ven. *τὰ ὕδατα διαχευμένα*, V. *τὰ ὕδατα οἰχήμενα*, Baroc. *ἠχόμενα*, quod versionem slavicam secuti in *ἠχημένα* mutandum putavimus.

11. ποτιοῦσιν] Τοὺς ἀπηγριωμένους τῇ ἑλληνικῇ σοφίᾳ καὶ ὡς θηρία ἐν τῷ δρυμῷ τῶν δαιμόνων νεμομένους· καὶ οὗτοι γὰρ τῷ βαπτίσματι προσελεύσονται χαίροντες καὶ πιαινόμενοι τῇ χάριτι.[1]

προσδέξονται] Λέγει τὰ ἔθνη ὡς ἀνοήτους ⟨ἀνοήτως⟩ τῇ πλάνῃ δουλεύσαντας· οὗτοι γὰρ ὡς ἄγριοι ἄθετοι πρὸς ἐπιστροφὴν [ἦσαν]· πλὴν καὶ οὗτοι ἐδίψησαν τὸ ὕδωρ τοῦ βαπτίσματος.[1]

12. ἐπ' αὐτά] Ὅσοι τὸν βίον ἐκκαθάραντες πτεροῦ δίκην πρὸς πτῆσιν οὐράνιον ἕτοιμοι, οὗτοι τῷ βαπτίσματι κατεσκήνωσαν φυλάξαντες αὐτό.

ἐκ μέσου] Οὕτως γὰρ καὶ ὁ ἀπόστολος εἶπεν ἐν ὄρεσι καὶ σπηλαίοις καὶ ταῖς ὀπαῖς τῆς γῆς κατασκηνοῦν τοὺς ἁγίους. λέγει δὲ καὶ τὸ ὕδωρ τοῦ βαπτίσματος, ὡς μέσον τῶν λίθων τῆς οἰκοδομῆς ἠχοῦντα (ἠχοῦν?), βαπτιζομένου τοῦ ἀνθρώπου.

13. ποτίζων] Τὰ δόγματα τῶν προφητῶν καὶ τοὺς βίους τῶν ἁγίων ἐκ τῆς ἄνωθεν χάριτος πιαίνων.

ἀπὸ καρποῦ] Ἀπὸ γὰρ τοῦ καρποῦ τῶν κτισμάτων, ὧν ἐκέλευσας τῇ γῇ διδόναι, εὐφραίνεται ὁ ἄνθρωπος· [γῇ γὰρ νοητὴ ὁ ἄνθρωπος.] νόει δὲ τὰ μυστήρια τῶν πιστῶν.

14. ἐξανατέλλων] Οὔτε γὰρ τῶν κτηνῶν ἠμέλησεν ὁ θεός, ἀλλὰ καὶ τούτων πρόνοιαν ἐποιήσατο. νόει δὲ τοὺς κτηνώδεις ἀνθρώπους, οἵτινες χόρτου δίκην τὸ γράμμα μασῶνται, μὴ νοοῦντες αὐτό.

καὶ χλόην] Χλόην λέγει τὰς γραφὰς καὶ τὰς δωρεὰς τοῦ πνεύματος, ἐν οἷς τρέφεται ὁ ἄνθρωπος ἐν τῷ χωρίῳ τοῦ βαπτίσματος χλευάζοντι (χλευάζοντες).

τοῦ ἐξαγαγεῖν] Τὸν μυστικὸν ἄρτον λέγει, ὅ ἐστι τὸ σῶμα τοῦ Χριστοῦ, τὸ ἐκ παρθένου τεχθέν, γενόμενον δὲ οὐράνιον τῇ θεότητι.

15. καὶ οἶνος] Ἡνίξατο τὸν μυστικὸν οἶνον, ὅ ἐστι τὸ αἷμα Χριστοῦ.[2]

τοῦ ἱλαρῦναι] Χαρὰ γὰρ τοῖς πιστοῖς ἡ κοινωνία τοῦ σώματος καὶ τοῦ αἵματος τοῦ Χριστοῦ, θαρροῦντες ὅτι ἐν αὐτοῖς ἠλεήθησαν.

καὶ ἄρτος] Ὁ μυστικὸς ἄρτος ταῖς καρδίαις ⟨τὰς καρδίας⟩ τῶν πιστῶν.

16. χορτασθήσεται] Ξύλα νόησον τὰ σώματα τὰ ἀνθρώπινα χορτάζεσθαι τοῖς μυστηρίοις τοῦ Χριστοῦ.

αἱ κέδροι] Τοὺς ὑψηλοὺς βίους λέγει τῶν ἀνθρώπων, καὶ αὐτοὺς

---

[1] V. Baroc.: καὶ τοῦτο τῆς θείας προνοίας μέγιστον, τὸ μὴ μόνον τῶν ἀνθρώπων τὴν χρείαν, ἀλλὰ καὶ τῶν ἀλόγων πληροῦν. διὰ τοῦτο ὄρη τέμνων παρόδους τοῖς ὕδασιν ἐτεκτήναντο, ὥστε μὴ μόνον τοὺς ἀνθρώπους ἔχειν ἀφθόνως τὰ νάματα τῶν πηγῶν, ἀλλὰ καὶ τῶν χερσαίων καὶ τῶν ἀεροπόρων ζῴων τὰ γένη, εἶτα τὴν τούτων ὑποδείκνυσι χρείαν.

[2] V. Baroc. add. ἀπαλύνει ἡ θεία γραφὴ τὸν ἄνθρωπον ὑπὲρ ἔλαιον καὶ εὐφραίνει ὑπὲρ οἶνον.

δὲ τοὺς ἐν ὑπεροχῇ ὄντας· αἱ κέδροι γὰρ ὑψηλαὶ καὶ ὁ Λίβανος ὑψηλὸς ὡς ὄρος [ἐστὶν] ἐν Σιών.

17. ἐκεῖ στρουθία] *Ἐν τοῖς ὑψηλοῖς ἀνθρώποις οἱ ταπεινοὶ καὶ οἱ κατάλεπτοι (κατὰ λεπτὸν) λαοὶ τοῖς πλουσίοις προσφεύξονται (προκαταφεύξονται) ⟨προσφεύγοντες⟩.*

τοῦ ἐρωδιοῦ] *Τοῦ Χριστοῦ· ἐρωδιὸς (ἀρωδιὸς) γὰρ ἄρχων ἐντολῆς (ἐν Ἰταλοῖς) ἑρμηνεύεται· τούτου ἡ οἰκία, ὅ ἐστιν ἡ ἐκκλησία, ἡγεῖται τῶν ταπεινῶν. τὸ δὲ ἴδιον τοῦ λόγου ἐρωδιός (ἀρωδιός) ἐστι πετεινὸν μέγα ἐν ἐκείνῳ τῷ τόπῳ καὶ οἱ στρουθοὶ ἀεὶ ἀκολουθοῦσιν αὐτῷ, ὡς φιλοῦντες αὐτόν.*

18. ὄρη] *Τέρπονται γὰρ αἱ ἔλαφοι ἐν τοῖς ὑψηλοῖς ὄρεσιν· ὄρη*[1] *δέ εἰσι τὰ δόγματα τῶν προφητῶν, ἐν οἷς αἱ ἱεραὶ ἔλαφοι τοῦ λόγου, οἱ ἀπόστολοι, ὑπερπηδήσαντες ἐφώτισαν τὴν οἰκουμένην.*

πέτρα] *Τοῖς ἀνθρώποις,*[2] *ὧν ὁ βίος ἐλαφρὸς ὡς σκιά, τούτοις καταφυγὴ καὶ σωτηρία ἡ πέτρα ἐγένετο, ἐν ᾗ ἐσταυρώθη ὁ Χριστός.*

19. ἐποίησεν] *Τὴν ἐκκλησίαν λέγει, ὡς φωτίζουσαν τὸν ἄνθρωπον, ἥτις κατὰ καιρὸν γεννῶσα τοὺς ἀνθρώπους οὐ παύεται.*

ὁ ἥλιος] *Ὁ Χριστός, ὁ ἥλιος τῆς δικαιοσύνης, ἡνίκα κατέδυσεν ἐν τῷ ᾅδῃ, ἵνα σκυλεύσῃ αὐτόν.*

20. ἔθου] *Τὸ σκότος λέγει, τὸ γενόμενον ἐπὶ τοῦ πάθους, ἡνίκα ἦν ὁ Χριστὸς ἐπὶ τοῦ σταυροῦ. εἰς τάξιν γὰρ νυκτός ἐστιν (ἐτάγη).*

ἐν αὐτῇ] *Ὁ πιστὸς λαός, ὁ ἐξ ἐθνῶν, ὡς θηρία δρυμοῦ τῇ συνοχῇ (ἐνοχῇ) τῶν εἰδώλων, τῷ πάθει (τὸ πάθος) τοῦ Χριστοῦ πιστεύσαντες (πιστεύσαντα), διῆλθον εἰς τὸ φῶς τῆς πίστεως ⟨ἀληθείας⟩.*

21. σκύμνοι] *Ἐλίμωσσον γὰρ καὶ ὠρύοντο τοῦ εὑρεῖν τὸν ἄρτον τῆς ζωῆς, καὶ εὑρόντες ἥρπασαν καὶ τρέφονται ἐν αὐτῷ.*

22. ἀνέτειλεν] *Ὁ Χριστός, ἐγερθεὶς ἐκ νεκρῶν, ὡς ἥλιος συνῆξε τοὺς διεσκορπισμένους εἰς ἕνα συνδεσμὸν τῆς πίστεως καὶ εἰρήνης.*

καὶ ἐν ταῖς μάνδραις] *Ἐν ταῖς ἐκκλησίαις κοιτασθήσονται, τουτέστιν ἡσυχάζειν στέρξουσι.*

23. ἐξελεύσεται] *Ἕκαστος τῶν ἀνθρώπων λοιπὸν ἐξελεύσεται ἐπὶ τὸ ἔργον τῶν ἀρετῶν τοῦ ἐργάζεσθαι καὶ ποιεῖν τὰς ἐντολὰς αὐτοῦ. εἰσὶ δὲ οἱ ἀπόστολοι, οἱ ἐξελθόντες ἐπὶ τὴν ἐργασίαν τοῦ εὐαγγελικοῦ κηρύγματος. τούτων μένει τὸ ἔργον ⟨κλίνη?⟩ ἕως τῆς συντελείας τοῦ αἰῶνος. αὕτη γάρ ἐστιν ἡ ἑσπέρα ἡ κατὰ πάντων.*

καὶ ἐπὶ τὴν ἐργασίαν] *Ἕως γὰρ τοῦ θανάτου λοιπὸν οὐ δύναται ἀμελεῖν τοῦ ἔργου τοῦ ἀγαθοῦ ὁ*

---

[1] V. post *ὄρεσιν* persequitur sic: *τέρπονται δὲ καὶ οἱ πιστοὶ ἐν τοῖς λόγοις τῶν προφητῶν κτλ.*, et post *λόγου*: *ὑπερπηδήσασαι ἐφώτισαν τὴν οἰκουμένην.*

[2] V. praecedit: *ὥσπερ αἱ ὀπαὶ τῶν πετρῶν καταφυγή εἰσι τοῖς λαγωοῖς, οὕτω καὶ*

πιστὸς ἄνθρωπος. ἑσπέραν δὲ λέγει τὸν θάνατον.

24. ὡς ἐμεγαλύνθη] Ἐκπληττόμενος ὁ προφήτης τὴν δόξαν τοῦ θεοῦ θαυμάζει ἐπὶ τοῖς μυστηρίοις καὶ τοῖς θαυμασίοις, οἷς ὁ θεὸς ἐποίησε διὰ τὸν ἄνθρωπον.

ἐπληρώθη] Ἡ αἰσθητὴ γῆ, ὅτι πολλὰ ἐν αὐτῇ ἐποίησε θαύματα· ἀλλὰ καὶ ἡ νοητὴ γῆ, ὅ ἐστιν ὁ ἄνθρωπος, ἐπληρώθη τῆς χάριτος, ἧς παρέσχεν αὐτῷ διὰ τῆς παρουσίας ὁ θεὸς λόγος.

25. αὕτη ἡ θάλασσα] Τὴν θάλασσαν λέγει τὴν τοῦ βίου, ἥτις πρὸς ἀλήθειαν μεγάλη καὶ πλατεῖα, ὡς πάντα ⟨π. ἐντὸς⟩ ἔχουσα καὶ καταπίνουσα.

ἐκεῖ ἑρπετά] Διάφοροι γὰρ καὶ ἀναρίθμητοί εἰσιν αἱ ἰδέαι τῶν ἀνθρώπων, τῶν ἐν αὐτῇ τρεφομένων δίκην ἑρπετῶν.

ζῷα] Πλούσιοι καὶ πένητες, ὑψηλοὶ καὶ ταπεινοί, δοῦλοι καὶ δεσπόται.

26. ἐκεῖ πλοῖα] Αἱ ἐκκλησίαι, ὡς ἐν πελάγει τοῦ βίου νηχόμεναι ἐν αἷς διασῴζονται οἱ πιστοί.

δράκων] Λέγει τὸν διάβολον· ἐμπαίζεται γὰρ ὑπὸ τῶν ἐκκλησιῶν, τουτέστιν καταπατεῖται. ἐν αὐταῖς γὰρ ἡ κεφαλὴ αὐτοῦ ἀπετμήθη διὰ τῶν ἁγίων.

27. πάντα πρὸς σέ] Τὴν τροφὴν λέγει τὴν μυστικήν, ἥτις κατὰ καιρὸν δέδοται τοῖς ζητοῦσιν.

28. δόντος σου] Λαβόντες γὰρ οἱ ἄνθρωποι τὰ μυστικὰ ταῖς χερσὶν ἀσφαλίζονται πρὸς ἑαυτοὺς ὡς ὑπάρχοντα.

ἀνοίξαντος] Ὅταν γὰρ ὁ θεὸς ἀνοίξῃ τὰ σπλάγχνα αὐτοῦ, διὰ τῆς χειρὸς αὐτοῦ πληροῦται πᾶσα ἡ κτίσις (γῆ) ἀγαθότητος καὶ ἐλέους.

29. ἀποστρέψαντος] Ὅταν γὰρ ὀργισθεὶς (ὀργισθῇ) ὁ θεὸς [καὶ] ἀποστρέψῃ τὸ πρόσωπον ἀπὸ τοῦ ἀνθρώπου, ἐν φόβῳ πολλῷ ταράσσεται ὁ ἄνθρωπος ὡς γήϊνος.

ἀντανελεῖς] Λέγει τὸν θάνατον τοῦ ἀνθρώπου καὶ παντὸς ζῶντος.

καὶ εἰς τὸν χοῦν] Δῆλον ἀπολαμβάνει γὰρ ἡ γῆ τὴν γῆν.[1]

30. ἐξαποστελεῖς] Ἐν τῇ ἀναστάσει τῶν νεκρῶν· ἑκάστη γὰρ ψυχὴ ἀπολαμβάνει τὸ ἴδιον σκήνωμα (σκῆνος).

καὶ ἀνακαινιεῖς] Ὥσπερ οὐρανοὺς καινοὺς καὶ γῆν καινὴν δείκνυσιν ὁ ποιητὴς τοῖς ἁγίοις.

31. ἤτω ἡ δόξα] Μόνη γὰρ ἡ δόξα κυρίου διαμένει ἄτρεπτος εἰς τοὺς αἰῶνας.

εὐφρανθήσεται] Ποίοις ἔργοις; οἷς παραδόξως ἔπραξεν, ἵνα σώσῃ τὸν ἄνθρωπον.

32. ὁ ἐμβλέπων] Βλέμμα γὰρ ποιητοῦ ἡ γῆ οὐ φέρει, πλὴν ὅτι φανέντος τοῦ Χριστοῦ (κυρίου) ἡ γηΐνη πολιτεία τρόμῳ πολλῷ (φόβῳ) συνεσχέθη ὡς μέλλουσα ἀφανίζεσθαι.

---

[1] V. add. κατὰ τὴν τοῦ κυρίου ἀπόφασιν τὴν λέγουσαν, ὅτι γῆ εἶ καὶ εἰς γῆν ἀπελεύσῃ.

ὁ ἁπτόμενος] Τοῦ διαβόλου καὶ τῶν δαιμόνων αὐτοῦ· ὄρη γὰρ καὶ αὐτοὺς ἡ γραφὴ προσηγόρευσεν. τούτων γὰρ ὅταν ἅψηται καὶ μόνη ἡ ἀπειλή, ὡς καπνὸς διαλύονται καὶ ἀφανίζονται.

33. ᾄσω] Ζῶν γὰρ ὁ ἄνθρωπος δοξολογεῖ τὸν θεόν· οὐ γὰρ οἱ ἐν ᾅδου, [φησίν,] αἰνέσουσί σε, ἀλλ' ἡμεῖς οἱ ζῶντες εὐλογήσομεν τὸν θεόν (κύριον).

ψαλῶ] Πέπαυται γὰρ μετὰ θάνατον ὁ ψαλμός, κλεισθέντος τοῦ στόματος τοῦ ἀνθρώπου.

34. ἡδυνθείη] Ἥδεται γὰρ ὁ θεὸς τῇ συνομιλίᾳ τῶν ἁγίων.

ἐγὼ δέ] Ὁ προφήτης λέγει, ἐφ' οἷς προανεφώνησε· [χαίρει γὰρ,] ὅτι εἰς πέρας ἐγένοντο.

35. ἐκλίποισαν] Οἱ δαίμονες ἀπὸ (ἐκ) τῆς γῆς, ὡς Χριστοῦ ἐπιδημήσαντος. λέγει δὲ καὶ τοὺς ἁμαρτωλοὺς ἀνθρώπους ἐκ τῆς γῆς τῶν πιστῶν, ὅ ἐστιν ὁ παράδεισος.

καὶ ἄνομοι] Οἷος ὁ θεμέλιος τοῦ ψαλμοῦ, τοιαύτη καὶ ἡ στεφάνη. πανταχοῦ γὰρ ὁ πιστὸς ἄνθρωπος ἀεὶ τὴν ψυχὴν πρὸς εὐχαριστίαν προτρέπει.

CIV.

Ἀλληλούια] Τοῦτο ἑρμηνεύεται μὲν αἶνος τῷ ζῶντι θεῷ, σημαίνει οὖν τὴν προφητείαν τοῖς πιστοῖς, ὡς ὀφείλει ἀεὶ εὐλογεῖν τὸν Χριστόν (τὸν κύριον).

1. Ἐξομολογεῖσθε] Προτροπὴ τῶν πιστῶν, ὥστε προθύμως καὶ ἐν ὅλῃ ψυχῇ ἐξομολογεῖσθαι ἕκαστον τὰς ἁμαρτίας αὐτοῦ καὶ ἐπικαλεῖσθαι διηνεκῶς τὸν κύριον.

ἀπαγγείλατε] Τῷ λαῷ τῶν Ἑβραίων ἐπιτάσσει τὸ πνεῦμα· διηγήσασθε, φησίν, τοῖς ἔθνεσι [τὰ ἔργα αὐτοῦ], ὅσα ἐποίησε ὑμῖν ὁ θεός.

2. ᾄσατε] Ὁ λαὸς ὁ πιστός· ᾄδετε, φησί, διηνεκῶς ὡς σωθέντες ὑπὸ θεοῦ.

διηγήσασθε] Ὅσα ἐθαυματούργησεν ἐκλεξάμενος τὰ ἔθνη ὁ Χριστός.

3. ἐπαινεῖσθε] Ἐν τῷ ὀνόματι γὰρ τοῦ Χριστοῦ τὸν ἔπαινον καὶ τὴν χάριν ἔσχον τὰ ἔθνη πιστεύσαντα.

εὐφρανθήτω] Ὅσοι γὰρ δι' ἔργων ἀγαθῶν ζητοῦσι τὸν κύριον, οὗτοι εὐφραίνονται τῇ κατὰ θεὸν χαρᾷ. αἰνίττεται δὲ τὰ ἔθνη, ὅτι ἐζήτησαν καὶ εὗρον.

4. ζητήσατε] Οἱ γὰρ ζητοῦντες τὸν κύριον ἐν ὅλῃ ψυχῇ, πάσῃ δυνάμει κραταιοῦνται κατὰ τῶν ἐχθρῶν, καὶ αἰσθητῶν καὶ νοητῶν.

—] Ὧδε γὰρ τὸ πνεῦμα τὸ ἅγιον παρακελεύεται τὸν ἐξ ἐθνῶν λαόν, ὥστε ἐν ὅλῃ καρδίᾳ αὐτῶν ἐπιστρέφειν πρὸς κύριον καὶ ζητεῖν τὴν δόξαν τοῦ προσώπου αὐτοῦ.

5. μνήσθητε] Πρὸς τὸν Ἰσραὴλ ὁ λόγος, τουτέστιν μνημονεύετε ἄρα, ὅσα ὁ θεὸς ἐποίησε ὑμῖν (ἡμῖν).

τὰ τέρατα] Ὅσα ἐτερατούργησεν ὑπὲρ ὑμῶν ὁ θεός, ὅσας κρίσεις ἐποίησεν [ἐν] τοῖς ἔθνεσι καὶ [ὑμεῖς] οὐ συνήκατε.

6. σπέρμα] Σπέρμα μὲν τοῦ Ἀβραὰμ καὶ δούλους θεοῦ λέγει τοὺς ἐξ αὐτῶν πιστεύσαντας.

υἱοὶ Ἰακώβ] Υἱοὶ Ἰακὼβ ὁ λαὸς ὁ πιστός· Ἰακὼβ γὰρ ἑρμηνεύεται ὁ Χριστός· αὐτοῦ δὲ υἱοὶ ἐκλεκτοὶ τὰ ἔθνη.

7. αὐτὸς κύριος] Αὐτὸς πρὸ τῶν αἰώνων, αὐτὸς καὶ εἰς τοὺς αἰῶνας.[1]

ἐν πάσῃ τῇ γῇ] Πανταχοῦ γὰρ τῆς γῆς ἐξακουστὰ ἐγένοντο ὁ νόμος καὶ ἡ χάρις.

8. ἐμνήσθη] Τῆς πρὸς τὸν Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακὼβ λέγει καὶ διὰ τοῦτο περιεποιήσατο αὐτοὺς ἐν πάσαις ταῖς θλίψεσιν αὐτῶν.

λόγου] Αἰνίττεται τὸν Χριστόν, ὃν μετὰ χιλίας γενεὰς ἐφανέρωσεν [τῷ κόσμῳ] ὁ θεὸς καὶ πατήρ.

9. ὃν διέθετο] Ἐξ αὐτῶν γὰρ τὸ κατὰ σάρκα ὀφθῆναι (ὤφθη) ὁ Χριστὸς (θεὸς) [καὶ] πρὸ αἰώνων ἐβουλεύσατο.

10. καὶ ἔστησεν] Τὴν παρθένον τὴν θεοτόκον λέγει· ἐξ Ἀβραὰμ γὰρ καὶ Ἰσαὰκ καὶ Ἰακὼβ τὸ γένος αὐτῆς. ὤμοσε (ὥρκισε) γὰρ καὶ οὐ μετεμελήθη.

καὶ τῷ Ἰσραήλ] Τῷ νοητῷ Ἰσραήλ, ὅ ἐστιν ὁ Χριστός· εἰς τὸν αἰῶνα γὰρ τοῦ αἰῶνος μένει ἀσάλευτα τὰ τῆς παρθένου μυστήρια.

11. λέγων] Λέγει τὴν παρθένον τὴν θεοτόκον· γῆ γὰρ αὕτη (αὐτὴ) τῆς ἐπαγγελίας λέγεται. Χαναὰν γὰρ ἑρμηνεύεται ἐπίγνωσις, ἐξ αὐτῆς δὲ ἡ γνῶσις τοῖς ἀνθρώποις ἐδόθη.

σχοίνισμα] Σχοίνισμα κληρονομίας ἐστὶ κατάστασις (κατάσχεσις)· οἱ γὰρ ἐξ Ἰσραὴλ πιστεύσαντες ἐκληρονόμησαν τὸν θεόν (τὸν Χριστόν).

12. ἐν τῷ εἶναι] Πάνυ γὰρ ἦσαν οἱ Ἰσραηλῖται ὀλιγοστοί ποτε πρὸς τὰ ἔθνη καὶ ὑπερυψώθησαν ὑπὲρ πάντας.

ὀλιγοστούς] Ἐν τῇ γῇ τῆς ἐπαγγελίας τῆς αἰσθητῆς, μᾶλλον δὲ καὶ τῆς νοητῆς, ὡς ἄπιστοι.

13. καὶ διῆλθον] Διάμεσον γὰρ τῶν ἐθνῶν ἐπορεύοντο ἀβλαβεῖς, μᾶλλον δὲ ἀπὸ τοῦ ἰουδαϊκοῦ ἔθνους εἰς τὰ ἔθνη τὰ πιστεύσαντα ὁ λόγος διῆλθεν.

ἐκ βασιλείας] Ἡ γὰρ βασιλεία τοῦ Ἰσραὴλ καὶ ἡ δόξα μετῆλθεν εἰς τὰ ἔθνη τὰ πιστεύσαντα.

14. οὐκ ἀφῆκεν] Οὐδέποτε γὰρ συνεχώρησεν ὁ θεὸς ἀδικῆσαί τινα τὸν Ἰσραήλ· αὐτὸς δὲ ἀγνώμων πρὸς πάντας ἐγένετο.

καὶ ἤλεγξεν] Πολλοὺς γὰρ βασιλεῖς τῶν ἐθνῶν διὰ τὸν Ἰσραὴλ κατέαξε καὶ ἐξωλόθρευσε. λέγει δὲ τοὺς δαίμονας, οἳ ἐβασίλευσαν τοῦ ἀνθρώπου.

---

[1] Interpretatio huius versiculi in slav. textu abest.

15. μὴ ἅψησθε] Λέγει τοὺς βασιλεῖς τοῦ λαοῦ, ὅσοι ἐχρίοντο. νόει δὲ τοὺς πιστούς, ὅσοι τῷ χρίσματι χρίονται τοῦ βαπτίσματος.

καὶ ἐν τοῖς προφήταις] Τί κακῶς λέγετε τοὺς προφήτας; ἀφ' ἑαυτῶν γὰρ οὐ λαλοῦσιν, ἀλλὰ ὁ θεός ἐστιν ὁ λαλῶν ἐν αὐτοῖς.[1]

16. καὶ ἐκάλεσεν] Ἐπὶ τὴν γῆν τῆς Αἰγύπτου λιμὸν ἄρτου, ἀλλὰ καὶ νοητὸν λιμὸν ἐπὶ τοὺς ἀνθρώπους.

πᾶν στήριγμα] Καὶ αἰσθητοῦ καὶ νοητοῦ· οὔτε γὰρ τοῦτον εἶχον οὔτε ἐκεῖνον εὕρισκον δι' ἀπιστίαν [ἄμφω].

17. ἀπέστειλεν] Τὸν Χριστὸν λέγει· τύπος γὰρ αὐτοῦ ἦν ὁ Ἰωσὴφ ἐν Αἰγύπτῳ, τὸν λιμὸν διοικῶν τῇ φρονήσει.

εἰς δοῦλον] Τύπος γὰρ ἦν τοῦ Χριστοῦ, ὃς ἐπράθη ὑπὸ τοῦ Ἰούδα. οὕτως κἀκεῖνος, ἄμφω ὑπὸ τῶν ἀδελφῶν.

18. ἐταπείνωσαν] Δήσαντες γὰρ τὸν Ἰησοῦν (Ἰωσὴφ) ἀπήγαγον.

σίδηρον] Ὁ Ἰωσὴφ μαχαίρας ἐρρύσθη, ὁ Χριστὸς τῇ λόγχῃ τὴν πλευρὰν ἐκεντήθη.

19. μέχρι τοῦ ἐλθεῖν] Τῷ Ἰωσὴφ ὁ λόγος τῶν ἐνυπνίων, τῷ Χριστῷ ὁ λόγος τοῦ πατρός· οὗτός ἐστιν ὁ υἱός μου ὁ ἀγαπητός.

τὸ λόγιον] Τὸν Ἰωσὴφ ἐθέρμανεν ἡ σοφία τοῦ θεοῦ· τὸν Χριστὸν ἐδόξασεν ὁ λόγος τοῦ πατρός.

20. ἐξαπέστειλεν] Τὸν Ἰωσὴφ Φαραώ, τὸν Χριστὸν ὁ Ἡρώδης.

ἄρχων λαῶν] Τὸν Ἰωσὴφ ὁ τριστάτης (πάρεδρος) τοῦ βασιλέως, τὸν Χριστὸν ὁ Πιλᾶτος.

21. κατέστησεν] Ὁ Φαραὼ τὸν Ἰωσὴφ τοῦ ἰδίου οἴκου· ὁ Χριστὸς τῆς ἐκκλησίας ἐγένετο κύριος.

καὶ ἄρχοντα] Τὸν Ἰωσὴφ ὁ Φαραὼ τῆς γῆς αὐτοῦ· ὁ Χριστὸς πάσης τῆς κτίσεως ἐβασίλευσεν.

22. τοῦ παιδεῦσαι] Ὁ Ἰωσὴφ τοὺς ἄρχοντας τοῦ Φαραώ· ὁ Χριστὸς τοὺς μαθητὰς ἄρχοντας καταστήσας ἐπὶ πᾶσαν τὴν γῆν.

καὶ τοὺς πρεσβυτέρους] Ὁ Ἰωσὴφ τοὺς παλαιοὺς τοῦ Φαραὼ ἐπέστρεψε συνετούς· ὁ Χριστὸς τοὺς προφήτας σοφίσας τὰ ἑαυτοῦ μυστήρια.

23. καὶ εἰσῆλθεν] Ὁ αἰσθητὸς διὰ τοῦ Ἰωσήφ, καὶ ὁ νοητός, ὅ ἐστιν ὁ Χριστός, καὶ οὗτος (αὐτὸς) διὰ τοῦ Ἰωσήφ· Ἰσραὴλ γὰρ ὅρασις θεοῦ ἑρμηνεύεται.

καὶ Ἰακώβ] Ὁ αἰσθητὸς Ἰακὼβ τῇ Αἰγύπτῳ, ὡς καὶ αὐτὴ θερμαίνουσα (θερμὴ οὖσα)· ὁ νοητὸς τῇ κτίσει, ὡς θερμανθεῖσα τῇ ἁμαρτίᾳ (ὑπὸ τῆς ἁμαρτίας).

24. καὶ ηὔξησεν] Ὁ Ἰωσὴφ τὸν λαὸν τῶν Ἑβραίων, ὁ Χριστὸς τὸν λαὸν τῶν ἐθνῶν.

καὶ ἐκραταίωσεν] Τὸν λαὸν τῶν Ἑβραίων ὑπὲρ τοὺς Αἰγυπτίους· ὁ

---

[1] V. add. post λαλοῦσιν haec: δῆλον ὁ Ἠλιοὺ καὶ ἕτεροι τῶν προφητῶν.

Χριστὸς τὸν λαὸν τῶν ἐθνῶν ὑπὲρ τοὺς δαίμονας.

25. *καὶ μετέστρεψεν*] *Τῶν Αἰγυπτίων τὴν καρδίαν μετέβαλεν, ἵνα μισήσωσι τὸν λαὸν τῶν Ἑβραίων· τῶν ἐθνῶν τὴν καρδίαν ὁμοίως μετέβαλεν, ἵνα μισήσωσι τοὺς δαίμονας.*

τοῦ δολιοῦσθαι] *Δόλῳ γὰρ οἱ Ἑβραῖοι τοὺς Αἰγυπτίους ἐσκύλευσαν, καὶ τὰ ἔθνη ἐσκύλευσαν τοὺς δαίμονας.*

26. *ἐξαπέστειλεν*] *Μωυσῆς τύπος τοῦ Χριστοῦ· οὗτος γὰρ τεχθεὶς εἰς τὴν θίβην ἐβλήθη· ὁ Χριστὸς τεχθεὶς ἐν τῇ φάτνῃ ἐτέθη.*

Ἀαρὼν ὤν] *Τὸ πνεῦμα τὸ ἅγιον. Ἀαρὼν γὰρ πνεῦμα ἑρμηνεύεται. οὗτοι τῷ λαῷ ἀπεστάλησαν, ὁ Χριστὸς καὶ τὸ πνεῦμα αὐτοῦ τῷ λαῷ πιστῷ εὐδόκησαν.*

27. *ἔθετο*] *Διὰ Μωυσέως καὶ Ἀαρὼν τὰ σημεῖα τὰ ἐν Αἰγύπτῳ· διὰ τοῦ Χριστοῦ τὰ σημεῖα τῆς αὐτοῦ παρουσίας τῷ λαῷ τῷ πιστῷ.*

καὶ τῶν τεράτων] *Ἐκεῖ γὰρ ἐτερατούργησαν ἐκεῖνοι, ὁ Χριστὸς δὲ ἐν τῇ ἐπιγνώσει τῶν ἐθνῶν. Χὰμ γὰρ ἐπίγνωσις* (Ambr. e conjectura *ἔγκαυσις*) *ἑρμηνεύεται.*

28. *ἐξαπέστειλεν*] *Τότε τοῖς Αἰγυπτίοις· ἐσήμανε γὰρ τὸ σκότος τὸ ἐπὶ τοῦ σταυροῦ μέλλον γίνεσθαι.*

καὶ παρεπίκραναν] *Ἐδίστασαν γὰρ Μωυσῆς καὶ Ἀαρών, ὡς ἐπὶ τοῦ σταυροῦ οἱ ἀπόστολοι.*

29. *μετέστρεψεν*] *Τότε τοῖς Αἰγυπτίοις τὸν ποταμὸν εἰς αἷμα μετέβαλεν, ἵνα σημάνῃ τὸ αἷμα τὸ ἐκ τῆς πλευρᾶς τοῦ Χριστοῦ ἐξελθόν.*

καὶ ἀπέκτεινεν] *Τότε τοῖς ποταμοῖς (τοῦ ποταμοῦ) τῆς Αἰγύπτου. ἐν δὲ τῷ ποταμῷ τῆς ἀσεβείας τοὺς δαίμονας ὡς ἀλληλοφάγους ἀπέκτεινε τῷ αἵματι (τὸ αἷμα) τοῦ Χριστοῦ.*

30. *ἐξῆρψεν*] *Τότε τῶν Αἰγυπτίων ἡ γῆ ζῷα βδελυρά, ὡς τὸ γήϊνον φρόνημα τὰς βδελυρὰς ἁμαρτίας (φρον. τῆς ἁμαρτίας).*

ἐν τοῖς ταμείοις] *Οὔτε γὰρ αἱ κοῖται τῶν βασιλέων εὐκαίρουν ἀπὸ τῶν βατράχων.*

31. *εἶπεν*] *Εὐάλωτα καὶ σικχαντὰ (μιαντὰ) ζῷα.*

καὶ σκνῖπες] *Εὐτελῆ καὶ μικρὰ ζῷα, ἵνα μάθωσιν, ὅτι καὶ διὰ τούτων δύναται ὁ θεὸς πολεμεῖν, ὅπως δείξῃ αὐτοῖς, ὅτι ὑψηλοφρονοῦντες δι' εὐτελῶν ζῴων ἐταπεινώθησαν.*

32. *ἔθετο τὰς βροχάς*] *Ἀπαραίτητον ὀργὴν καὶ ἄφυκτον (ἄφευκτον).*

πῦρ] *Ἵνα ἐξαναλώσῃ αὐτῶν πᾶσαν τὴν γήϊνην πολιτείαν.*

33. *καὶ ἐπάταξεν*] *Τότε μὲν τῶν Αἰγυπτίων, μετέβη δὲ εἰς τὸν λαὸν τῶν Ἰουδαίων ἡ πληγή. τὰς γὰρ ἀμπέλους αὐτῶν ἠφάνισεν, ἵνα μὴ τῷ μυστικῷ οἴνῳ ἐνυγρανθῶσιν. καὶ τὰς συκᾶς δὲ ἅμα, ἵνα μὴ γλυκανθῶσι (πιανθῶσι) τῇ γλυκύτητι τοῦ νόμου.*

καὶ συνέτριψεν] *Ἀφ' οὗ γὰρ ὁ σταυρὸς ἐφάνη, πάντα τὰ εἴδωλα συνετρίβησαν τὰ ξύλινα, ἐν πάσῃ*

τῇ γῇ, καὶ τοῦτο ἦν τὸ σημαινόμενον.

34. εἶπεν] Τὰ ἔθνη λέγει τὰ πιστεύσαντα· ὡς γὰρ ἀκρὶς ἐκάλυψαν πᾶσαν τὴν γῆν καὶ ὡς (ὡς δὲ) βροῦχος κατέφαγον πᾶσαν τὴν ἰουδαϊκὴν γενεάν (πᾶν τὸ ἰουδαϊκὸν γένος).

35. καὶ κατέφαγεν] Τῆς γηΐνης πολιτείας· ἦσαν γὰρ ὡς χόρτος ἄκαρπος.

—] Καὶ τῆς αἰγυπτιακῆς [γῆς], δῆλον, ἐξαιρέτως δὲ τοῦ γηΐνου φρονήματος τὸν καρπόν, ὅ ἐστιν ἡ ἁμαρτία.

36. καὶ ἐπάταξεν] Ὅπως [καὶ] ἐν παντὶ οἴκῳ τῆς Αἰγύπτου ἴδωσι πληγὴν καὶ θρῆνον, ἵνα ἴδωσι (γνῶσι) τοῦ θεοῦ τὴν δύναμιν ⟨ὀργήν⟩. λέγει δὲ τὰ ἀκροθίνια τῆς ἁμαρτίας, ὅπως ἐλθὼν ὁ Χριστὸς κατήργησεν αὐτά.

ἀπαρχήν] Πάντα τὰ ἀκροθίνια αὐτῶν καὶ ἔντιμα αὐτῶν[1] [ὁ Χριστὸς] ἐπάταξεν, ἵνα γνῶσιν, ὅτι ὁ θεὸς ὑπὲρ αὐτῶν ἐπολέμει.

37. καὶ ἐξήγαγεν] Ἐσκύλευσαν γὰρ οἱ Ἰσραηλῖται τοὺς Αἰγυπτίους, ὡς ὁ λαὸς ὁ πιστὸς τοὺς δαίμονας.

καὶ οὐκ ἦν] Τεσσαράκοντα γὰρ ἔτη ἐν τῇ ἐρήμῳ οὐδεὶς τοῦ λαοῦ ἠσθένησεν.

38. εὐφράνθη] Ἐχάρησαν οἱ Αἰγύπτιοι ἐξελθόντος τοῦ λαοῦ, ἐφοβοῦντο γὰρ τοὺς Ἑβραίους.

ὅτι ἐπέπεσεν] Πολὺ γὰρ ἐφοβοῦντο οἱ Αἰγύπτιοι τοὺς Ἰσραηλίτας, ὅτι ἦν χάρις θεοῦ ἐπ' αὐτοῖς.

39. διεπέτασεν] Τοῖς Ἰσραηλίταις τοῦ φυλάττεσθαι (ἵνα φυλάττωνται) ἀπὸ τοῦ καύσωνος τοῦ ἡλίου· τύπος δὲ ἦν ἡ νεφέλη τοῦ σώματος τοῦ Χριστοῦ. ἐν αὐτῷ (αὐτῇ) γὰρ σκέπονται οἱ πιστοὶ ἀπὸ τοῦ καύσωνος τῆς ἁμαρτίας.

καὶ πῦρ] Τότε [γὰρ] ὁ στῦλος τοῦ πυρὸς προῆγεν τὸν λαόν, ἵνα μὴ πλανῶνται τὴν ὁδόν. προεδήλου δὲ τὸ πῦρ τὸ τοῦ πνεύματος, περὶ οὗ γέγραπται ⟨ὁ Ἰωάννης φησί⟩· αὐτὸς ὑμᾶς βαπτίσει ἐν πνεύματι ἁγίῳ καὶ πυρὶ τῷ φωτίζοντι τοὺς πιστούς.

40. ἤτησαν] Ἔδωκε γὰρ αὐτοῖς τότε σωματικὴν καὶ ἔμψυχον τροφήν, ἵνα σημάνῃ, ὅτι σώματι καὶ αἵματι μέλλει τρέφειν τοὺς πιστούς, [ἢ διδάξαι σε τὰ ἑπόμενα].

καὶ ἄρτον] Πετεινὰ γὰρ ἤσθιον, διὸ λέγει οὐρανοῦ· ἐσήμαινε δὲ τὸν ἄρτον τὸν ἐξ οὐρανοῦ καταβαίνοντα (καταβάντα) τοῖς πιστοῖς, ὅ ἐστιν ὁ Χριστός.

41. διέρρηξεν] Τὴν πέτραν λέγει τὴν ἀκρότομον, ἐσημαίνετο δὲ ἡ πλευρὰ τοῦ Χριστοῦ, καθὼς καὶ ὁ ἀπόστολος φησίν· ἡ δὲ πέτρα ἦν ὁ Χριστός.

ἐπορεύθησαν] Προετυποῦτο δὲ (γὰρ) ἡ ἐκκλησία καὶ τὸ βάπτισμα· ἄνυδρος γὰρ ἡ ἐκκλησία ἦν πρὸ τοῦ λαβεῖν τὴν χάριν τοῦ βαπτίσματος.

42. ὅτι ἐμνήσθη] Περὶ τοῦ Χριστοῦ ὁ λόγος· μνησθεὶς γὰρ τῶν

---

[1] V. loco καὶ ἔντιμα αὐτῶν scribit (ἔπαταξεν) καὶ τὰ ἐνδύματα αὐτῶν.

ἐθνῶν ἦλθεν ὁ θεὸς λόγος σῶσαι τὸν ἄνθρωπον.

τοῦ πρὸς Ἀβραάμ] Ἐξ Ἀβραὰμ γὰρ τὸ κατὰ σάρκα.

43. καὶ ἐξήγαγεν] Τὸν λαὸν τῶν ἐθνῶν ἐκ τῆς συνοχῆς τῶν εἰδώλων ἐξήγαγεν [ἐν ἀγαλλιάσει]. ἐκεῖνος γὰρ τύπος ἦν τούτου.

καὶ τοὺς ἐκλεκτούς] Τοὺς[1] ἁγίους πάντας, οὓς (τοὺς) μετὰ τὴν ἐντεῦθεν ἔξοδον [ἐκεῖ] εὐφραίνει αἰωνίως.[2]

44. καὶ ἔδωκεν] Τοῖς Ἰσραηλίταις τότε, ὕστερον μέντοι (δὲ) ἐκείνους (ἀντὶ ἐκείνων) τὰ ἔθνη ἐκληρονόμησαν.

καὶ πόνους] Ταῦτα πάντα ἐποίει ὁ θεός, προτρεπόμενος αὐτοὺς εἰς θεοσέβειαν, ἀλλ' οὐ μετενόησαν, μετέβη δὲ (διὸ μετέβη) ὁ κλῆρος εἰς τὰ ἔθνη.

45. ὅπως ἂν φυλάξωσιν] Ἀλλ' οὐδὲ οὕτως ἐβουλήθησαν φυλάξαι.

καὶ τὸν νόμον] Ἥρπασαν δὲ τὸν κλῆρον τὰ ἔθνη, ἐπιστρέψαντα πρὸς κύριον.

CV.

Ἀλληλούια] Προτροπὴ τῶν πιστῶν, ὥστε ἀκαταπαύστως τὸν θεὸν ὑμνεῖν.[3]

1. ἐξομολογεῖσθε] Ἐξομολογεῖσθε, φησί, τοῖς προφήταις [τοσαύτην χρηστότητα καὶ] τοσοῦτον ἔλεος ὁρῶντες τοῦ θεοῦ, μὴ ἀθυμεῖτε, ἀλλὰ προσέλθατε· ἕτοιμος γὰρ ὁ θεὸς πάντας προσίεσθαι.[4]

2. τίς λαλήσει] Τίς, φησί, δυνατὸς εἰπεῖν, τί βεβούλευται (βούλεται) ὁ κύριος περὶ τοῦ ἀνθρώπου.

ἀκουστάς] Τίς, φησί, δύναται ἀξίως αἰνέσαι τὸν κύριον, καθώς ἐστιν, ἢ διηγήσασθαι τὸ πλῆθος τῆς αἰνέσεως, ἧς αἰνοῦσιν αἱ ἐπουράνιαι δυνάμεις.

3. μακάριοι] Μακάριοι γὰρ ἀληθῶς, ὅσοι τὴν ἡμέραν ἐκείνην τῆς κρίσεως πρὸ ὀφθαλμῶν ἔχουσι καὶ τὸ δίκαιον κρίνοντες τῷ πλησίον καὶ τὸ δίκαιον ἐργαζόμενοι διὰ παντός. στεφανοῦνται γὰρ οὗτοι καὶ δοξάζονται.

4. μνήσθητι] Ἐν τῷ θελήματί σου, φησίν, ᾧ ἔσωσας τὸν λαόν σου, τὸν Ἰσραήλ, μνήσθητι καὶ τοῦ λαοῦ σου τοῦ ἐξ ἐθνῶν, ὃν προώρισας.

ἐπίσκεψαι] Προανεφώνει γὰρ ὁ προφήτης δηλῶν τὴν πρόφασιν τοῦ Χριστοῦ.

---

[1] V. incipit sic: *Τοὺς ἐκλεκτοὺς αὐτοῦ ἐν εὐφροσύνῃ λέγει πάντας τοὺς ἁγίους οὓς κτλ.*

[2] Interpretatio slavica postulat graecum textum: *Τοὺς ἁγίους πάντας· μετὰ τὴν ἔξοδον ἐκεῖ εὐφραίνονται αἰωνίως.*

[3] V.: *Ἀλληλούια. Ἑρμηνεία· αἶνος θεοῦ ἑρμηνεύεται. ἔστι γὰρ τὸ μὲν ἀλλήλου· αἶνος. τὸ δὲ ἴα· θεός. διότι καὶ ἀντὶ τοῦ· αἰνεῖτε τὸν κύριον, ὅτι ἀγαθὸς ψαλμός· ἀλληλούια, ὅτι ἀγαθὸς ὁ Σύμμαχος τέθεικεν.*

[4] V. add. *καὶ πάλιν ὁ θεῖος ἀπόστολος φησίν· ἐὰν ἐξομολογεῖσθε τὰς ἁμαρτίας ἡμῶν, πιστός ἐστι καὶ δίκαιος ὁ θεός, ἵνα ἀφῇ ἡμῖν πάσας τὰς ἀνομίας καὶ τὰς ἁμαρτίας.*

5. τοῦ ἰδεῖν] Τοὺς ἀποστόλους, δῆλον· αὐτοὶ γὰρ ἐκλεκτοί, αὐτοὶ τὸν Χριστὸν τοῦ θεοῦ τοῖς ἀνθρώποις ὑπέδειξαν.

εὐφρανθῆναι] Τοῦ λαοῦ λέγει τοῦ ἐξ ἐθνῶν τὴν εὐφροσύνην τὴν μυστικήν, ἣν οἱ πιστοὶ εὐφραίνονται καθεκάστην.

τοῦ ἐπαινεῖσθαι] Συνεδοξάσθησαν γὰρ καὶ οἱ ἐξ Ἰσραήλ, πιστεύσαντες μετὰ τοῦ λαοῦ τοῦ ἐξ ἐθνῶν, ἐπαινεθέντες ὑπὸ (ἀπὸ) θεοῦ.

6. ἡμάρτομεν] Αὕτη ἡ φωνὴ τοῦ λαοῦ τῶν Ἑβραίων.

ἠνομήσαμεν] Προανεφώνει ὁ προφήτης τὴν μέλλουσαν ἔσεσθαι παρανομίαν ὑπὸ τῶν Ἰουδαίων εἰς τὸν Χριστόν.

7. οἱ πατέρες] Πολλὰ γὰρ ἔδειξεν αὐτοῖς σημεῖα καὶ θαύματα ἐν Αἰγύπτῳ ὁ θεός, τύπον φέροντα τοῦ Χριστοῦ, ἀλλ' οὐκ ἐνόησαν.

καὶ οὐκ ἐμνήσθησαν] Ἀχάριστον γὰρ ἀρχῆθεν τὸ ἔθνος.

καὶ παρεπίκραναν] Ἐθεωρουν γὰρ τὴν δύναμιν τοῦ θεοῦ καὶ τὴν θάλασσαν ξηραινομένην, καὶ οὐδὲ οὕτως ἐπίστευσαν.

8. καὶ ἔσωσεν] Οὐκέτι γὰρ τῇ σκληρᾷ αὐτῶν καρδίᾳ προσέσχεν, ἀλλὰ διὰ τὸ ὄνομα αὐτοῦ, ὅτι λαὸς θεοῦ ὠνομάζετο, οὐ παρέλιπε σώζων αὐτούς.

τοῦ γνωρίσαι] Ἵνα μάθωσι, πόσον ἰσχύει ὁ θεός.

9. καὶ ἐπετίμησεν] Ἔνευσε γὰρ ὁ θεός, καὶ τοὺς ὅρους τῆς φύσεως [ἡ θάλασσα] ἐπελάθετο.

καὶ ὡδήγησεν] Ἀκατάληπτον γὰρ ἦν τὸ ὕδωρ καὶ διὰ μέσου αὐτοῦ ἐπορεύοντο. τύπος δὲ ἦν τοῦ βαπτίσματος.

10. καὶ ἔσωσεν] Ἐκ τῶν Αἰγυπτίων τοὺς Ἑβραίους· ἐμίσουν γὰρ αὐτοὺς οἱ Αἰγύπτιοι. ἔσωσε δὲ καὶ τοὺς πιστοὺς τὸ βάπτισμα ἐκ τῶν δαιμόνων.

καὶ ἐλυτρώσατο] Ὡσαύτως ἐκείνους ἐκ τῶν Αἰγυπτίων καὶ τούτους ἐκ τῶν δαιμόνων, ἑκατέρους διὰ τοῦ ὕδατος.

11. καὶ ἐκάλυψεν] Τοὺς Αἰγυπτίους ἡ ἐρυθρὰ θάλασσα, τοὺς δαίμονας ἡ θάλασσα τῆς μετανοίας.

εἷς ἐξ αὐτῶν] Οὔτε τῶν αἰσθητῶν [Αἰγυπτίων] οὔτε τῶν νοητῶν, κατέκλυσε γὰρ ἄμφω τὸ ὕδωρ.

12. καὶ ἐπίστευσαν] Τοῖς λόγοις τοῦ Μωυσῆ καὶ Ἀαρὼν τότε, νῦν δὲ τοῖς λόγοις τῶν ἀποστόλων τὰ ἔθνη.[1]

καὶ ᾖνεσαν] Τότε σωθέντες ἐκ τῆς θαλάσσης ᾖσαν τὴν ᾠδὴν οἱ Ἰσραηλῖται· οἱ πιστοὶ ⟨δὲ⟩ σωθέντες ἐν τῷ βαπτίσματι διὰ τοῦ ὕδατος ᾄδουσι τὸ ᾆσμα τὸ καινόν.

13. ἐτάχυναν] Τότε οἱ Ἰσραηλῖται εὐθὺς ἐπελάθοντο τῶν θαυμάτων τοῦ θεοῦ· ὡσαύτως οἱ πιστοὶ ἐπελάθοντο τῶν ἔργων τῶν δαιμόνων.

---

[1] V.: Τῷ λόγῳ τοῦ Μωυσῆ τότε, νῦν δὲ οἱ πιστοὶ τῷ λόγῳ τοῦ εὐαγγελίου τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ· ὁμοίως ἐπίστευσαν τοῖς λόγοις τῶν ἀποστόλων τὰ ἔθνη.

οὐχ ὑπέμειναν] *Οὐκ ἐδέξαντο (ἐξεδέξαντο) μαθεῖν, τί βουλεύεται ὁ θεὸς περὶ αὐτῶν, ἀλλ' ἐβλασφήμουν τὸν θεόν· οὔτε μὴν οἱ πιστοὶ ἔστερξαν ἔτι τὴν βουλὴν τῶν δαιμόνων, ἀλλὰ ἀπώσαντο αὐτήν.*

14. καὶ ἐπεθύμησαν] *Οἱ Ἰσραηλῖται τότε ἐν τῇ ἐρήμῳ ἐτέλουν τὴν ἐπιθυμίαν (τὰς ἐπιθυμίας) τῆς ψυχῆς αὐτῶν· ἐπεθύμει δὲ καὶ τὰ ἔθνη τὰ μέλλοντα ἐν τῇ ἐκκλησίᾳ ἐπιτελεῖσθαι τὰ μυστήρια. ἔρημος γὰρ ἦν ἡ ἐκκλησία τὸ πρότερον.*

καὶ ἐπείρασαν] *Μὴ πιστεύοντες (πιστεύσαντες), ὅτι τῷ θεῷ πάντα δυνατά ἐστιν.*

15. καὶ ἔδωκεν] *Ὁ θεὸς ὡς ἀγαθὸς παρέσχεν ⟨αὐτοῖς τὰ αἰτήματα αὐτῶν⟩, ἵνα μὴ λάβωσιν ἀφορμὴν ἀπιστίας. ἔδωκε δὲ καὶ τοῖς ἔθνεσιν, ὃ ᾐτοῦντο ἀπὸ (παρὰ) θεοῦ.*

καὶ ἐξαπέστειλεν] *Ἐχόρτασεν αὐτοὺς ἐξ ἀοράτου ὡς θεός, ἐκεῖνοι δὲ ἠπίστησαν.*

16. καὶ παρώργισαν] *Ἐπανέστησαν γὰρ αὐτῷ, ὥστε θανατῶσαι αὐτόν· τύπος δὲ ἦν τοῦ Χριστοῦ ὁ Μωυσῆς.*

καὶ Ἀαρών] *Καὶ αὐτῷ γὰρ λίθους ἐπήγαγον, ἵνα δειχθῇ, πόσην ἀχαριστίαν (πόσον ἀχαριστίας) εἶχε (ἔχει) τὸ γένος τῶν Ἰουδαίων ἐξ ἀρχῆς.*

17. ἠνοίχθη] *Οὗτοι ὡς ἀρχίφυλοι μεγάλοι ἐξ ἀλαζονείας ὑπερήφανόν τι λογισάμενοι καὶ μὴ πιστεύσαντες τῷ θεῷ· ἐπανέστη ἡ γῆ [ἐπ' αὐτοὺς] καὶ ἐκάλυψεν αὐτοὺς ὡς γήϊνα φρονήσαντας.*

18. καὶ ἐξεκαύθη] *Τὴν ὀργὴν λέγει τοῦ θεοῦ, ἥτις ἐξεκαύθη [ὡς πῦρ] ἐπ' αὐτοὺς διὰ τὴν παρανομίαν αὐτῶν.*

καὶ φλόξ] *Ἐφλέχθησαν γὰρ ἐν πυρί, ὅσοι ἐστράφησαν τῶν Ἑβραίων (Ἰουδαίων) εἰς τὰ εἴδωλα.*

19. καὶ ἐποίησαν] *Χορὴβ ὄνομά ἐστιν τόπου· ἑρμηνεύεται δὲ ξηρασία. ὅσοι οὖν ἐξηράνθησαν τῇ ἐκκαύσει τῆς εἰδωλολατρείας, οὗτοι ἐποίησαν εἴδωλον [ἐκτύπωμα μόσχου] καὶ προσεκύνησαν αὐτῷ (αὐτό).*

καὶ προσεκύνησαν] *Τῷ εἰδώλῳ, ὅθεν ἐμισήθησαν παρὰ τοῦ θεοῦ.*

20. καὶ ἠλλάξαντο] *Ἵνα μάθωσιν, ὅτι κτηνώδεις ἐγένοντο καὶ κτῆνος ὡς θεὸν ἔχειν ἐπεθύμησαν.*

21. ἐπελάθοντο] *Μετὰ γὰρ τοσαύτας εὐεργεσίας καὶ δόξας, ἃς ἐποίησε μετ' αὐτῶν ὁ θεός, ἐπελάθοντο αὐτοῦ καὶ εἴδωλον ⟨εἴδωλα⟩ ἐσεβάσθησαν.*

21—22. τοῦ ποιήσαντος — ἐρυθρᾶς] *Ἦν γὰρ πολλὰ καὶ μεγάλα τὰ θαύματα, ἃ ὑπὲρ αὐτῶν ὁ θεὸς ἐποίησεν ἐν Αἰγύπτῳ καὶ ἐν τοῖς ἔθνεσι καὶ ἐπὶ τῆς ἐρυθρᾶς ⟨θαλάσσης⟩, ἀλλ' εἰς οὐδὲν ἐλογίσαντο ταῦτα ὡς ἀχάριστοι.*

23. καὶ εἶπεν] *Ἐζήτησε γὰρ ὁ θεὸς ἀπολέσαι αὐτοὺς ὡς ἀχαρίστους, ἀλλὰ Μωυσῆς ἐδεήθη ὑπὲρ αὐτῶν.*

εἰ μὴ Μωυσῆς] *Αὐτὸς γὰρ ἐδεή-*

θη τοῦ θεοῦ, λέγων· εἰ ἐξαλείφεις τὸν λαὸν τοῦτον, ἐξάλειψον κἀμὲ ἐκ τῆς βίβλου, ἧς ἔγραψάς με.[1]

τοῦ ἀποστρέψαι] Δυσωπηθεὶς δὲ ὁ θεὸς ἐφείσατο τοῦ λαοῦ.

24. καὶ ἐξουδένωσαν] Τὴν γῆν τῆς ἐπαγγελίας εἰς οὐδὲν ἡγήσαντο ὡς ἀχάριστοι, ὅθεν οὐκ ἠξιώθησαν εἰσελθεῖν εἰς αὐτήν (ἐν αὐτῇ).

καὶ οὐκ ἐπίστευσαν] Οὐκ ἐπίστευσαν γὰρ τῷ θεῷ, ἐπαγγελλομένῳ τῷ Ἀβραὰμ δοῦναι αὐτῷ τὴν γῆν τῆς ἐπαγγελίας καὶ τῷ σπέρματι αὐτοῦ.

25. καὶ ἐγόγγυσαν] Ἕκαστος καθ' ἑαυτὸν ἐγόγγυζεν, βλασφημῶν τὸν θεόν.

οὐκ εἰσήκουσαν] Οὐ προσέσχον οὐδέποτε τῷ θεῷ, λαλοῦντι περὶ αὐτῶν.

26. καὶ ἐπῆρεν] Ἐμίσησε γὰρ αὐτοὺς ὁ θεὸς καὶ ἠθέλησεν ἀποκτεῖναι αὐτούς, ἀλλ' ὡς θεὸς συμπαθὴς ἐμακροθύμησεν.[2]

27. καὶ τοῦ καταβαλεῖν] Ὥστε μὴ ὀνομάζεσθαι αὐτοὺς μηδὲ ἐν τοῖς ἔθνεσι.

καὶ διασκορπίσαι] Πανταχοῦ γὰρ γῆς ἐσκορπίσθη τὸ ἔθνος Ἰουδαίων.

28. καὶ ἐτελέσθησαν] Ἐκεῖνο[3] τὸ εἴδωλον· ποθήσαντες ἐκείνῳ ἐτελέσθησαν καὶ ἐγενήθησαν δέρματα νεκρά. Βεελφεγὼρ γὰρ δέρμα ἑρμηνεύεται, τουτέστιν ἀναισθητοὶ ἐγένοντο.

καὶ ἔφαγον] Τῶν εἰδώλων, φησί· νεκρὰ γὰρ τὰ εἴδωλα, ὅθεν τῶν θυσιῶν τῶν θεϊκῶν ἐστερήθησαν.

29. καὶ παρώξυναν] Ἐν ταῖς πονηραῖς ἐνθυμήσεσιν· ἄλλα γὰρ καὶ ἄλλα ἐπετήδευον εἴδωλα, ὥστε προσκυνεῖν αὐτοῖς (αὐτὰ), καὶ διὰ τοῦτο παρωξύνθη ὁ θεὸς καὶ ἐπάταξεν αὐτούς.

καὶ ἐπληθύνθη] Πορνεύοντες γὰρ ἐπὶ τῷ θανάτῳ παρεπέμποντο.

30. καὶ ἔστη] Εὑρὼν (ἰδὼν) γὰρ Φινεὲς τὸν πορνεύοντα καὶ τὴν πορνευομένην, κεντήσας αὐτούς, ἔδειξε τῷ θεῷ καὶ ἔστη ἡ ὀργὴ τοῦ θεοῦ.

καὶ ἐκόπασεν] Ἐπαύσατο, φησίν, ὁ θάνατος.

31. καὶ ἐλογίσθη] Εἰς πάσας γὰρ τὰς γενεὰς τοῦ αἰῶνος ᾄδεται τὸ γενόμενον εἰς ἐξάκουστον τοῦ λαοῦ τοῦ ἑβραίου.

32. καὶ παρώργισαν] Τὸν Μωυσῆν ἐν τῇ Μερρᾷ, ὅτι ἦσαν τὰ ὕδατα πικρά, καὶ πολὺς ἐγένετο κατ' αὐτοῦ γογγυσμός, μᾶλλον δὲ κατὰ θεοῦ.

καὶ ἐκακώθη] Ἠσθένησε, φησί, τῇ ἀθυμίᾳ.

33. ὅτι παρεπίκραναν] Ἔθλιψαν τουτέστιν, ὀνειδίζοντες.

καὶ διέστειλεν] Διενοήθη περὶ αὐτῶν τὸ τί ὀφείλει αὐτοῖς λαλη-

---

[1] Inter hunc et qui sequitur versiculum V. intercalavit haec verba: κατέναντι κυρίου διὰ προσευχῆς.

[2] V.: Ἐμίσησε γὰρ αὐτοὺς ἐν τῇ ἐρήμῳ, ἀλλ' ὡς θεὸς συμπαθὴς ἐμακροθύμησεν.

[3] V. incipit sic: Βέελ ὁ χρόνος, Φεγὰρ ὁ τόπος, ἐν ᾧ ἐτιμᾶτο ἐκεῖνο κτλ.

θῆναι, ὅτι ἀχάριστον τὸ ἔθνος καθ' ὑπερβολήν.

34. οὐκ ἐξωλέθρευσαν] Οὔτε γὰρ ἐν τούτῳ ὑπήκουσαν τοῦ θεοῦ καὶ ἐξωλόθρευσαν τὰ ἔθνη, βουλόμενοι συναναμίγνυσθαι (συναναμίγεσθαι) αὐτοῖς.

35. καὶ ἐμίγησαν] Ἐφύρησαν γὰρ μετ' αὐτῶν καὶ ἐχυδαιώθησαν ἐν τοῖς ἀτίμοις ἔργοις αὐτῶν.

36. καὶ ἐδούλευσαν] Προσεκύνησαν γὰρ τοῖς εἰδώλοις τῶν ἐθνῶν καὶ ἐξ ἐκείνου ἔμαθον εἰδωλολατρεῖν.

37. καὶ ἔθυσαν] Τοσοῦτον γὰρ ἠδύνθησαν τοῖς εἰδώλοις καὶ ἐξεμάνησαν καὶ οὔτε τῶν ἰδίων ἐφείσαντο τέκνων, ἀλλὰ κατέσφαξαν αὐτὰ τοῖς δαίμοσιν.

38. καὶ ἐξέχεαν] Οὔτε γὰρ ἠδίκησάν τι τὰ βρέφη, ἀλλὰ ἀναιτίως ἐσφάζοντο.

ἔθυσαν] Ἵνα μάθωσι, πόσον βλάπτει τὸ ἀποστῆναι θεοῦ, διὰ τοῦτο παρέδωκεν αὐτοὺς ὁ θεὸς εἰς ἀδόκιμον νοῦν, ἵνα μηδὲ τῶν τέκνων φείσωνται.

38. 39. ἐφονοκτονήθη — καὶ ἐμιάνθη] Τοῖς αἵμασι γὰρ μολυνθεῖσα ἡ γῆ ἐνεκροῦτο καὶ ἀπὸ τῶν ἔργων αὐτῶν ἐμιάνθη καὶ ἠλαττώθη καὶ οὐκέτι εὔθετος πρὸς καρπογονίαν ηὑρίσκετο.

καὶ ἐπόρνευσαν] Διενοήθησαν γὰρ πολλὰ ἐν τοῖς (ἔν τε) εἰδώλοις καὶ ἐν ταῖς (ἔν τε) ἡδυπαθείαις ἀσέμνοις καὶ πανταχόθεν ἐξεπόρνευσαν.

40. καὶ ὠργίσθη] Παρωξύνθη γὰρ ὁ θεὸς ἐπὶ τοῖς ἔργοις αὐτῶν καὶ ἐβδελύξατο αὐτοὺς καὶ ἀπέρριψεν αὐτοὺς ἀπὸ τοῦ προσώπου αὐτοῦ.

41. καὶ παρέδωκεν] Δι' ἀγνωμοσύνην ⟨ἀνομίαν⟩ παρεδόθησαν τοῖς ἔθνεσιν, ἵνα παιδευθῶσιν, ἀλλὰ καὶ οὕτως οὐ μετενόησαν (οὐκ ἐπεστράφησαν).

42. καὶ ἔθλιψαν] Ὅπως τῇ θλίψει κρατούμενοι ἔλθωσιν εἰς μετάνοιαν.

καὶ ἐταπεινώθησαν] Ποσάκις γὰρ ὑπὸ τῶν ἐχθρῶν κρατούμενοι διεφθείροντο, ἀλλ' οὐδὲ οὕτως ἐπεστρέφοντο.

43. πλεονάκις] Ποσάκις ἐρρύσατο αὐτοὺς ἀπὸ θλίψεως τῶν ἐχθρῶν καὶ οὐκ ἐμνήσθησαν, ἀλλ' ἔμειναν βουλευόμενοι ἄτοπα καὶ παρώξυναν τὸν θεόν.

καὶ ἐταπεινώθησαν] Ἐν γὰρ τῷ ἀνομεῖν αὐτοὺς ἐβδελύξατο αὐτοὺς ὁ θεὸς καὶ ἐταπεινώθησαν ἕως ᾅδου.

44. καὶ ἴδεν] Εἶδε γὰρ ὁ θεὸς τὴν θλῖψιν αὐτῶν, ἣν ὑπομένουσιν ἀπὸ ἀνοίας, καὶ συνεπάθησεν.

ἐν τῷ αὐτὸν εἰσακοῦσαι] Οὐ παρεῖδε γὰρ ὡς ἀγαθός, ἀλλ' εἰσήκουσε (ἐπήκουσε) τῆς δεήσεως αὐτῶν.

45. καὶ ἐμνήσθη] Ψεύσασθαι γὰρ ὁ θεὸς οὐκ ἠδύνατο ⟨δύναται⟩, διὸ ἐμνήσθη τοῦ λόγου τοῦ πρὸς Ἀβραάμ, ὃν (ὡς) ὤμοσεν αὐτῷ.

καὶ μετεμελήθη] Ἀνεξιχνίαστον γὰρ τὸ ἔλεος τοῦ θεοῦ ἐπὶ πάντας τοὺς μετανοοῦντας.

46. καὶ ἔδωκεν] Τοὺς πιστεύσαντας ἐξ αὐτῶν· τύπος δὲ ἦν ὁ λαὸς τοῦ Ἰσραὴλ τοῦ λαοῦ τοῦ ἐξ ἐθνῶν.

ἐναντίον] Τὸν Ἰσραὴλ ἐναντίον τῶν [αἰσθητῶν] ἐχθρῶν ᾤκτειρεν (οἰκτείρειν), ἵνα γνῷ τὴν δύναμιν τοῦ θεοῦ, τὸν δὲ λαὸν τὸν ἐξ (τῶν) ἐθνῶν ἐξεδίκησεν [ἐκ] τῶν δαιμόνων, οἵτινές εἰσιν οἱ νοητοὶ ἐχθροί.

47. σῶσον ἡμᾶς] Οἱ σωθέντες ἐξ αὐτῶν παρακαλοῦσι τὸν θεὸν (κύριον) συναφθῆναι (συναχθῆναι) αὐτοὺς τῷ λαῷ τῷ πιστῷ, τῷ ἐξ ἐθνῶν πιστεύσαντι.

τοῦ ἐξομολογήσασθαι] Ὅπως ἐξομολογησώμεθα τῷ θεῷ, ἐφ' οἷς ἐπράξαμεν, ἵνα ἐλεηθῶμεν.

τοῦ ἐγκαυχᾶσθαι] Μέγα γὰρ καύχημα τῷ πιστῷ (τοῦ πιστοῦ) διηνεκῶς αἰνεῖν τὸν θεόν.

48. εὐλογητός] Ἀπὸ γὰρ τοῦ αἰῶνος (τῶν αἰώνων) καὶ εἰς τοὺς αἰῶνας εὐλογεῖται ὁ θεὸς καὶ δοξάζεται ὑπὸ πάντων τῶν ἁγίων.

καὶ ἐρεῖ] Πᾶσα γὰρ πνοὴ ἀκαταπαύστως ἐπὶ τῷ ἐλέει τοῦ θεοῦ βοᾷ· γένοιτο.

CVI.

Ἀλληλούια] Ἡ μὲν προφητεία ὕμνον προσάγει τῷ θεῷ, προσκαλεῖται δὲ καὶ τὰ ἔθνη εἰς προτροπὴν (προκοπὴν πίστεως) τῆς παρουσίας τοῦ Χριστοῦ.

1. ἐξομολογεῖσθε] Τουτέστιν ἐξομολογεῖσθε θαρροῦντες, ὅτι πολλὴ ἡ χρηστότης τοῦ θεοῦ καὶ οὐκ ἀποστρέφεται τὸν προσιόντα. οὐ γὰρ πρὸς καιρὸν ἐλεεῖ ὁ θεός, ἀλλ' αἰωνίως.

2. εἰπάτωσαν] Ὅσοι γὰρ ἐξ Ἰσραὴλ ἐπιστρέψαντες (στραφέντες) ἐσώθησαν, οὗτοι τὸ ἔλεος τοῦ κυρίου γινώσκοντες ᾄδουσιν. ἐσήμαινε δὲ τὰ ἔθνη.

οὓς ἐλυτρώσατο] Καὶ τὸν Ἰσραὴλ μὲν ἐκ τῶν αἰσθητῶν ἐχθρῶν, τὰ δὲ ἔθνη ἐκ χειρὸς τῶν νοητῶν ἐχθρῶν, τουτέστιν τῶν δαιμόνων.

3. ἐκ τῶν χωρῶν] Ἐκ τῶν χωρίων τῆς πλάνης συνήγαγε τὰ ἔθνη πιστεύσαντα (τὰ μὴ πιστεύσαντα).

ἀπὸ ἀνατολῶν] Παντὶ γὰρ τῷ ἀνέμῳ ἦσαν περιφερόμενα τὰ ἔθνη, ἀλλὰ [πιστεύσαντα] συνηθροίσθησαν εἰς μίαν πίστιν καὶ μίαν ἐκκλησίαν.

4. ἐπλανήθησαν] Δῆλον ὅτι ὁ λαὸς τῶν Ἑβραίων (Ἰουδαίων) ἐπλανῶντο ἐν τῇ ἐρήμῳ. λέγει δὲ τὸ ἀληθὲς τὸν λαὸν τῶν ἐθνῶν, πλανώμενον ἐν τῇ ἐρήμῳ τῇ νοητῇ, ὅ ἐστιν ἡ ἐκκλησία· ἄνυδρος γὰρ ἦν, μὴ ἔχουσα τὸ ὕδωρ τοῦ βαπτίσματος.

ὁδὸν πόλιν] Ὁ λαὸς ὁ ἑβραϊκός, οὐχ εὑρὼν διὰ ἀπιστίαν τὴν ὁδὸν τῆς ἄνω Ἱερουσαλήμ, ὅ ἐστιν ἡ ἐκκλησία· εὗρε δὲ ὁ λαὸς ὁ ἐξ ἐθνῶν πιστεύσας.

5. πεινῶντες] Οὔπω γὰρ ἦσαν γευσάμενα τὰ ἔθνη τοῦ σώματος καὶ τοῦ αἵματος τοῦ Χριστοῦ, καὶ διὰ τοῦτο ἐτήκοντο λιμῷ καὶ δίψῃ.

6. καὶ ἐκέκραξαν] Νυκτὸς γὰρ καὶ ἡμέρας ἐβόων πρὸς τὸν θεόν (κύριον), θέλοντες ἐπιτυχεῖν τῆς χάριτος.

καὶ ἐκ τῶν ἀναγκῶν] Καὶ ἐκείνους μὲν δῆλον· ἐρρύσατο δὲ τὰ ἔθνη ἐκ τῶν δαιμόνων, ὅτι ἐν πολλῇ ἀνάγκῃ ἐκρατοῦντο.

7. καὶ ὡδήγησεν] Ἐπὶ (εἰς) τὴν ὁδὸν τοῦ εὐαγγελίου, ἥτις ἐστὶν ἡ πίστις· εἰς τὴν πόλιν τὴν ἐπουράνιον, ἐν ᾗ κατοικοῦσι πάντες οἱ ἅγιοι. ἔστι δὲ ἡ πίστις.

8. ἐξομολογησάσθωσαν] Οὐ παύονται γὰρ ἐξομολογούμενοι τῷ θεῷ οἱ ἐλεηθέντες ὑπ' αὐτοῦ. οὗτοι γὰρ καὶ θαυμάζουσι καὶ δοξάζουσι τὰ ἐλέη τοῦ θεοῦ.

καὶ τὰ θαυμάσια] Οἱ γὰρ καταξιωθέντες τῆς χάριτος διηγοῦνται τὰ θαυμάσια τοῖς μήπω καταξιωθεῖσι τῆς χάριτος.

9. ὅτι ἐχόρτασεν] Τὰς γὰρ κενωθείσας ψυχὰς τῆς χάριτος καὶ λιμῷ τηκομένας τοῦ ἀκοῦσαι λόγον (λόγων) κυρίου, ταύτας ἀναγεννήσας (ἀναμνήσας) τῇ χάριτι ἐνέπλησε, τῷ σώματι καὶ τῷ αἵματι τῷ ἰδίῳ χορτάσας.

10. καθημένους] Ὡς γὰρ ἐν σκότει καὶ θανάτῳ τῇ πλάνῃ τῶν εἰδώλων συνείχοντο, μὴ δυνάμενοι ὅλως (μηδὲν) ἀνανεῦσαι (ἀνανῆψαι), ἀλλὰ ἐλθούσης τῆς χάριτος ἐφωταγωγήθησαν, καθὼς γέγραπται· τοῖς ἐν σκότει καὶ σκιᾷ θανάτου καθημένοις φῶς ἔλαμψε μέγα.

πεπεδημένους] Πτωχοὶ γὰρ γνώσεως θεοῦ ἐτύγχανον τὰ ἔθνη, σιδήρου γὰρ ἰσχυρωτέρα ἡ ἀγνωσία καὶ ἡ λήθη, ἥτις συνεῖχεν αὐτούς· ἐλύθησαν δὲ οὗτοι ἐπιφανείᾳ τοῦ Χριστοῦ ἐλεηθέντες.

11. ὅτι παρεπίκραναν] Ὁ λαὸς ὁ ἑβραῖος οὕτως ἀεὶ παρώξυνε καὶ παρεπίκρανε τὸν θεόν, ὅτι οὐκ ἐνέμεινε τοῖς προστάγμασι τοῦ θεοῦ καὶ τῷ νόμῳ. τύπος δὲ οὗτος τοῦ λαοῦ τοῦ ἐξ ἐθνῶν.

12. καὶ ἐταπεινώθη] Ἐν κόποις γὰρ τῶν εἰδώλων ἦσαν ταπεινωθέντες οἱ ἐξ ἐθνῶν κοπιῶντες ἀνόητα ⟨ἀνόητα⟩ καὶ μάταια (ματαίως).

ἠσθένησαν] Ἐν γὰρ τῇ ἀσθενείᾳ τῆς πλάνης ἦσαν τὰ ἔθνη καὶ οὐδεὶς βοηθῆσαι ἢ σῶσαι ἠδύνατο, εἰ μὴ ὁ κύριος ὁ σπλαγχνισθεὶς παρεγένετο.

13. καὶ ἐκέκραξαν] Νήψαντες λοιπὸν ἐβόων πρὸς τὸν θεὸν τοῦ σωθῆναι ἀπὸ τῆς θλίψεως τῶν κακῶν.

καὶ ἐκ τῶν ἀναγκῶν] Σπλαγχνισθεὶς γὰρ ἔσωσεν ὡς θεὸς καὶ οὐ παρεῖδε.

14. καὶ ἐξήγαγεν] Ὡς ἐν σκότει γὰρ ἦσαν ἐν τῇ ἀφεγγεῖ πολιτείᾳ τῶν δαιμόνων τὰ ἔθνη, ὥσπερ ὁ λαὸς τῶν Ἑβραίων ἐν τῇ σκοτεινῇ γῇ τῶν Αἰγυπτίων, ἕως ὅτου ἔλαμ-

ψεν ὁ ἥλιος τῆς δικαιοσύνης, δῆλον (ὅ ἐστιν) ὁ Χριστός.

καὶ τοὺς δεσμούς] Οὓς ἔδησεν ἡ ἁμαρτία διὰ τῆς ἀσεβείας, τούτων τὰ δεσμὰ διέρρηξεν ἡ χάρις τοῦ βαπτίσματος.

15. ἐξομολογησάσθωσαν] Οἱ σεσωσμένοι τῇ χάριτι, αὐτοὶ ἐξομολογούμενοι ᾄδουσι διὰ παντὸς τὰ ἐλέη τοῦ κυρίου.

καὶ τὰ θαυμάσια] Οἱ πιστεύσαντες καὶ σωθέντες τοῖς μήπω εὐαγγελισθεῖσι διηγοῦνται τὴν δόξαν τοῦ θεοῦ, καθὼς γέγραπται· ὅπως ἂν διηγήσωνται εἰς γενεὰν ἑτέραν.

16. ὅτι συνέτριψεν] Τὰς πύλας λέγει τοῦ ᾅδου, ⟨τὰς χαλκᾶς⟩ ὡς στερεάς, καὶ μοχλοὺς λέγει τοῦ θανάτου ὡς ἰσχυρούς. ταῦτα γὰρ κατελθὼν ὁ κύριος συνέτριψε καὶ ἠλευθέρωσε τοὺς ἐγκεκλεισμένους πολλοῖς χρόνοις.

17. ἀντελάβετο] Τοῦ λαοῦ τῶν Ἑβραίων πολλὰ πλανηθέντος πολλάκις ἐπέστρεψεν, ἀλλ' ἐκεῖνοι οὐ συνῆκαν· ὡς δὴ καὶ τῶν ἐθνῶν πλανωμένων ἐν ταῖς ἀπάταις (ἀστραπαῖς) τῶν δαιμόνων, ἐπιστρέψας τούτους, ὡδήγησεν ἐπὶ τὴν ὁδὸν τῆς ἀληθείας ὁ Χριστός.

διὰ γὰρ τὰς ἀνομίας] Οἱ Ἰουδαῖοι· ἦσαν γὰρ ὑψηλοὶ ὡς γένος θεοῦ ὀνομαζόμενοι. ἐν δὲ τῷ παρανομεῖν αὐτοὺς ἐρρίφησαν ἀπὸ θεοῦ καὶ ἐταπεινώθησαν.

18. πᾶν βρῶμα] Διὰ γὰρ τὴν σκληρὰν αὐτῶν καὶ ἀκαμπῆ καρδίαν πάντων τῶν καλῶν ἀπεσχοίνισεν αὐτοὺς ὁ θεός.

καὶ ἤγγισαν] Ζῶντες γὰρ τῷ ᾅδῃ παρεδόθησαν διὰ τὴν ἀπιστίαν αὐτῶν. δηλοῖ δὲ καὶ τὰ ἔθνη, ὡς ἀποθανόντα τὸν θάνατον τῆς ἀπιστίας ⟨ἁμαρτίας⟩, σωθέντα δὲ [ὕστερον] τῇ πίστει.

19. καὶ ἐκέκραξαν] Λέγει μὲν περὶ τῶν Ἰσραηλιτῶν, ὅτι πολλάκις παρεδόθησαν τοῖς ἐχθροῖς καὶ ἐρρύσθησαν. τὸ δὲ ὅλον περὶ τοῦ λαοῦ τῶν ἐθνῶν ἡ προφητεία σημαίνει.

καὶ ἐκ τῶν ἀναγκῶν] Καὶ ἐκείνους μὲν ἐκ τῶν αἰσθητῶν ἐχθρῶν, τούτους δὲ ἐκ τῶν νοητῶν.

20. ἀπέστειλεν] Τὸν Χριστὸν ἀπέστειλεν ὁ πατὴρ καὶ ἰάσατο συντετριμμένην τὴν ἀνθρωπότητα.

καὶ ἐρρύσατο] Διέφθειραν γὰρ οἱ Ἑβραῖοι (Ἰουδαῖοι) τὰς ὁδοὺς αὐτῶν, διέφθειραν δὲ καὶ οἱ δαίμονες τὰ ἔθνη. ἐλθὼν δὲ ὁ κύριος (Χριστὸς) ἐρρύσατο αὐτοὺς ἐκ τῆς πλάνης, καλέσας ἐπὶ τὸ φῶς τῆς γνώσεως ⟨ἀληθείας⟩.

21. ἐξομολογησάσθωσαν] Ἐπαινείτωσαν, φησί, τὰ ἐλέη τοῦ θεοῦ, ἐξομολογούμενοι καὶ σωζόμενοι.

καὶ τὰ θαυμάσια] Ἐθαυμαστώθη γὰρ ἡ γνῶσις τοῦ θεοῦ τοῖς ἀνθρώποις διὰ τῶν ἁγίων (διὰ τῶν ἀγγέλων).

22. καὶ θυσάτωσαν] Ὁ ἐξ ἐθνῶν λαός, ἐπιστρέψας ἐκ τῆς πλάνης τῶν εἰδώλων. νόει δὲ καὶ τοὺς ἁγίους, οἵτινες ἔθυσαν ἑαυτοὺς θυσίαν ζῶ-

σαν, κατὰ τὸν ἀπόστολον, εὐάρεστον τῷ Θεῷ (εὐαρεστοῦντες).

καὶ ἐξαγγειλάτωσαν] Ἀλλήλοις γὰρ οἱ πιστοὶ ⟨ἅγιοι⟩ ἀναγγέλλουσι τὰ ἔργα κυρίου, προτρεπόμενοι ἀλλήλοις (ἀλλήλους).

23. οἱ καταβαίνοντες] Λέγει τοὺς ἀποστόλους καὶ πλοῖα τὰς ἐκκλησίας καὶ θάλασσαν τὸν βίον ⟨τὸν κόσμον⟩. αὐτοὶ γὰρ κατέβησαν (κατῆλθον), ὡς ἐν πλοίοις, εἰς τὸ ἄστατον καὶ πολυτάραχον τοῦ βίου πέλαγος.

ποιοῦντες] Οἱ ἀπόστολοι καὶ τοῦτο· πολλὴν γὰρ ἐποιήσαντο τὴν ἐργασίαν ἐν τοῖς ὕδασι τοῦ βαπτίσματος· πολλὰ γὰρ καὶ πανταχοῦ ταῦτα.

24. αὐτοὶ εἶδοσαν] Καὶ οἱ τὴν αἰσθητὴν θάλασσαν πλέοντες βλέπουσι τὰ θαυμάσια τοῦ θεοῦ· μείζονα δὲ τὰ θαυμάσια τοῦ βαπτίσματος, ἅπερ οἱ βαπτιζόμενοι ἀξιοῦνται ὁρᾶν.

25. εἶπεν] Ἵνα ταράξῃ τὰ ὕδατα τοῦ βαπτίσματος καὶ ἐξαναλώσῃ τοὺς δαίμονας τοὺς κρυπτομένους ἐν τοῖς ὕδασι.

καὶ ὑψώθη] Τῆς νοητῆς θαλάσσης, ὅ ἐστι τοῦ βαπτίσματος, ὑψώθη τὰ κύματα, ἵνα κατακλύσῃ τὸν διάβολον καὶ καλύψῃ τοὺς δαίμονας, ὡς ὄρη ὄντας καὶ αὐτούς.

26. ἀναβαίνουσιν] Ὑπερυψώθησαν γὰρ οἱ δαίμονες καὶ πάλιν κατέβησαν εἰς τὴν ἄβυσσον, τῷ ὕψει τῶν κυμάτων τοῦ βαπτίσματος κατακλυσθέντες. νόει δέ μοι καὶ τὰ κύματα τῆς αἰσθητῆς θαλάσσης.

ἡ ψυχὴ αὐτῶν] Τῶν πλεόντων τὴν αἰσθητὴν θάλασσαν ἀπὸ τοῦ φόβου. νόει δέ μοι καὶ τοὺς[1] μέλλοντας βαπτίζεσθαι τὰ αὐτὰ ὑπομένειν πρὸ τῆς ὥρας τοῦ βαπτίσματος.

27. ἐταράχθησαν] Οἱ ναῦται ἐν τῇ θαλάσσῃ ἐν σάλῳ ὄντες. τοσαῦτα (τὸ δ' αὐτὸ) πάσχουσι καὶ οἱ τὴν βιωτικὴν νηχόμενοι θάλασσαν· ἐν σάλῳ γὰρ κακῶν εἰσιν.

καὶ πᾶσα] Ποία γὰρ σοφία [καὶ] τέχνη ἐν καιρῷ κινδύνων ἐν τῇ θαλάσσῃ ὠφελεῖν δύναται; οὕτως καὶ ἡ σοφία τῶν Ἑλλήνων ἐν καιρῷ τοῦ θανάτου ἀνώφελος, εἰ μὴ πάρεστι πίστις θεοῦ καὶ ἐλπίς.

28. καὶ ἐκέκραξαν] Πάντες γὰρ ὅταν ἐν πλήθει κακῶν γένωνται, τότε ἐπικαλοῦνται τὸν θεὸν ἐν φωνῇ μεγάλῃ, καὶ αὐτὸς οὐκ ἐγκαταλείπει οὔτε ἀποστρέφεται τοὺς ἐπικαλουμένους αὐτόν.

καὶ ἐκ τῶν ἀναγκῶν] Οὔτε γὰρ παρεῖδεν ὁ θεός [ποτε] τοὺς ἐν ἀνάγκαις, ἀλλὰ ῥύεται ὡς ἐλεήμων.

29. καὶ ἔστησεν] Καὶ τῇ αἰσθητῇ θαλάσσῃ διεγερθεὶς ὁ Χριστὸς ἐπετίμησε καὶ ἐγένετο γαλήνη· ἐκείνη γὰρ ἐπροφητεύετο. ὁ αὐτὸς δὲ ἀναστὰς ἐκ τῶν νεκρῶν ἐπετίμησε τῷ πονηρῷ πνεύματι τῆς βιωτικῆς θαλάσσης καὶ ἔστη εἰς αὔραν, τουτέστι μετεβλήθη εἰς γαλήνην [ἐν] τῇ πίστει.

---

[1] In V. praecedunt verba *τὰ κύματα τῆς θαλάσσης.*

καὶ ἐσίγησαν] *Φανέντος γὰρ τοῦ κυρίου ἡσύχασεν ἡ ζάλη τῆς ἁμαρτίας, ὅ ἐστι τὰ κύματα τῆς θαλάσσης τοῦ βίου.*

30. *καὶ εὐφράνθησαν*] *Οἱ ἐν αὐτῇ νηχόμενοι ἄνθρωποι, μετέχοντες τῆς χάριτος καὶ ἀπαλλαγέντες τῆς ταραχῆς τοῦ βίου, ἐν ἡσυχίᾳ εὐφραίνονται ἐπὶ τῷ θεῷ.*

καὶ ὡδήγησεν] *Ὡδήγησε γὰρ τοὺς πιστεύσαντας ἐπὶ τὸ ἔλεος [αὐτοῦ ὁ θεὸς] καὶ ἐπὶ τὴν ὁδὸν τῆς ἐκκλησίας, ὅ ἐστιν ὁ λιμὴν ὁ εὔδιος.*

31. *ἐξομολογησάσθωσαν*] *Διηγείσθωσαν οἱ ἐξομολογούμενοι τὰ ἐλέη τοῦ θεοῦ, ἐφ' οἷς ἠλεήθησαν διὰ τῆς μετανοίας.*

καὶ τὰ θαυμάσια] *Κατὰ γενεὰν καὶ γενεὰν οἱ πιστοὶ διηγοῦνται τοῖς ἐπερχομένοις τὰ τῆς πίστεως (χάριτος) θαύματα καὶ τὰ μυστήρια τοῦ Χριστοῦ.*

32. *ὑψωσάτωσαν*] *Τουτέστιν ἐν συναγωγῇ πολλῇ ἀνθρώπων, ἐκεῖ χρὴ μεγαλύνειν καὶ ὑψοῦν τὸν θεὸν εἰς προτροπὴν πάντων τῶν ἀκουόντων.*

καὶ ἐν καθέδραις] *Ὅταν ὁ κύριος (Χριστὸς) ἐν μέσῳ τῶν πρεσβυτέρων ἐν τῇ συναγωγῇ ἐκάθητο διδάσκων, τοῦτο ὁ προφήτης ᾐνίξατο. λέγει δὲ καὶ τῶν ἐν συνόδῳ παλαιῶν ἀνθρώπων δοκιμάζειν τὰ τῆς δοξολογίας τοῦ θεοῦ· ἐπὶ πολλῶν γὰρ οὐ καθήκει.*

33. *ἔθετο*] *Τοὺς ποταμοὺς τῆς ἁμαρτίας καὶ τὰ ῥεύματα τῆς ἀσεβείας ξηράνας ἠρήμωσεν.*

καὶ ἐξόδους] *Τότε ἐπὶ τῶν Αἰγυπτίων μεταβαλὼν τὰ ὕδατα εἰς αἷμα, ἵνα τῇ δίψῃ τακῶσιν (κακωθῶσι).*

34. *γῆν*] *Ἦσαν γὰρ οἱ δαίμονες οἰκήτορες τῆς γηΐνης πολιτείας, ἐκαρποφόρει δὲ αὕτη τὴν ἀσέβειαν· ἐξήραναν δὲ ταύτην οἱ ἀπόστολοι τῷ ἅλατι τῆς διδασκαλίας, περὶ ὧν ὁ κύριος ἔφησεν (φησίν)· ὑμεῖς ἐστε τὸ ἅλας τῆς γῆς.*

35. *ἔθετο*] *Τὴν ἐκκλησίαν, περὶ ἧς εἴρηται ⟨ἔφη ὁ Ἠσαΐας⟩· εὐφράνθητι ἔρημος διψῶσα. ταύτην γὰρ ἐλίμνασε τοῖς ὕδασι τοῦ βαπτίσματος.*

καὶ γῆν ἄνυδρον] *Γῆν λέγει τὸν ἄνθρωπον· ἄνυδρος δὲ ἦν, ὡς μηδέποτε δάκρυον κατανύξεως ἔχων· νῦν δὲ τῆς μετανοίας τὴν φορὰν τῶν δακρύων αἰνίττεται.*

36. *καὶ κατῴκισεν*] *Ἐκεῖ. ποῦ; ἐν τῇ ἐκκλησίᾳ τοὺς πεινῶντας καὶ διψῶντας τὴν δικαιοσύνην, ἵνα χορτάζωνται τῷ σώματι καὶ τῷ αἵματι τοῦ Χριστοῦ.*

καὶ συνεστήσαντο] *Πόλεις λέγει τὰς ἐκκλησίας· αὗται γὰρ καὶ πόλεις καὶ ὄρη καὶ λιμένες καλοῦνται. ταύτας γὰρ συνεστήσατο ἡ δικαιοσύνη διὰ τῆς πίστεως, ἐν αἷς κατοικοῦσιν οἱ πιστοί.*

37. *καὶ ἔσπειραν*] *Ἀγρὸς ἡ ψυχὴ καὶ ἄμπελος αἱ ἀρεταί· ἔσπειραν, ἵνα τὸν ἄρτον τὸν μυστικὸν δρέψωνται. ἐφύτευσαν ἀμπελῶνας, ἵνα τὸν οἶνον τὸν μυστικὸν πίωνται.*

καὶ ἐποίησαν] *Ἐκαρποφόρησαν τὰς ἀρετὰς οἱ πιστοί.*

38. καὶ εὐλόγησεν] Ἐπληθύνθησαν γὰρ οἱ πιστοὶ καθ' ὅλης τῆς οἰκουμένης ὑπὲρ τὴν ἄμμον τῆς θαλάσσης.

καὶ τὰ κτήνη] Οὔτε γὰρ τῶν προσκαίρων οἱ πιστοὶ ὑστεροῦνται, ἀλλὰ καὶ ἐν κτήνεσιν παὶ ἐν πάσῃ ὑπάρξει ηὐλόγηνται.

39. καὶ ὠλιγώθησαν] Τίνες ἄρα; οἱ ἄπιστοι καὶ οἱ ἀσεβεῖς ἠλαττώθησαν τῶν πιστῶν πληθυνθέντων.

ἀπὸ θλίψεως] Ἧς ἔθλιψεν αὐτοὺς διὰ τῆς ἀπιστίας ὁ σατανᾶς καὶ εἰσὶν ἐν ὀδύνῃ αἰωνίᾳ.

40. ἐξεχύθη] Ἐπὶ τοὺς δαίμονας· οὗτοι γὰρ ἦρξαν τοῦ ἀνθρώπου, πλανῶντες αὐτόν· ἐξουδενώθησαν δὲ ἐπὶ τῇ ἐπιστροφῇ τοῦ ἀνθρώπου.

καὶ ἐπλάνησεν] Ἠπατήθησαν δὲ οἱ δαίμονες, νομίσαντες ψιλὸν ἄνθρωπον τὸν Χριστὸν εἶναι, καὶ θελήσαντες καὶ αὐτὸν καταπιεῖν ἐπλανήθησαν· ἄβατος οὖν αὐτοῖς κατέστη ὁ ἄνθρωπος, μηκέτι ἐν αὐτῷ ὁδὸν εὑρίσκοντες.

41. καὶ ἐβοήθησεν] Τῷ λαῷ τῷ ἐξ ἐθνῶν· πρὸ γὰρ τῆς ἐπιστροφῆς πένης ἦν, ὡς τὰ κεράτια ἐσθίων, καὶ πτωχός, ὡς μὴ ἔχων οἶκον· οὔπω γὰρ ἦν ἡ ἐκκλησία.

καὶ ἔθετο] Πληθύνας τοὺς πιστοὺς καὶ κατὰ τόπον συναθροίσας αὐτοὺς πατριᾶς.

42. ὄψονται] Βλέποντες γὰρ οἱ ἅγιοι τὴν δωρεὰν τὴν γενομένην, εὐφραίνονται τὴν χαρὰν τὴν αἰώνιον.

καὶ πᾶσα ἀνομία] Πανταχοῦ γὰρ καὶ ἐν πᾶσι τῆς ἀληθείας φανείσης ἡ ἀνομία ἐνέφραξεν τὸ ἑαυτῆς στόμα.

43. τίς σοφός] Ὅσοι πνεύματος ἁγίου κατηξιώθησαν καὶ τῆς τοῦ θεοῦ σοφίας ἐνεπλήσθησαν, οὗτοι ἐνόησαν καὶ ἐφύλαξαν τὰ μυστήρια τοῦ Χριστοῦ.

καὶ συνήσουσιν] Νοήσουσιν οἱ πιστοὶ τότε τὰ ἐλέη τοῦ θεοῦ ⟨κυρίου⟩, τὰ γενόμενα εἰς τὸν ἄνθρωπον παρὰ θεοῦ.

CVII.

Ὠδὴ ψαλμοῦ τῷ Δαυίδ] Τὸ ᾆσμα προφητείας τῷ Χριστῷ περὶ [τῆς τῶν] ἐθνῶν προτροπῆς καὶ τῆς κλήσεως [αὐτῶν].

2. ἑτοίμη] Ὁ προφήτης ἀεὶ ἕτοιμος ἐγίνετο πρὸς ὑποδοχὴν τοῦ πνεύματος τοῦ ἁγίου. τὸ δ' αὐτὸ καὶ ὁ πιστὸς καὶ κατὰ θεὸν ἄνθρωπος ἕτοιμός ἐστιν πρὸς τὸ θέλημα τοῦ θεοῦ.

ᾄσομαι] Ὅταν, φησί, δοξασθῶσιν οἱ πιστοί, τὰς ἀμοιβὰς τῶν ἔργων ἀπολαμβάνοντες, τότε τὸ ἀληθινὸν ᾆσμα ψάλλουσι τῷ Χριστῷ, σκιρτῶντες τὰ πνευματικά.

3. ἐξεγέρθητι ἡ δόξα μου] Περὶ τοῦ Χριστοῦ ὁ λόγος· ἐν πολλῇ γὰρ δόξῃ ἀνέβη ἐκ (ἀπὸ) τῶν νεκρῶν, δόξα δὲ τῶν ἁγίων πάντων ὁ Χριστός.

ἐγέρθητι ψαλτήριον] Λέγει τὴν ψυχή, ἥτις ἐνεργεῖ τὸν ψαλμὸν, καὶ κιθάραν τὴν γλῶσσαν, ἥτις κρούει τοὺς φθόγγους. σὺν τῇ ψυχῇ γὰρ καὶ τῷ σώματι ἀνέστη ὁ Χριστὸς ἐκ τῶν νεκρῶν.

ἐξεγερθήσομαι] Ὁ Χριστός· ὄρθρου γὰρ ἡ ἀνάστασις ⟨ἐγένετο⟩.[1]

4. ἐξομολογήσομαι] Πάντες γὰρ οἱ πιστοὶ ὀρθρίζοντες ἐν τῇ ἐκκλησίᾳ ἐξομολογοῦνται μετὰ τοῦ λαοῦ παντὸς τῷ θεῷ· διὰ τοῦτο λέγει ἐν λαοῖς, ἐπὶ πάντων γὰρ ἡ ἐξομολόγησις.[2]

καὶ ψαλῶ] Τὴν κλῆσιν τῶν ἐθνῶν ὁ προφήτης σημαίνει.[2]

5. ὅτι ἐμεγαλύνθη] Ἀπὸ τῆς γῆς ἕως τῶν οὐρανῶν ὑψώθη ἐλεηθεὶς ὁ ἄνθρωπος.

καὶ ἕως] Ἕως τῶν νεφελῶν, φησίν, ᾠκοδόμησας τὴν ἀλήθειάν σου, θεμελιώσας αὐτὴν ἐπὶ γῆς. σημαίνει δὲ τῆς ἀληθείας τὸ ὕψος.

6. ὑψώθητι] Ὧδε σημαίνει τὴν ἀνάληψιν, τὴν μετὰ σαρκὸς ἀπὸ (ἐπὶ) τῆς γῆς.

καὶ ἐπὶ πᾶσαν] Ἀνελθὼν γὰρ εἰς τὸν οὐρανὸν (εἰς οὐρανοὺς) οὐκ ἀφῆκεν ἔρημον τὴν γῆν, ἀλλ' ἐπλήρωσεν αὐτὴν τῆς δόξης τοῦ ὀνόματος αὐτοῦ.

7. ὅπως ἄν] Οἱ ἀπόστολοι πληρώσαντες πᾶσαν τὴν γῆν τῆς δόξης κυρίου.

σῶσον] Δεξιὰ τοῦ πατρὸς ὁ Χριστός· δι' αὐτοῦ (διὰ τοῦτο) γὰρ ἐσώθη πᾶσα ἡ κτίσις ἐν οὐρανῷ καὶ ἐπὶ γῆς.

8. ὁ θεός] Ὁ πατὴρ ἐν τῷ υἱῷ ἐλάλησε τῷ κόσμῳ, ὁ υἱὸς ἐν τῷ πατρὶ εὐηγγελίσατο τὴν ζωὴν τῷ ἀνθρώπῳ (τῶν ἀνθρώπων).

ὑψωθήσομαι] Ὑψώθη γὰρ ἐπὶ τοῦ σταυροῦ καὶ διεμέρισεν ἑκάστῳ τῶν πιστῶν τὴν δύναμιν. σίκημα γὰρ ὠμίασις ἑρμηνεύεται, ὅ ἐστι δύναμις.

καὶ τὴν κοιλάδα] Λέγει κοιλάδα τὴν συγκατάβασιν τοῦ Χριστοῦ, ἥτις κατεσκήνωσεν ἐν ἀνθρώποις· ταύτην δὲ κανονίσας (διακονήσας) ἐμέτρησε. ἔστιν δὲ ἐκκλησία.

9. ἐμός ἐστιν] Ἐμὴ μαρτυρία, φησίν, ὁ Χριστὸς ἐπὶ τοῦ σταυροῦ. Γαλαὰδ ἑρμηνεύεται μαρτυρία. ὀδυνηθεὶς ἐπὶ τοῦ σταυροῦ διὰ τὸν ἄνθρωπον, θελήσας λήθην ποιῆσαι τῆς ἁμαρτίας. Μανασσῆς γὰρ λήθη ἑρμηνεύεται. λέγεται δὲ καὶ ὀδύνη.

καὶ Ἐφραΐμ] Ἐκραταίωθη γὰρ τῶν πιστῶν ἡ κεφαλὴ ἐν τῷ καρποφορῆσαι τὴν πίστιν (τῇ πίστει). Ἐφραΐμ γὰρ καρποφορία ἑρμηνεύεται.

Ἰούδας] Οἱ γὰρ ἐξομολογούμενοι βασιλείας τυγχάνουσιν. Ἰούδας γὰρ ἐξομολόγησις ἑρμηνεύεται.[3]

---

[1] V.: Ὁ Χριστός· ὄρθρου γὰρ ἀνάστασις.

[2] V.: Πάντες οἱ πιστοὶ ἐν τῇ ἀναστάσει τοῦ κυρίου χαίρονται, ἀγαλλιώμενοι ἐν τῇ ἐκκλησίᾳ, ἐξομολογοῦνται μετὰ τοῦ λαοῦ παντὸς τῷ θεῷ. διὰ τοῦτο λέγει ἐν λαοῖς· ἐπὶ πάντων γὰρ ἡ ἐξομολόγησις. τῷ δὲ ψαλῶ σοι ἐν ἔθνεσιν τὴν ἐκκλησίαν τῶν ἐθνῶν σημαίνει.

[3] V.: Ἰούδας ἐξομολογούμενος λέγεται, διὸ καὶ οἱ ἐξομολογούμενοι τὰς ἑαυτῶν ἁμαρτίας βασιλείας οὐρανίου τυγχάνουσι. τῶν γὰρ πιστῶν ὁ λέβης ἤγουν ὕδωρ τοῦ βαπτίσματος

10. *Μωάβ*] *Ὁ πατὴρ τοῦ υἱοῦ πλήρωμα ἐλπίδος. λέβητα γὰρ λέγει τὸ βάπτισμα, ἐν ᾧ ἡ ἐλπὶς τῶν πιστῶν ἀπόκειται. Μωὰβ γὰρ πατὴρ ἑρμηνεύεται.*

ἐπὶ τὴν Ἰδουμαίαν] *Ἐπὶ τοὺς ἐκλείψαντας ἀπὸ θεοῦ· Ἰδουμαία γὰρ ἐκλείπουσα ἑρμηνεύεται. ἐκεῖ ἐκτενῶ τὸ εὐαγγελικὸν κήρυγμα· ὑπόδημα γὰρ θεοῦ τὸ εὐαγγέλιον νοεῖται ὡς ἀσφάλεια· ἐν αὐτῷ γὰρ ἠσφαλίσθησαν οἱ πόδες τῶν πιστῶν.*

ἐμοί] *Οἱ πίπτοντες (ἀποπίπτοντες) τῇ ἁμαρτίᾳ ὑπετάγησαν τῷ θεῷ διὰ τῆς μετανοίας. ἀλλόφυλοι γὰρ πίπτοντες ἑρμηνεύονται.*

11. *τίς ἀπάξει*] *Ἡ γραφὴ τὴν Ἱερουσαλὴμ περιοχὴν λέγει, ὡς περιεχομένην ὑπὸ τῶν προφητῶν καὶ πάντων* (sic) *τῶν δυνάμεων. αἰνίττεται δὲ τὴν ἄνω Ἱερουσαλὴμ τὴν ἐν οὐρανοῖς, ἐν ᾗ σπεύδουσι πάντες οἱ ἅγιοι.*

τίς ὁδηγήσει] *Τίς τουτέστιν ὁδηγήσει με πρὸς τὸν θεόν, φησὶν ὁ ἄνθρωπος, ἐκλείποντα τῇ ἁμαρτίᾳ; Ἰδουμαία γὰρ ἐκλείπουσα ἑρμηνεύεται.*

12. *οὐχὶ σύ*] *Αὐτὸς ἀπώσω ἡμᾶς διὰ τὴν ἀσέβειαν ἡμῶν, ἀνεκαλέσω δὲ διὰ τὴν εὐσπλαγχνίαν.*

καὶ οὐχί] *Οὐχὶ γὰρ τῆς ἡμῶν δυνάμεως χρῄζει ὁ θεὸς ἢ συμμαχίας (εἰς συμμαχίαν)· ἔστι γὰρ ὁ θεὸς ἀνενδεὴς ἐν πᾶσιν.*

13. *δὸς ἡμῖν*] *Τουτέστιν ἐν θλίψει βοήθησον.*

καὶ ματαία] *Ἄνθρωπος γὰρ ἄνθρωπον σῶσαι οὐ δύναται. εἰ δὲ καὶ σώζει, πρὸς καιρὸν σώζει. αὐτὸς οὖν δὸς ἡμῖν βοήθειαν ὡς θεὸς συμπαθής.*

14. *ἐν τῷ θεῷ*] *Τῷ γὰρ θεῷ (τὸ γὰρ ἐν θεῷ) θαρρεῖν ἀσφαλὲς καὶ βέβαιον καὶ σωτήριον ἀψευδές (ἀσφαλές).*

καὶ αὐτός] *Τοὺς δαίμονας ἐξουδένωσεν ὁ θεὸς ἐν τῷ σῶσαι τὸν ἄνθρωπον. αὐτὸν (αὐτοὶ) γὰρ τὸν ἄνθρωπον ἔθλιψαν ἐξ ἀρχῆς ⟨ὡς ἐχθροὶ αὐτοῦ⟩.*

CVIII.

Εἰς τὸ τέλος· τῷ Δαυὶδ ψαλμός] *Περὶ τῶν ἐπὶ (ἐν τῷ) τέλει μελλόντων γίνεσθαι καὶ περὶ τοῦ σωτηρίου πάθους τοῦ Χριστοῦ τὸ πνεῦμα τὸ ἅγιον τὸν ψαλμὸν ἀνεφώνησεν (προανεφώνησεν).*

1. *Ὁ θεός*] *Ὁ υἱὸς πρὸς τὸν πατέρα λέγει.*[1]

ἐγένετο ἐλπὶς σωτηρίας αἰωνίου, καθὼς ἐν εὐαγγελίοις ὁ κύριος εἶπεν· ὁ πιστεύσας καὶ βαπτισθεὶς καὶ τὰ ἑξῆς.

[1] V. add. *ταῦτα βοᾷ προσευχόμενος ἐπὶ τοῦ σταυροῦ, ἵνα σώσῃ, ὃν οἰκείαις τὸν ἄνθρωπον ἔπλασε χερσίν.*

2. ὅτι στόμα] Ἁμαρτωλοῦ τοῦ διαβόλου· αὐτὸς γὰρ ἁμαρτωλὸς πρὸς ἀλήθειαν. δολίου δὲ τοῦ Ἰούδα. ἄμφω γὰρ κατὰ τοῦ Χριστοῦ ἐλάλησαν.

ἐλάλησαν] Ἐκολάκευε γὰρ ὡς διδάσκαλον καὶ τῷ δόλῳ (λόγῳ), ὡς ἐδόκει, ἠγωνίζετο εἰς τὴν προδοσίαν τοῦ διδασκάλου.

3. καὶ λόγοις] Οἱ Ἰουδαῖοι τὸν Χριστὸν ἐν πολλῷ μίσει ἐκύκλωσαν λοιδοροῦντες ἀεὶ ὡς φθονεροὶ καὶ δόλιοι.[1]

καὶ ἐπολέμησαν] Ὑπὲρ[2] τοῦ μηδενὸς ἐπολέμουν οἱ Ἰουδαῖοι τῷ Χριστῷ, τοὐναντίον εὐεργετούμενοι.

4. ἀντὶ τοῦ ἀγαπᾶν] Τοσούτων γὰρ εὐεργεσιῶν γινομένων οὐκ ἠγάπησαν τὸν Χριστὸν ὡς εὐεργέτην, ἀλλὰ ἀεὶ ἐνδιέβαλλον αὐτὸν ὡς κακόν.

ἐγὼ δέ] Τύπος γενόμενος ⟨γινόμενος⟩ τῶν πιστῶν.

5. καὶ ἔθεντο] Οἱ Ἰουδαῖοι κατὰ τοῦ Χριστοῦ τὰ ἐναντία φρονοῦντες.

καὶ μῖσος] Ὡς κάκιστοι καὶ πονηρίας γέμοντες, ἀντὶ τοῦ ἀγαπᾶν με ὡς εὐεργέτην, ἐμίσουν μᾶλλον.

6. κατάστησον] Τῷ Ἰούδᾳ τὸν διάβολον· ᾧ γὰρ ὑπήκουσας (ὑπήκουσεν), τούτου καὶ κοινωνὸς ἔστω, φησί.

καὶ διάβολος] Τῷ Ἰούδᾳ, ὡς αὐτῷ ὑπακούσαντος.

7. ἐν τῷ κρίνεσθαι] Ἐν τῷ γὰρ κρίνεσθαι τὸν Χριστὸν ἐπὶ τοῦ Πιλάτου Ἰούδας κατεκρίθη, ἄλλως τε καὶ ἐν ἐκείνῃ τῇ ἡμέρᾳ παρὰ τῷ δικαίως κρίνοντι κατακρίνεται, ἐπειδὴ αὐτὸς ἑαυτῷ αἴτιος τῆς κρίσεως.

καὶ ἡ προσευχή] Τίνι γὰρ προσεύξεται λοιπόν, τῷ θεῷ ἐπιβουλεύσας;

8. γενηθήτωσαν] Λαβὼν γὰρ τὸ σχοινίον ἀπηλλάγη καὶ οὐκ ἐφάνη.[3]

καὶ τὴν ἐπισκοπήν] Τὸ τῆς ἀποστολῆς ἀξίωμα ἔλαχεν Ματθίαν. Ἰούδας γὰρ ἀπερρίφη ὡς παράνομος.

9. γενηθήτωσαν οἱ υἱοί] Οἱ υἱοὶ οἱ λογισμοὶ αὐτοῦ· ὀρφανοὶ γὰρ ἐγένοντο ἀπὸ τῆς χάριτος τοῦ Χριστοῦ. ἡ γυνὴ αὐτοῦ ⟨χήρα⟩, ὅ ἐστιν ἡ ψυχὴ ἐχήρευσεν, ἀπὸ τοῦ Χριστοῦ ἐκπεσοῦσα διὰ (ἀπὸ) τῆς παρανομίας.

10. σαλευόμενοι] Οἱ γὰρ λογισμοὶ αὐτοῦ, οὓς ἔφαμεν εἶναι υἱούς, μετανάσται γενόμενοι ἀπὸ τοῦ Χριστοῦ εἰς τὴν φιλαργυρίαν, χεῖρα ἐξέτειναν εἰς τὸ ἀργύριον, ὡς ἐνδεεῖς καὶ προσαῖται. εἰ δὲ καὶ σαρκικοὺς υἱοὺς ἔσχεν, νόει δὲ (καὶ) τούτους σαρκικῇ τιμωρίᾳ παραδεδόσθαι.

Ἐκβληθήτωσαν] Ὁ γὰρ οἶκος τῶν λογισμῶν ἐστιν ὁ ἄνθρωπος, οἰκόπεδον δὲ τῷ Ἰούδᾳ τὸ σκῆνος

---

[1] V.: Ὁ διάβολος σὺν τοῖς κληρονόμοις αὐτοῦ τοῖς Ἰουδαίοις ἐκύκλωσαν τὸν Χριστόν, ἐν πολλῷ μίσει ἀεὶ λοιδοροῦντες, ὡς φθονεροὶ καὶ δόλιοι.

[2] V. praemittit haec: Οὓς ὁ κύριος τῷ πλήθει αὐτοῦ τῷ ἀμέτρῳ καθ' ἑκάστην ἠλέει, αὐτοὶ ἐπῆραν χεῖρας κατ' αὐτοῦ.

[3] V.: Λέγει δὲ ἡ προφητεία τὴν ὀλιγότητα τοῦ Ἰούδα, ὅτι τὴν τριήμερον ἀνάστασιν τοῦ κυρίου οὐκ ἔφθασεν, καθὼς λέγει· τίς σοφὸς καὶ σοῦ τὴν τριήμερον ἀνάστασιν οὐκ εἶδεν;

ἐγένετο, ἀπολέσαντι τὴν χάριν. ἐξεβλήθησαν δὲ ἀπ' αὐτοῦ οἱ λογισμοί, ὅταν ἀπήγξατο.

11. καὶ ἐξεραυνησάτω] *Ὁ διάβολος· αὐτὸς γὰρ ἐδάνεισε τῷ Ἰούδᾳ τὰς κακὰς ἐνθυμήσεις.*

διαρπασάτωσαν] *Οἱ δαίμονες· αὐτοὶ γὰρ [αὐτὸν] ἐξηχμαλώτισαν, ὑποσκελίσαντες (ὑποκλέψαντες) αὐτοῦ τὰ ἔργα τὰ ἀγαθὰ τῆς δικαιοσύνης.*

12. μὴ ὑπαρξάτω] *Πῶς γὰρ ἂν εὕροι ἀντιλήπτορα, ἀπολέσας τὸν Χριστὸν ἀντιλαμβανόμενον αὐτοῦ.*

μηδὲ γενηθήτω] *Ἀφ' οὗ γὰρ ἀπωρφανίσθησαν ἀπὸ θεοῦ ἡ ψυχὴ καὶ τὸ σῶμα καὶ ὁ νοῦς, τίς οἰκτειρήσει αὐτοὺς λοιπόν; εἰ τύχοι, καὶ πάντας τοὺς ἔχοντας τὰ τέκνα, κατὰ θεοῦ στρατευομένους, τὰ αὐτὰ πάσχειν ἠπείλησεν ἡ γραφή.*

13. γενηθήτω] *Εἰ τύχοι καὶ ἦσαν ⟨ἔχειν⟩ αὐτῷ τέκνα, καὶ αὐτὰ ἐξωλοθρεύοντο πάντως.*

ἐν γενεᾷ] *Ἐν μιᾷ γὰρ ὥρᾳ, ἐν ᾗ ἥμαρτεν, ἐξηλείφθη τὸ ὄνομα αὐτοῦ ἐκ τῆς ἀποστολῆς.*

14. ἀναμνησθείη] *Ἐκ τῶν πατέρων γὰρ εἶχε τὴν κατάραν ὁ Ἰούδας. λέγει γάρ· ἐγώ εἰμι ὁ θεός, ὁ ἀποδιδοὺς ἁμαρτίας πατέρων ἐπὶ τέκνα ἕως δευτέρας καὶ τρίτης γενεᾶς.*

καὶ ἡ ἁμαρτία] *Τῆς ἀσεβείας, ἥτις ὡς μήτηρ ἐθώπευε τὸν Ἰούδαν. λέγει δὲ καὶ τὴν τεκοῦσαν αὐτόν.*

15. γενηθήτωσαν] *Ὁ Ἰούδας καὶ οἱ σὺν αὐτῷ κατακρινόμενοι τοῖς ὁμοίοις κακοῖς.*

καὶ ἐξολεθρευθείη] *Καὶ τῆς αἰσθητῆς μὲν γῆς, λέγει δὲ καὶ τῆς νοητῆς, ἥτις ἐστὶν ὁ παράδεισος.*

16. ἀνθ' ὧν] *Ἀλλ' εἰς θάνατον παρεδίδου τὸν διδάσκαλον καὶ οὐκ ἐμνήσθη, πῶς αὐτὸν ἐξελέξατο.*

καὶ κατεδίωξεν] *Τὸν Χριστόν, ὃς ἑκουσίως ἐπτώχευσεν καὶ πενίαν ὡσαύτως θελήσας ἑκουσίως (ἑκούσιον) ἀνεδέξατο.*

καὶ κατανενυγμένον] *Τὸν Χριστόν, ὃς κατενύγη διὰ τὸν ἄνθρωπον, ἵνα σώσῃ αὐτόν· Ἰούδας δὲ θανάτῳ παρέδωκεν.*

17. καὶ ἠγάπησεν] *Ποίαν; ταύτην τὴν λέγουσαν· οὐαὶ αὐτοῖς, ὅτι ἀπεπήδησαν ἀπ' ἐμοῦ.*

καὶ οὐκ ἠθέλησεν] *Ἐμίσησε γὰρ τὴν εὐλογίαν τῆς ἀποστολῆς καὶ τῆς μαθητείας καὶ ἐξερρίφη ἀπ' αὐτῆς.*

18. καὶ ἐνεδύσατο] *Τουτέστιν κατὰ παντὸς τοῦ σώματος ἐδέξατο τὴν κατάραν· οὐ μόνον ἔξωθεν περιέλαβεν αὐτὸν ἡ κατάρα, ἀλλὰ καὶ ἔσωθεν ἐπλήρωσεν αὐτὸν ὡσεὶ ὕδωρ.*

καὶ ὡς ἔλαιον] *Τουτέστιν οὐ μόνον τὰς σάρκας αὐτοῦ καὶ τὰ ἐντὸς περιέλαβεν, ἀλλὰ καὶ τὰ ὀστᾶ αὐτοῦ ἐπίανε καὶ διὰ πάντων αὐτὸν ἐδέξατο ἡ κατάρα.*

19. γενηθήτω] *Τουτέστιν ὅπως ἀνελλιπῶς περίκειται τὴν κατάραν, ὡς ἀγαπήσας αὐτὴν ὡς προδότης.*

καὶ ὡσεί] *Ἵνα μὴ μόνον περί-*

κειται αὐτήν, ἀλλὰ ἵνα καὶ σφίγγηται ὑπὸ τῆς κατάρας.

20. τοῦτο τὸ ἔργον] Τούτοις, φησί, τοῖς κακοῖς σφίγγονται, ὅσοι θεὸν πολεμεῖν ἢ (καὶ) βλασφημεῖν ἐπιχειροῦσι [τὸν λαὸν τὸν πιστὸν ἐκ τῆς καταδυναστείας τοῦ διαβόλου].

καὶ τῶν λαλούντων] Ὁ λόγος περὶ Ἰουδαίων· οὗτοι γὰρ πονηρὰ ἐλάλησαν κατὰ τοῦ Χριστοῦ καὶ τῆς αὐτοῦ θεότητος.

21. καὶ σύ, κύριε] Ὁ υἱὸς πρὸς τὸν πατέρα βοᾷ, βεβαιῶν τὴν ἐνανθρώπησιν.

22. ὅτι πτωχός] Ὁ Χριστὸς ἐκ προσώπου τοῦ Ἀδὰμ ταῦτα βοᾷ.

καὶ ἡ καρδία] Ἔσωθεν γὰρ ἡ καρδία τοῦ Ἀδὰμ ἐσεσήπει τῇ ἁμαρτίᾳ καὶ χειμῶνα καὶ ταραχὴν εἶχεν οὐ μικράν.

23. ὡσεὶ σκιά] Λίκην γὰρ σκιᾶς ἔκειτο (ἐκλίθη) ὁ Ἀδὰμ τῇ παραβάσει.

ἐξετινάχθην] Ὡς γάρ τις ἀκρίδας ἀποτινάσσει ἀπὸ φραγμοῦ, οὕτως τὸν ἄνθρωπον ἀπὸ τῆς ἀληθείας ἀπετίναξαν (ἐξετίναξαν) οἱ δαίμονες.

24. τὰ γόνατα] Ἐνήστευε γὰρ ἀπὸ τοῦ ἄρτου τοῦ μυστικοῦ πολὺν χρόνον καὶ οὕτως ἠσθένει, μὴ ἔχων δύναμιν.

καὶ ἡ σάρξ] Οὔπω γὰρ ἦν πιανθεὶς τῷ χρίσματι τοῦ βαπτίσματος καὶ παντελῶς ἠφανισμένη ἦν ⟨ὀζήσασα ἦν⟩ ἡ σὰρξ τοῦ ἀνθρώπου.

25. καὶ ἐγώ] Ὁ Ἀδὰμ τοῖς δαίμοσιν, ὁ Χριστὸς τοῖς Ἰουδαίοις· εἶχον γὰρ αὐτὸν εἰς παίγνιον.

εἴδοσάν με] Ὅταν ἐπὶ τοῦ σταυροῦ ἐθεώρουν οἱ Ἰουδαῖοι κρεμάμενον [τὸν Χριστόν], ἐκίνουν τὰς κεφαλὰς ἐξουθενοῦντες καὶ ἀπειλοῦντες.

26. βοήθησόν μοι] Ταῦτα ὁ Χριστὸς βοᾷ ἐκ προσώπου τοῦ Ἀδάμ, βεβαιῶν τὴν ἐνανθρώπησιν.

27. καὶ γνώτωσαν] Μάθωσι, φησίν, οἱ δαίμονες, ὅτι τῇ δεξιᾷ τοῦ θεοῦ ἐσώθη ὁ ἄνθρωπος.

καὶ σύ] Μάθωσι πάντα τὰ ἔθνη, ὅτι θελήματι ἐνηνθρώπησας, ἵνα σώσῃς τὸν ἄνθρωπον.

28. καταράσονται] Οἱ δαίμονες, φησί, φαυλίζουσι τὸν ἄνθρωπον, ὁ δὲ θεὸς εὐλόγησεν αὐτόν.

οἱ ἐπανιστανόμενοι] Οἱ Ἰουδαῖοι ὅσοι ἐπανέστησαν τῷ Χριστῷ, θεωρήσαντες τὴν δύναμιν αὐτοῦ, κατῃσχύνθησαν σφόδρα.

ὁ δὲ δοῦλός σου] Ὁ ἄνθρωπος· εὐφράνθη γὰρ ἐπὶ τῇ σωτηρίᾳ τῇ γενομένῃ αὐτῷ.

29. ἐνδυσάσθωσαν] Ἐνεδύσαντο γὰρ αἰσχύνην καὶ ἐντροπὴν οἱ Ἰουδαῖοι οἱ λέγοντες· οὗτος ὁ ἄνθρωπος οὐκ ἔστιν ἐκ τοῦ θεοῦ.

καὶ περιβαλλέσθωσαν] Ὡς γὰρ διπλοΐδα, ὅ ἐστι παλλίον, ἡ αἰσχύνη, λέγω δὴ Ἰουδαίους, ἐκάλυψεν ἐν καιρῷ τῆς ἀναστάσεως τοῦ Χριστοῦ.

30. ἐξομολογήσομαι] Ὁ ἄνθρωπος σωθεὶς καὶ καταξιωθεὶς τῆς χάριτος ἐξομολογεῖται μετ' εὐχαριστίας τῷ θεῷ.

καὶ ἐν μέσῳ] Ἐν μέσῳ γὰρ πάσης τῆς κτίσεως δοξάζων ὁ ἄνθρωπος τὸν θεὸν οὐ παύεται.

31. ὅτι παρέστη] Παρέστη γὰρ ἐκ δεξιῶν τοῦ ἀνθρώπου ὁ Χρισιὸς καὶ ἔσωσεν αὐτὸν ἐκ τῶν δαιμόνων, ὅτι αὐτοὶ ᾐχμαλώτευσαν αὐτόν.

CIX.

Τῷ Δαυὶδ ψαλμός] Τῷ Χριστῷ ὁ ἔπαινος τοῦ ψαλμοῦ προσηνέχθη, ὡς νικήσαντι τὰ πάθη.

1. εἶπεν ὁ κύριος] Ὁ πατὴρ πρὸς τὸν υἱὸν λέγει· κάθου ἐκ δεξιῶν μου, ἡνίκα μετὰ σαρκὸς ἀνῆλθε· πρὸ τῶν αἰώνων γὰρ ὢν [καὶ] ἐκαθέζετο ἐκ δεξιῶν καὶ τοῦ θρόνου οὐκ ἐχωρίσθη, ἀλλὰ ἐλέχθη διὰ τὸν ἄνθρωπον.[1]

ἕως ἂν θῶ] Τοὺς δαίμονας λέγει· τούτους γὰρ ὑπὸ τοὺς πόδας τοῦ ἀνθρώπου κατέστρωσεν ὁ κύριος (θεός).

2. ῥάβδον] Προεμήνυσεν ἡ προφητεία τὸν σταυρόν, λέγει δὲ ῥάβδον καὶ τὴν παρθένον, ὡς Ἰεσσαὶ καὶ ῥάβδον καὶ ἄνθος.

καὶ κατακυρίευε] Πάντες γὰρ οἱ ἐχθροί, καὶ αἰσθητοὶ καὶ νοητοί, τῷ σταυρῷ ὑποτάσσονται.

3. μετὰ σοῦ] Ἐν ἀρχῇ γὰρ ἦν ὁ λόγος, ὁ αὐτὸς καὶ ἐκ Μαρίας, ἡνίκα ἐγίνετο ἡ δύναμις τοῦ μυστηρίου διὰ τῆς θεοτόκου.

ἐν τῇ λαμπρότητι] Διὰ γὰρ τῆς παρουσίας τοῦ Χριστοῦ ἐλαμπρύνθησαν οἱ ἅγιοι πάντες.

ἐκ γαστρός] Τουτέστιν πρὸ πάσης τῆς κτίσεως συνῆν ὁ Χριστὸς τῷ πατρὶ, ὡς φῶς ἐκ φωτός.

4. ὤμοσεν] Ὅσα, φησίν, ἐβουλεύσατο ἀπ' ἀρχῆς περὶ τοῦ ἀνθρώπου, οὐ μετεμελήθη ἀλλ' ἐπλήρωσεν.

σὺ εἶ] Περὶ τοῦ Χριστοῦ ὁ λόγος καὶ τοῦ ἀνθρώπου, ὃν ἀνέλαβε καὶ ἀπειργάσατο οὐράνιον. τύπος γὰρ (δὲ) ὁ Μελχισεδὲκ τοῦ Χριστοῦ, καθὸ οὐ γενεαλογεῖται, ἄλλως τε καὶ βασιλεὺς εἰρήνης ἑρμηνεύεται, ὅ ἐστιν ὁ Χριστός. ἱερεὺς δέ, καθὸ ἑαυτὸν ἱερουργήσας θυσίαν ἀνήγαγεν ἐπὶ τοῦ σταυροῦ.

5. κύριος] Κύριος ἐκ δεξιῶν τοῦ Μελχισεδὲκ ἦν, διὸ καὶ συνέκοψε τοὺς βασιλεῖς τῶν ἐθνῶν, ὡς ἡ θεότης ἐκ δεξιῶν τοῦ Χριστοῦ, ἡνίκα συνέκοψε τὰ βασίλεια τοῦ ᾅδου.

6. κρινεῖ] Ἐν τῇ ἐπιδημίᾳ γὰρ τοῦ Χριστοῦ διεκρίθη τὰ ἔθνη ἐν

---

[1] V. Baroc. add. ἐκ δεξιῶν δὲ τοῦ θεοῦ καὶ πατρὸς κεκαθικέναι φαμὲν τὸν Χριστὸν σωματικῶς, οὐ τοπικὴν δεξιὰν τοῦ πατρὸς λέγομεν. πῶς γὰρ ὁ ἀπερίγραπτος τοπικὴν σχοίη δεξιάν; δεξιὰ γὰρ καὶ ἀριστερὰ τῶν περιγραφομένων εἰσί. δεξιὰν δὲ τοῦ πατρὸς λέγομεν τὴν δόξαν καὶ τὴν τιμὴν τῆς θεότητος, ἐν ᾗ ὁ τοῦ θεοῦ υἱὸς πρὸ αἰώνων ὑπάρχων ὡς θεὸς καὶ τῷ πατρὶ ὁμοούσιος ἐπ' ἐσχάτων σαρκωθεὶς καὶ σωματικῶς κάθηται, συνδοξασθείσης τῆς σαρκὸς αὐτοῦ. προσκυνεῖται γὰρ μιᾷ προσκυνήσει μετὰ τῆς σαρκὸς αὐτοῦ ὑπὸ πάσης τῆς κτίσεως.

τῇ ἐκλογῇ τῆς πίστεως καὶ ἐπλήρωσεν τὴν πτῶσιν τῶν δαιμόνων.

συνθλάσει] Τὰς τῶν δαιμόνων, περὶ ὧν εἴρηται· σὺ συνέθλασας τὰς κεφαλὰς τῶν δρακόντων, ἐπεὶ πολλοὶ καὶ πανταχοῦ (τῶν δρακόντων ἐπὶ τοῦ ὕδατος ἐπὶ πολὺ καὶ πανταχοῦ).

7. ἐκ χειμάρρου] Ἐσήμανεν ὁ λόγος, ὅτι κεκοπιακὼς ὁ κύριος ὕδωρ ᾔτει τὴν Σαμαρεῖτιν, ὡς ἐξ ὁδοιπορίας ἐκαθέζετο ἐπὶ (ἐν) τῇ πηγῇ. χείμαρρον δὲ λέγει, ὅτι πολλοὶ χείμαρροι περιήντλουν τὴν γυναῖκα ἁμαρτιῶν.

διὰ τοῦτο] Λέγει τὸν ἄνθρωπον· κεφαλὴ γὰρ ἀνδρὸς ὁ Χριστός. ὕψωσε δὲ τοῦτον ἐπὶ τοῦ σταυροῦ καὶ εἰς οὐρανοὺς ἀνήγαγεν.

CX.

Ἀλληλουία] Ἡ προφητεία προτρέπει τὸν ἄνθρωπον, ὅτι χρὴ ἀπαύστως ὑμνεῖν τὸν θεόν. τὸ γὰρ ἀλληλουία ἑρμηνεύεται ὕμνος (ἀλλήλου ἑρμηνεύεται αἶνος, τὸ δὲ ἵα θεός).

1. ἐξομολογήσομαι] Τοῦτο φωνὴ τῶν πιστῶν, ἀεὶ δοξαζόντων τὸν κύριον.

1—2. ἐν βουλῇ] Ὅπου γὰρ σύνοδος ἁγίων καὶ συναγωγή, ἐκεῖ δοξάζεται ὁ κύριος καὶ τὰ ἔργα αὐτοῦ.

ἐξεζητημένα] Ἐκζητοῦντες γὰρ οἱ ἅγιοι τὸ θέλημα τοῦ θεοῦ πληροῦσι τὸν νόμον τοῦ θεοῦ (αὐτοῦ).

3. ἐξομολογήσεις] Τὸ γὰρ ἔργον τοῦ θεοῦ μεγαλοπρέπεια καὶ δόξα ὑπάρχει, ὅπερ εἰργάσατο εἰς τὸν ἄνθρωπον, δεξάμενος αὐτοῦ τὴν ἐξομολόγησιν καὶ σώσας αὐτόν.

καὶ ἡ δικαιοσύνη] Τὸ ἔργον τοῦ μυστηρίου, ὃ εἰργάσατο ὁ θεὸς εἰς τὸν ἄνθρωπον, ἐν δικαιοσύνῃ καὶ ἀληθείᾳ μένει ἀνεξάλειπτον ἕως τοῦ αἰῶνος.

4. μνείαν] Τῶν ἐξ ἀρχῆς, ὧν ἐποιήσατο κατὰ γενεὰν καὶ γενεὰν μνησθεὶς τοῦ ἀνθρώπου (μνησθεὶς ἐποίησε τῷ ἀνθρώπῳ).

4—5. τροφήν] Ὡς γὰρ ἐλεήμων καὶ πλῆθος οἰκτιρμῶν ἔχων, τροφὴν τοῖς πιστοῖς ἔδωκε τὸ ἴδιον σῶμα καὶ [τὸ τίμιον αὐτοῦ] αἷμα.

μνησθήσεται] Ἧς ἐβουλεύσατο ποιῆσαι τῷ ἀνθρώπῳ, ταύτην ἐπλήρωσεν αἰωνίως,

6. ἰσχύν] Τῷ λαῷ τῷ ἐξ ἐθνῶν ἐγνώρισε τὰ μυστήρια τῆς βασιλείας τῶν οὐρανῶν.

τοῦ δοῦναι] Ὑπὲρ πάντα τὰ ἔθνη τῆς γῆς ὁ λαὸς ὁ ἐξ ἐθνῶν πιστεύσας, συγκληρονόμοι τοῦ Χριστοῦ ἐγένοντο.

7. ἔργα χειρῶν] Θεοῦ γὰρ ἔργον πρὸς ἀλήθειαν καὶ κρίσις ἀληθινὴ καὶ ἀλήθεια ἄψευστος τὸ σῶσαι τὸν ἀπολλύμενον ἄνθρωπον.

πισταί] Ἃς ἐνετείλατο σωθέντι τῷ ἀνθρώπῳ. αὗται γὰρ ὄντως πίστις καὶ ἀλήθεια.

8. ἐστηριγμέναι] Ἀμετακίνητοι

γὰρ καὶ ἀσάλευτοί εἰσιν αἱ ἐντολαὶ τοῦ θεοῦ, ἃς ἔδωκε τοῖς πιστοῖς εἰς βοήθειαν, εἰς αἰῶνα αἰῶνος τεθεμελιωμέναι.

πεποιημέναι] Οὐ γὰρ ψεῦδος ἀπὸ θεοῦ ἔρχεται, ἀλλὰ ἀλήθεια καὶ εὐθύτης.

9. λύτρωσιν] Ὁ πατὴρ τὸν υἱὸν [αὐτοῦ]· αὐτὸς γὰρ ἐλυτρώσατο τὸν λαὸν τὸν πιστὸν ἐκ τῆς καταδυναστείας τοῦ διαβόλου.

ἐνετείλατο] Ἐνετείλατο γὰρ τῷ πιστῷ λαῷ τὴν διαθήκην τοῦ εὐαγγελίου καὶ μένει εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

ἅγιον] Ἅγιον γὰρ καὶ φοβερὸν τὸ ὄνομα τοῦ θεοῦ ἐπὶ πάντας τοὺς πιστούς ⟨πιστεύοντας⟩, ὡς σφραγὶς ἀσάλευτος τοῖς δεξαμένοις τὴν χάριν.

10. ἀρχή] Ὅσοι γὰρ ἄρξονται (ἕξονται) τοῦ ἐν φιλοσοφίᾳ βίου, πολλῷ φόβῳ καρτεροῦσι τῷ θεῷ.

σύνεσις] Ὅσοι γὰρ τὸν ἐν φιλοσοφίᾳ βίον ἐργάζονται, οὗτοι πλήρεις σοφίας καὶ συνέσεως τυγχάνουσιν.

ἡ αἴνεσις] Ἡ γὰρ δόξα καὶ ἡ αἴνεσις τοῦ θεοῦ ἀτελεύτητος, καὶ πάντες ὅσοι φόβῳ θεοῦ ἄγονται, καὶ τούτων ὁ ἔπαινος ἀτελεύτητος.

CXI.

Ἀλληλουία] Ὕμνος νέου λαοῦ καὶ εὐχαριστία καὶ προφητεία περὶ τοῦ Χριστοῦ καὶ τῆς αὐτοῦ παρουσίας.

1. μακάριος] Ἅπαξ ἤκουσας, ὅτι μακάριος ὁ ἀνὴρ καὶ[1] ποῖος ἔπαινος ἄλλος τοιοῦτος (τοσοῦτος) τῷ φοβουμένῳ τὸν κύριον, ὡς τὸ μακάριος.

ἐν ταῖς ἐντολαῖς] Πάντες γὰρ οἱ φοβούμενοι τὸν κύριον ἥδοντες σπεύδουσιν, ὅση δύναμις, κατορθοῦν (κατορθοῦντες) τὰς ἐντολὰς τοῦ θεοῦ.

2. δυνατόν] Τοῦ Χριστοῦ· αὐτοῦ γὰρ σπορὰ πάντες οἱ ἅγιοι. οὗτοι γὰρ δυνατοὶ ἐν τῇ γῇ, ὡς πνεῦμα θεοῦ ἔχοντες.

γενεά] Τῶν πιστῶν καὶ πάντων τῶν δικαίων. οἱ γὰρ φίλοι τοῦ θεοῦ γένος θεοῦ τυγχάνουσι.

3. δόξα] Τῷ σώματι τῷ δεσποτικῷ, περὶ οὗ λέγει (λαλεῖ) ὅτι ἐν αὐτῷ κατοικεῖ πᾶν τὸ πλήρωμα τῆς θεότητος σωματικῶς. νόει δὲ καὶ τὴν ἐκκλησίαν· οἶκος γὰρ θεοῦ καὶ αὕτη. νόει δὲ καὶ τὴν παρθένον. ἐν τούτοις γὰρ τοῖς οἴκοις δόξα πολλὴ καὶ ὁ πλοῦτος ἀμέτρητος.

καὶ ἡ δικαιοσύνη] Τοῦ Χριστοῦ δίκαιος γὰρ πρὸς ἀλήθειαν ὁ Χριστὸς ὡς πάντα δικαίως ποιήσας, καὶ διὰ τοῦτο μένει τὰ ἔργα αὐτοῦ εἰς τὸν αἰῶνα.

4. ἐξανέτειλεν] Ὁ Χριστός· αὐτὸς γὰρ ἐφάνη ἐπὶ γῆς, ὡς ἐν σκότει φῶς, καὶ ἐφώτισε τοὺς εὐθεῖς τῇ καρδίᾳ. ὅσοι γὰρ ἐδέξαντο αὐτόν, φησίν, ἔδωκεν αὐτοῖς ἐξουσίαν

[1] V. incipit sic: Μακάριος ὁ πάντως ἐν ἀγαθοῖς ὢν καὶ τὸν φόβον κυρίου ἐν ὀφθαλμοῖς ἀεὶ ἔχων. καὶ ποῖος κτλ.

τέκνα θεοῦ γενέσθαι, καὶ εἰσὶν εἰς αἰῶνα.

ἐλεήμων] Ὁ Χριστός, ὡς ἀμφότερα ἔχων ἀπαραλλάκτως, ἑκάτερα δὲ διὰ τὸν ἄνθρωπον.

5. χρηστός] Πᾶς μὲν ἄνθρωπος, οἰκτείρων τὸν πλησίον, χρηστὸς παρὰ πᾶσιν. λέγει δὲ τὸν Χριστόν, ὃς τὰ ἑαυτοῦ ἐδάνεισεν ἡμῖν καὶ δανείζων οὐ παύεται διηνεκῶς.

οἰκονομήσει] Ὁ Χριστὸς ὡς καλὸς οἰκονόμος τοὺς λόγους αὐτοῦ, οὓς ἐπηγγείλατο τῷ ἀνθρώπῳ, ἐπλήρωσεν ὡς δίκαιος κριτής.

6. ὅτι εἰς τὸν αἰῶνα] Ὁ Χριστὸς οὐ σαλεύεται, ἀλλ' ἔστιν αἰώνιος καὶ ἀσάλευτος τῇ θεότητι.

εἰς μνημόσυνον] Ὁ Χριστός· εἰς αἰῶνα γὰρ αἰώνων μένει ἡ σωτηρία μνημονευομένη, ἣν εἰργάσατο εἰς τὸν ἄνθρωπον.

7. ἀπὸ ἀκοῆς] Ὡς γὰρ φόβον ἀνθρώπων οὐ δέδοικεν, οὕτως οὐδὲ πάντες ὅσοι πορεύονται τῷ θελήματι τοῦ Χριστοῦ. οὔτε γὰρ τὴν παρὰ τῶν Ἰουδαίων πλεκομένην σκαιωρίαν ὁ Χριστὸς ἐφοβήθη.

ἑτοίμη] Θελήματι γὰρ ἰδίῳ ἑαυτὸν ἡτοίμασε ὁ Χριστὸς εἰς τὸ πάθος. ἡ οὖν ἐλπὶς ἐδόθη τοῖς πιστοῖς.

8. ἐστήρικται] Ὁ ἄνθρωπος, ὃν συνήγειρε καὶ συνεκάθισεν ἐν τοῖς ἐπουρανίοις (οὐρανοῖς).

ἕως οὗ] Ὑψωθεὶς γὰρ ὁ ἄνθρωπος (λόγος) ἐν δόξῃ ἐπεῖδε τοὺς δαίμονας πεπτωκότας.

9. ἐσκόρπισεν] Ὁ Χριστὸς τὰ χαρίσματα αὐτοῦ ἔδωκε τοῖς ἀνθρώποις· πένητες γὰρ ἦσαν πρὸ τῆς πίστεως. ἀλλὰ καὶ τὴν ἑαυτοῦ σάρκα ἔδωκε τροφὴν τοῖς πεινῶσιν.

ἡ δικαιοσύνη] Ἡ δικαιοσύνη τοῦ Χριστοῦ, ἣν εἰργάσατο εἰς τὸν ἄνθρωπον, μένει αἰώνιος.

τὸ κέρας] Τοῦ Χριστοῦ ὁ σταυρός, ὅ ἐστιν ἄκρον πάσης τῆς κτίσεως καὶ ἰσχύς· κέρας γὰρ ἰσχὺς ἑρμηνεύεται.

10. ἁμαρτωλός] Ὁ διάβολος, ὃν ὁ ἀπόστολος ἁμαρτωλὸν ἐκάλεσεν, οὗτος παρωξύνθη ἐπὶ πᾶσιν, οἷς ἐποίησεν ὁ Χριστὸς πρὸς τὸν ἄνθρωπον.

τοὺς ὀδόντας] Ἔβρυξε γὰρ τοὺς ὀδόντας αὐτοῦ κατὰ τοῦ Χριστοῦ καὶ ἐτάκη ἐπὶ τοῖς σωζομένοις.

ἐπιθυμία] Τοῦ διαβόλου καὶ τῶν δαιμόνων αὐτοῦ. ἐπεθύμησαν γὰρ ἀπολέσαι τὸν Χριστὸν καὶ ἀπώλοντο ἀπ' αὐτοῦ.

CXII.

Ἀλληλουία.] Αἶνος τῷ Χριστῷ νέου λαοῦ, προβαλλομένου εἰς κλῆσιν καὶ ἐκλογήν.

1. αἰνεῖτε] Τὸν νέον λαὸν παῖδας καλεῖ ἡ προφητεία[1] (ὁ προφήτης) ⟨ἡ γραφή⟩.

[1] V. post προφητεία scribit: προεῖπε δὲ ἡ προφητεία τὸν ὕμνον τῶν παιδῶν, ὅταν ὕμνησαν λέγοντες ὡς Ἀννά· εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι κυρίου.

αἰνεῖτε τὸ ὄνομα] *Τῷ νέῳ λαῷ ὡσαύτως ἐπιτάσσει τὸ πνεῦμα τὸ ἅγιον ὥστε αἰνεῖν·* [*ἐλλωί, ἐλλωί*].[1]

2. *εἴη τὸ ὄνομα*] *Καὶ πρὸ μὲν τῆς παρουσίας τοῦ Χριστοῦ εὐλογημένον τὸ ὄνομα κυρίου ὡς ἅγιον, ἀπὸ δὲ τῆς παρουσίας, ὅ ἐστιν ἀπὸ τοῦ νῦν, ὑπερευλογημένον διὰ τὸ πολὺ ἔλεος αὐτοῦ, ὃ ἐποίησεν εἰς τὸν ἄνθρωπον.*

3. *ἀπὸ ἀνατολῶν*] *Οὐδεὶς γὰρ τόπος ἄμοιρος τῶν τοῦ Χριστοῦ μυστηρίων, ὅθεν ἀπαύστως δεῖ τὸν ἄνθρωπον προσφέρειν (προσφέρεσθαι) τῷ κυρίῳ ἀπὸ πάσης τῆς γῆς τὸ μυστικὸν ᾆσμα.*

4. *ὑψηλός*] *Ὡς πάντων ποιητὴς καὶ εὐεργέτης, δηλονότι πάντων μείζων ὡς θεός.*

ἐπὶ τοὺς οὐρανούς] *Ἐπὶ τοὺς αἰσθητούς, δῆλον, ἅμα (ἀλλὰ) γὰρ καὶ ἐπὶ τοὺς νοητούς, οἵτινές εἰσιν οἱ ἅγιοι· οὐρανοὶ γὰρ αὐτοὶ λέγονται, ὡς βίον οὐράνιον μετελθόντες.*

5. *τίς ὡς κύριος*] *Τίς; οὐδείς, οὔτε πρὸ αὐτοῦ οὔτε μετ' αὐτοῦ.*

5—6. *ὁ ἐν ὑψηλοῖς — ἐφορῶν*] *Πάντα γὰρ ἐφορᾷ ὡς θεός, καὶ τὰ ἐν οὐρανῷ καὶ τὰ ἐπὶ τῆς γῆς, ὡς πάντα ἔσω τῆς χειρὸς ἔχων.*

ἐν τῷ οὐρανῷ] *Ὁ οὐρανὸς γὰρ αὐτοῦ θρόνος, ἡ δὲ γῆ ὑποπόδιον, ὥστε οὐδὲν λανθάνει τὸν θεόν.*

7. *ὁ ἐγείρων*] *Τὸν Ἀδὰμ ὁ Χριστός, ὡς πανταχόθεν πτωχεύσαντα τῇ παραβάσει.*

καὶ ἀπὸ κοπρίας] *Τὸν αὐτὸν ἀνεκαίνισε* [*γὰρ*] *σεσηπότα τῇ σαπρίᾳ τῆς ἁμαρτίας.*

8. *τοῦ καθίσαι*] *Τουτέστιν ἐν τοῖς οὐρανοῖς· ἐκεῖ γὰρ ἐκάθισε τὸν ἄνθρωπον, ὅπου ἀρχαὶ καὶ ἐξουσίαι καὶ πᾶσα δύναμις τῶν οὐρανῶν.*

μετὰ ἀρχόντων] *Καὶ ἐπὶ γῆς γὰρ μετὰ τῶν ἀρχόντων τοῦ λαοῦ αὐτοῦ ἐκάθητο ὁ κύριος ἐφορῶν ⟨φορῶν⟩ τὸν ἄνθρωπον.*

9. *ὁ κατοικίζων*] *Τὴν ἐκκλησίαν λέγει, περὶ ἧς γέγραπται· εὐφράνθητι στεῖρα, ἡ οὐ τίκτουσα. κατοικίζει δὲ ταύτην ἐν τῷ οἴκῳ τῆς εἰρήνης· οἶκος γὰρ ἡ οἰκοδομή.* [*ἑρμηνεύεται· διὸ καὶ οἶκος εἰρήνης ὁ Χριστός ἐστιν*].

μητέρα τέκνων] *Μόνη γὰρ ἡ ἐκκλησία εὐφραίνεται ἐπὶ τοῖς ἀναγεννωμένοις δι' αὐτῆς.*

CXIII.

Ἀλληλουία] *Καὶ πάλιν διὰ τοῦ ἀλληλουία αἶνος (ὁ ὕμνος) τῷ Χριστῷ προσφέρεται διὰ τῆς διδασκαλίας τοῦ νέου λαοῦ καὶ κλήσεως.*

1. *ἐν ἐξόδῳ*] *Ὅταν ὁ αἰσθητὸς Ἰσραὴλ ἐξῆλθεν ἐκ τῆς Αἰγύπτου. λέγει δὲ τὸν λαὸν* [*τὸν πιστὸν ἤγουν*] *τῶν ἐθνῶν ἐκ τῆς* [*νοητῆς*] *θλίψεως*

[1] Ven. post *τὸ ἅγιον* addit: *αἴνεσιν μίαν νοεῖν.*

τῶν δαιμόνων. Αἴγυπτος γὰρ ἐκθλίβουσα ἑρμηνεύεται.

οἴκου] Οἶκος γὰρ [ἦσαν] Ἰακὼβ ὁ λαός, ὁ ἐξελθὼν ἐκ τῆς Αἰγύπτου [ἤγουν τῶν δαιμόνων].

2. ἐγενήθη] Μετέπειτα γὰρ ἐν τῇ Ἰουδαίᾳ ἐφάνη ὁ Χριστὸς καὶ ἡγίασεν αὐτήν, πράξας ἐν αὐτῇ τὰ μυστήρια τῆς αὐτοῦ σαρκώσεως.

Ἰσραήλ] Ἰσραὴλ γὰρ ὁ νοητός, ὅ ἐστιν ὁ Χριστός· αὐτὸς [γὰρ] τὴν Ἰουδαίαν ⟨ἰδίαν⟩ ἀνέθηκεν ἐξουσίαν.

3. ἡ θάλασσα] Ἐν τῷ λαῷ τῶν Ἑβραίων θεωρήσασα[1] τοῦ νέου λαοῦ τὰ μυστήρια· τύπος γὰρ ἦν ἡ ῥάβδος τοῦ σταυροῦ, ἐν ᾧ ἐπατάχθη.

ὁ Ἰορδάνης] Ἡνίκα παρῆει ὁ λαὸς τὸν Ἰορδάνην,[2] ἐφοβήθη· προεώρα γὰρ τὸν μέλλοντα ἐν Ἰορδάνῃ βαπτίζεσθαι.

4. τὰ ὄρη] Ἐσκίρτων γὰρ τὰ ὄρη, προβλέποντες τὴν δόξαν τοῦ Γολγοθᾶ.[3]

καὶ οἱ βουνοί] Συγχαίροντες τῷ βουνῷ τῆς ἀναλήψεως ἐσκίρτησαν, τουτέστιν ἐσείσθησαν.[4]

5. τί ἐστιν] Εἶδον, φησί [τῷ Ἰσραήλ], τὸν Χριστὸν μέλλοντα πεζεύειν τὰ νῶτά μου, καὶ ἐφοβήθην.

καὶ σύ] Εἶδον γὰρ παρερχόμενον τὸν Ἰσραὴλ καὶ δι' αὐτοῦ ἔγνων τὸν μέλλοντα ἐν ἐμοὶ βαπτίζεσθαι, καὶ ἐφοβήθην.

6. τὰ ὄρη] Ἔγνωμεν, φησί, τὴν χαρὰν (χάριν), τὴν μέλλουσαν γίνεσθαι ἐν τῷ ὄρει τοῦ Γολγοθᾶ καὶ ἠγαλλιασάμεθα, ὅτι δι' αὐτοῦ καὶ ⟨πάντα⟩ τὰ ὄρη εὐλογήθησαν.

καὶ οἱ βουνοί] Ἔγνωμεν, φησί, τὴν χαρὰν (χάριν) καὶ εἴδομεν, πῶς ὁ ἄνθρωπος (Χριστὸς) ἀπὸ τοῦ βουνοῦ τῆς ἀναλήψεως εἰς τὸν οὐρανὸν ἀνέρχεται, καὶ τῇ χαρᾷ ὡς ἄρνες ἐσκιρτήσαμεν.

7. ἀπὸ προσώπου] Ἡνίκα ἐπὶ τοῦ σταυροῦ ἐκρέματο ὁ Χριστός.

—] Τοῦ Χριστοῦ· Ἰακὼβ γὰρ ὁ παῖς μου, ὃν ἐξελεξάμην.

8. τοῦ στρέψαντος] Τότε τῷ λαῷ τὴν ἀκρότομον, λέγει δὲ νῦν τὴν πλευρὰν τοῦ Χριστοῦ· ἡ γὰρ πέτρα ἦν ὁ Χριστός· ἐξ αὐτῆς [γὰρ] ἐξῆλθεν ὁ ποταμὸς ὁ κατακλύσας τοὺς [νοητοὺς] γίγαντας.

---

[1] V. Baroc. continuat sic: τὸν τύπον τοῦ σταυροῦ ἡ θάλασσα προτυπουμένη ἐσχίσθη εἰς ιβ' καὶ ἐπέρασεν ὁ παλαιὸς Ἰσραὴλ καὶ ἐδιεσώθη ἐκ τῶν Αἰγυπτίων. τύπος δὲ ἦν τοῦ νέου λαοῦ τὸ γινόμενον· οἵτινες ἐσώθησαν οἱ πιστοὶ ἀπὸ τῶν νοητῶν Αἰγυπτίων καὶ Φαραώ, τουτέστιν τοῦ διαβόλου καὶ τῶν δαιμόνων· ἡ γὰρ ῥάβδος τύπος ἦν τοῦ σταυροῦ, ἐν ᾧ ἐπατάχθη.

[2] V. Baroc. continuat sic: διὰ τῆς κιβωτοῦ ἐπέρασαν· διὸ καὶ ἡ νέα κιβωτὸς τὰς θαλάσσας τῶν ἐμῶν κακῶν ἀπέτεμε διὰ τοῦ ἐξ αὐτῆς σαρκωθέντος ἄνευ σποράς ἐκ πνεύματος ἁγίου υἱοῦ τοῦ θεοῦ. Ἰορδάνης δὲ ἰδὼν (προιδὼν) τὸν μέλλοντα βαπτίζεσθαι ἐφοβήθη.

[3] V. Baroc.: Οἱ προφῆται ἅπαντες ἐσκίρτων προβλέποντες τὴν δόξαν, τὴν μέλλουσαν γίνεσθαι ἐν τῷ ὄρει τοῦ Γολγοθᾶ.

[4] V. Baroc.: Βουνοὺς δὲ λέγει τοὺς ἀποστόλους, συγχαίροντας τῷ καιρῷ τῆς ἀναστάσεως, ὅταν εἶδον τὸν κύριον ἀναστάντα ἐκ νεκρῶν. τὸ δὲ ἴδιον τοῦ λόγου τὰ ὄρη λέγει, ἐν ᾧ τὰ θεῖα αὐτοῦ μυστήρια ἐπλήρωσεν ὁ θεὸς λόγος, τὸ Σινᾶ, τὸ ὄρος τῶν ἐλαιῶν, τὸ Γολγοθᾶ, τὸ Θαβώρ, τὸ Ἑρμωνιείμ.

καὶ τὴν ἀκρότομον] Ἀκρότομος λέγεται, ἧς οὐκ ἐνῆν (ἔνι) κἂν τὸ τυχὸν τεμεῖν· οὐδὲ γὰρ τῆς θεότητος τοῦ Χριστοῦ δυνατὸν θιγεῖν. ἐκεῖθεν δὲ ἐξῆλθεν ἡ πηγὴ τῆς ζωῆς, νυχθείσης τῆς σωτηρίου πλευρᾶς.

9. μὴ ἡμῖν] Τὰ κτίσματα φησίν· μὴ ἡμῖν ἀτελὲς ἀφῆς (ἀφήσῃς) τὸ μυστήριον;

ἀλλ' ἤ] Ἐπὰν γὰρ τελέσῃς τὸ μυστήριον, ὃ προέθου, τὸ ὄνομά σου δοξάζεται.

ἐν τῷ ἐλέει] Ἐν τῷ ἐλεῆσαι, φησίν, τὸν ἄνθρωπον ἐν ἀληθείᾳ.

10. μή ποτε] Ἐὰν γὰρ χρονίσῃ ἡ σωτηρία ἡμῶν, μέλλουσιν οἱ ἐχθροὶ ἡμῶν, οἱ δαίμονες, ἐπιχαίρειν ἡμῖν.

11. ὁ δὲ θεὸς] Τὸν γὰρ οὐρανὸν θρόνον ἔχει καὶ τὴν γῆν ὑποπόδιον, ὥστε πλήρης ὑπάρχει ὁ οὐρανὸς καὶ ἡ γῆ τῆς δόξης αὐτοῦ. αἰσχυνέσθωσαν οὖν οἱ ἐνδιαβάλλοντες ἡμᾶς (αὐτούς).

πάντα ὅσα] Τῷ γὰρ βουλήματι αὐτοῦ πάντα ἐγένετο.

12. τὰ εἴδωλα] Ὡς χωνευτὰ καὶ ἐλατὰ ὑπάρχοντα καὶ πανταχόθεν μάταια.

ἔργα] Ὁ δὲ θεὸς ἀληθινὸς ὑπὸ ἀνθρώπων οὐ γεγένηται (γίνεται), ἀχειροποίητος γὰρ καὶ ἀνεκδιήγητος (ἀνεκδίκητος), οἱ δὲ ψευδώνυμοι θεοὶ ὑπὸ ἀνθρώπων καθίστανται.

13. στόμα] Πῶς γὰρ τὰ ἄψυχα καὶ ἀναίσθητα λαλεῖν δύναται; τὸ δ' αὐτὸ καὶ οἱ δαίμονες οἱ ἐπινοήσαντες αὐτά.

ὀφθαλμούς] Οἷς γὰρ οὐκ ἔστιν ἐνέργεια πνεύματος, πῶς δύνανται ὁρᾶν ἢ νοεῖν;

14. ὦτα] Ἀνενέργητα γὰρ [τὰ ὦτα καὶ] ὡς ἀναίσθητα.

ῥῖνας] Πῶς γὰρ ὁ ἄπνους εἰς συνολκὴν ἀέρος ἐπιτήδειος;

15. χεῖρας] Πῶς γὰρ νεκρὸς χεῖρα πρὸς ἐνέργειαν κινεῖν δύναται;

πόδας] Πῶς γὰρ ὁ ἀκίνητος εὔθετος πρὸς (εἰς) μετάβασιν;

οὐ φωνήσουσιν] Οὔτε γὰρ πνεύματος οὔτε φωνῆς μετέχουσιν οὔτε ἄλλης αἰσθήσεως.

16. ὅμοιοι] Καὶ γὰρ [καὶ] ψυχὴν καὶ νοῦν ἔχοντες οὐδὲν ἧττον τῶν ἀψύχων τυγχάνουσιν οἱ ἐργαζόμενοι αὐτά. οἱ γὰρ αἰσθητικοὶ ἄνθρωποι τοῖς ἀναισθήτοις καὶ ἀψύχοις προσκυνοῦσι, καὶ πῶς οὐχ ὅμοιοι αὐτοῖς (αὐτῶν) τυγχάνουσι;

17. οἶκος] Ὁ λαὸς ὁ πιστὸς· Ἰσραὴλ γὰρ ὁρῶν κύριον ἑρμηνεύεται· οὗτος γὰρ πρὸς ἀλήθειαν ἐλπίζει ἐπὶ κύριον.

βοηθός] Πρὸς ἀλήθειαν τῶν ἁγίων πάντων βοηθὸς ὁ θεὸς τῶν πιστῶν ὁ Χριστός).

18. οἶκος Ἀαρών] Αἰνίττεται τοὺς ἱερεῖς· αὐτοὶ γὰρ πρὸς ἀλήθειαν ἐλπίζουσιν ἐπὶ κύριον.

βοηθός] *Καὶ μάλιστα ⟨τίς μάλιστα⟩ τῶν ἐν ἀληθείᾳ ἱερατευόντων.*[1]

19. οἱ φοβούμενοι] *Πάντες οἱ ἅγιοι· ἀνελλιπῶς γὰρ οὗτοι καὶ ἐν ἀληθείᾳ ἐλπίζουσιν ἐπὶ κύριον.*[2]

βοηθός] *Πρὸς ἀλήθειαν τῶν ἁγίων πάντων βοηθὸς ὁ θεός.*[3]

20. κύριος] *Τοῦ ἀνθρώπου ἐμνήσθη ὁ θεός, ὅτι πλάσμα χειρῶν αὐτοῦ ἐστι καὶ εὐλόγησεν αὐτόν.*

εὐλόγησεν] *Τὴν ἐκκλησίαν λέγει ἡ προφητεία.*

—] *Τοὺς ἱερεῖς [τοὺς καθαροὺς ἱερεῖς εὐλόγησε τὸ ἅγιον πνεῦμα, ἐπειδή εἰσιν οἶκος θεοῦ δι' ἔργων ἀγαθῶν].*[4]

21. εὐλόγησεν] *Τοὺς πιστοὺς καὶ πάντας τοὺς ἁγίους (τοὺς φοβουμένους τὸν κύριον).*

τοὺς μικρούς] *Καὶ τοὺς πένητας καὶ τοὺς πλουσίους, ὅσοι φοβοῦνται τὸν κύριον, εὐλογοῦνται ὑπὸ θεοῦ ὁμοῦ πάντες.*

22. προσθείη] *Ἐπὶ τοὺς φοβουμένους τὸν κύριον καὶ ἐπὶ τὴν γενεὰν αὐτῶν· γενεὰ γὰρ εὐθέων εὐλογηθήσεται.*

23. εὐλογημένοι] *Λέγει τοὺς ἁγίους, ὅσοι τῷ φόβῳ τοῦ θεοῦ ὑπετάγησαν· οὗτοι γὰρ πρὸς ἀλήθειαν εὐλογοῦνται ὑπὸ θεοῦ.*

24. ὁ οὐρανός] *Ὁ οὐρανὸς καὶ αἱ ἐν αὐτῷ δυνάμεις διακονοῦσι τῷ κυρίῳ, ὡς λειτουργικὰ πνεύματα.*[5]

τὴν δὲ γῆν] *Ὅπως καὶ αὕτη ἡ γῆ λειτουργοῦσα εὑρίσκοιτο τῷ θεῷ κατὰ τὸν τύπον τῶν οὐρανῶν καὶ μὴ λείποιτο λειτουργίας.*

25. οὐχ οἱ νεκροί] *Οὔτε γὰρ μετὰ θάνατον δύνανται οἱ νεκροὶ εὐλογεῖν τὸν θεόν, πλὴν τὸ ἀληθὲς ⟨θαυμαστὸν⟩ λέγει τοὺς νεκρωθέντας τῇ ἁμαρτίᾳ.*

οὐδὲ πάντες] *Ὅσοι διὰ τῆς ἀσεβείας τῷ ᾅδῃ παρεπέμφθησαν, οὗτοι πάντες ἐστερήθησαν τῆς δόξης τοῦ θεοῦ· οἱ γὰρ πιστοὶ πάντες καὶ δίκαιοι καὶ τεθνηκότες ζῶσι [καὶ δοξάζουσι τὸν θεόν].*

26. ἀλλ' ἡμεῖς] *Οἱ ⟨ὅσοι⟩ ζῶντες τῇ δικαιοσύνῃ, εἰσὶ δὲ οἱ ἅγιοι πάντες.*

ἀπὸ τοῦ νῦν] *Τουτέστιν καὶ ἐν τῷ νῦν αἰῶνι καὶ ἐν τῷ μέλλοντι οἱ ἅγιοι πάντες οὐ παύονται εὐλογοῦντες τὸν θεόν.*

---

[1] V.: *Τοὺς πιστεύσαντας τὴν τοῦ Χριστοῦ παρουσίαν καὶ ὁμολογοῦντας αὐτὸν θεὸν τέλειον καὶ τέλειον ἄνθρωπον· ὑπερασπιστής ἐστιν ὁ κύριος καὶ καθεκάστην βοηθός. τῶν δὲ ἁγίων πάντων πρὸς ἀλήθειάν ἐστι βοηθὸς ὁ θεός.*

[2] V.: *Ὅσοι τῷ φόβῳ τοῦ θεοῦ ἀεὶ πρὸ ὀφθαλμῶν ἔχοντες, οὗτοι ἤλπισαν εἰς κύριον.*

[3] V.: *Ὅσοι φυλάσσουσι τὰς ἐντολὰς αὐτοῦ, οὗτοι ἐπίκουρον ἔχουσιν ἀεὶ τὸν θεόν.*

[4] Quae uncis inclusa sunt, in V. leguntur; in Ven. versiculus prorsus abest, in slav. et A. tantum *τοὺς ἱερεῖς*, sed A. addit *τὴν ἱεροσύνην ταύτην καὶ διδάσκων τοὺς τηνικαῦτα, πόση πρὸς τοὺς ἄλλους ἡ τῶν ἱερέων διαφορά.*

[5] V. ad haec: *Εἴρηται δὲ ὁ οὐρανὸς παρὰ τὸ ἄνω ῥύειν, ἢ παρὰ τὸ ὅρασις νοῦ εἶναι. καὶ ὥσπερ ἡ φύσις τῶν ἀνθρώπων εἷς ἄνθρωπος λέγεται καὶ πάλιν πολλοὶ ἄνθρωποι, οὕτω καὶ ὁ οὐρανὸς καὶ εἷς οὐρανὸς καὶ πολλοὶ οὐρανοί.*

CXIV.

Ἀλληλουία] *Αἶνος* [*ἅγιος*] *προσφερόμενος τῷ Χριστῷ ὑπὸ νέου λαοῦ, προκόπτοντος εἰς τὴν πίστιν.*

1. *Ἠγάπησα*] *Φωνὴ αὕτη τοῦ Ἀδάμ, ὅ ἐστιν νέου λαοῦ ἱκεσία πρὸς τὸν θεόν.*

2. *ὅτι ἔκλινεν*] *Εἰ μὴ γὰρ ἔκλινε τὸ οὖς αὐτοῦ ὡς συμπαθής, πῶς ἔσωζε τὸν ἄνθρωπον (ἐσώζετο ὁ ἄνθρωπος);*

καὶ ἐν ταῖς ἡμέραις] *Ὧδε φωνὴ τοῦ Χριστοῦ ἐκ προσώπου τοῦ Ἀδάμ, ἡνίκα ἦν ἐπὶ τοῦ σταυροῦ.*

3. *περιέσχον*] *Ἃς ὠδύνησεν ὁ διάβολος κατὰ τοῦ κυρίου, ὡς ἐνόμιζε θανατοῦν αὐτόν.*

κίνδυνοι] *Ὑπὸ τὰ κλεῖθρα γὰρ τοῦ ᾅδου συνείχετο ὁ Ἀδάμ, ἐσφιγμένος, ἕως ἦλθεν ὁ κύριος.*

θλῖψιν] *Ἣν παρέσχε τῷ Ἀδὰμ ἡ παρακοή, ἐλθὼν δὲ ὁ κύριος ἀνεδέξατο αὐτόν.*

4. *καὶ τὸ ὄνομα*] *Ἅμα ἐπεκαλεσάμην, ἅμα ἐσώθην, φησὶν ὁ ἄνθρωπος.*

ὦ κύριε] *Ἐκπλήξεως ὁ λόγος, ὀδυρμοῦ ἡ φωνή.*

5. *ἐλεήμων*] *Τουτέστιν ἐλεήμων ὁ κύριος. καὶ τίνος χάριν χρονίζομεν κρατούμενοι τῇ ἁμαρτίᾳ, φησὶν ὁ Ἀδὰμ καὶ ἡ Εὔα.*

καὶ ὁ θεός] *Διὰ τοῦτο ὁ θεὸς ἡμῶν ἐλεῶν οὐ παύεται.*[1]

6. *φυλάσσων*] *Τὸν νηπιάζοντα λέγει λαόν, τουτέστιν τὸν νέον, περὶ οὗ ὁ Παῦλος λέγει· ὡς νηπίους ἐν Χριστῷ γάλα ὑμᾶς ἐπότισα.*

ἐταπεινώθην] *Ἡ προφητεία περὶ τοῦ Ἀδάμ· ταπεινωθέντα γὰρ αὐτὸν τῇ παραβάσει ἔσωσεν ὁ Χριστός.*

7. *ἐπίστρεψον*] *Ὑπέλαβε γὰρ πάλιν ὁ Ἀδὰμ τὸν παράδεισον, ἀλλὰ καὶ τὸν οὐρανόν.*

ὅτι κύριος] *Ἀνέλαβε τὸν Ἀδὰμ ὁ κύριος ἐπὶ τῆς θεότητος.*

8. *ὅτι ἐξείλατο*] *Τοῦ πονηροῦ θανάτου τῆς ἁμαρτίας ῥυσάμενος ὁ κύριος τὸν ἄνθρωπον.*

τοὺς ὀφθαλμούς] *Οὐδέποτε γὰρ πενθῶν καὶ κλαίων ὁ Ἀδὰμ ἐπαύσατο, ἀφ' οὗ ἔπεσε τῇ παραβάσει, ἕως ἐλθὼν ὁ κύριος ἤγειρεν αὐτόν, ἐμπλήσας χαρᾶς αἰωνίου.*

καὶ τοὺς πόδας] *Τῆς πτώσεως λέγει, ἧς ὀλισθήσας ἔπεσε διὰ τῆς παραβάσεως, ἀλλὰ ἀναστήσας αὐτόν ἠσφαλίσατο τοὺς πόδας αὐτοῦ* [*ἐν τῷ*] *εὐαγγελίῳ.*

9. *εὐαρεστήσω*] *Ἐν τῷ παραδείσῳ λοιπὸν ποιήσας ἀναπαύεσθαι τὸν ἄνθρωπον.*

CXV.

Ἀλληλουία] *Αἰνοῦμεν θεὸν ζῶντα σημαίνει τὸ ἀλληλουία, διδασκαλία ἐστὶ (διδασκαλία δέ ἐστι) τοῦ νέου λαοῦ.*

---

[1] V.: *Τοὺς ἐν μετανοίᾳ προσερχομένους ἐλεῶν οὐ παύεται.*

1. ἐπίστευσα] Ὁ προφήτης φησίν· ἐπίστευσα, περὶ ὧν ἐλάλησα, περὶ παρουσίας θεοῦ καὶ μυστηρίων καινῶν καὶ κλήσεως ἐθνῶν.

ἐγὼ δέ] Ἐλυπήθη γὰρ ὁ προφήτης, ὅτι ἃ προεῖδε καὶ προείρηκεν, οὐκ ἠδυνήθη σωματικοῖς ὀφθαλμοῖς ἰδεῖν.

2. ἐγὼ εἶπα] Ἐν ἐκστάσει γὰρ γενόμενος τῇ ὑπερβολῇ τοῦ μυστηρίου ἐδειλία, μὴ ἄρα ὡς ἄνθρωπος ψευδῆ ἐλάλησεν.[1]

3. τί ἀνταποδώσω] Ὅτι, φησί, θεωρόν με τοῦ μυστηρίου κατέστησεν, ὅτι εἰς πέρας ἐγένοντο οἱ λόγοι μου, ὅτι ἠλέησε τὸν ἄνθρωπον.

4. ποτήριον] Τὸ μυστικὸν λέγει, ἐν ᾧ ὁ οἶνος ὡς αἷμα κιρνᾶται, ὃ ἔδωκεν εἰς σωτηρίαν τῷ ἀνθρώπῳ (τῶν ἀνθρώπων).

καὶ τὸ ὄνομα] Ἐν τῇ ἐπικλήσει τοῦ ἁγίου πνεύματος τοῦ Χριστοῦ λαμβάνονται τὰ μυστήρια.

5. τὰς εὐχάς μου] Αὕτη φωνὴ τοῦ προφήτου.

6. τίμιος] Τῶν μαρτύρων, οἵτινες ὑπὲρ Χριστοῦ ἑαυτοὺς παρέδωκαν, καὶ τῶν λοιπῶν ἁγίων πάντων· τιμᾷ γὰρ πρὸς ἀλήθειαν τούτων τὸν θάνατον ὁ Χριστός.

7. ὦ κύριε] Ὁ ἄνθρωπος (Ἀδὰμ) βοᾷ τοῦτο [πρὸς θεόν]. ὀδυρμοῦ δὲ ὁ λόγος.

ἐγὼ δοῦλος] Τουτέστιν ὡς δούλου ἐπίσκεψαί [με] καὶ μὴ ὑπερίδῃς.

διέρρηξας] Οὓς ⟨οἷς⟩ ἔδησεν ἡ ἁμαρτία τὸν ἄνθρωπον (τῶν ἀνθρώπων), διέρρηξεν ἡ πίστις ἐν τῷ βαπτίσματι.

8. σοὶ θύσω] Τὴν ἀναίμακτον θυσίαν λέγει, ἣν σωθεὶς ὁ ἄνθρωπος προσφέρει, τὴν τῶν μυστηρίων.

9. τὰς εὐχάς] Ἃς οἱ πιστοὶ ἑκάστης ἡμέρας ἐπιτελοῦσιν ἐνδελεχῶς.[2]

10. ἐν αὐλαῖς] Σημαίνει τὴν ἐκκλησίαν· αὐλὴ γὰρ ἁγία αὕτη. ἐκεῖ γὰρ τοῦ λαοῦ ἑστῶτος αἱ λατρεῖαι γίνονται, προανεφωνεῖτο δὲ ταῦτα.

CXVI.

Ἀλληλουία] Αἶνος θεϊκός, δι' οὗ δοξάζουσιν οἱ ἄνθρωποι (ἅγιοι) τὸν θεόν.[3]

1. Αἰνεῖτε] Προαναφωνεῖ ὁ προφήτης τὴν τῶν ἐθνῶν ἐπιστροφὴν (κλῆσιν) καὶ δοξολογίαν.

αἰνεσάτωσαν] Δηλονότι πάντες οἱ προστεθέντες τῇ πίστει, τὸν αἶνον προσφέροντες (προσφέρουσι) τῷ θεῷ [καὶ] οὐ παύονται.

2. ὅτι ἐκραταιώθη] Τοσοῦτον γὰρ ἐκραταίωσεν ὁ θεὸς τὸ ἔλεος

[1] V. add. ὁ προφήτης τοὺς τῆς διανοίας ὀφθαλμοὺς προκόψας, τοῦ μυστηρίου τὸ ἀπόρρητον μὴ δυνηθεὶς ἀριθμῆσαι, ἔφη· οὐδεὶς ἐν ἀνθρώποις ἐρευνῆσαι θελήσας τὸ τῆς τριάδος μυστήριον, ἵνα μὴ ψεύστης γένηται.

[2] V.: Οἱ πιστοὶ ἀεὶ τῷ κυρίῳ τὰς εὐχὰς ἱκετεύοντες τῷ κυρίῳ ἐν ἑκάστῃ ἡμέρᾳ ἐπιτελοῦσιν ἐνδελεχῶς. [3] V.: αἰνοῦμεν θεὸν ζῶντα.

αὐτοῦ ἐπὶ τὸν ἄνθρωπον, ὥστε δι' αὐτὸν καὶ τὴν γῆν (τῇ γῇ) ἐπεδήμησεν, ἵνα σώσῃ αὐτόν.

καὶ ἡ ἀλήθεια] Ἣν γὰρ ἐποίησεν ἀλήθειαν εἰς τὸν ἄνθρωπον, σώσας αὐτόν, λυθῆναι οὐ δύναται, ἀλλὰ μένει εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

CXVII.

Ἀλληλουϊα] Τὸν αἶνον τὸν θεϊκὸν λέγει, προκοπὴν καὶ νίκην (προκόπτειν νίκην) τῶν ἐν Χριστῷ προκοπτόντων.

1. Ἐξομολογεῖσθε] Τουτέστιν τοσαύτης τῆς ἀγαθοσύνης (ἀγαθότητος) προκειμένης ἐξομολογεῖσθε ἀφόβως οἱ ἁμαρτωλοί.

ὅτι εἰς τὸν αἰῶνα] Ἄφατον (γὰρ) καὶ ἀνεξιχνίαστον καὶ μένον εἰς αἰῶνα αἰῶνος τὸ ἔλεος τοῦ κυρίου.

2. εἰπάτω δὴ] Ἡ ἐκκλησία, φησίν, ὑμνείτω τὴν ἀγαθότητα τοῦ θεοῦ.

ὅτι εἰς τὸν αἰῶνα] Ἔλεος γὰρ θεοῦ ἐκλεῖψαι ἀδύνατον, ὅτι καὶ ὧδε ἐλεεῖ καὶ εἰς τὸν αἰῶνα τὸν μέλλοντα.

3. εἰπάτω] Οἱ ἐν ἱερωσύνῃ καταλεγόμενοι καὶ ἡ ἐκκλησία ἐξαγγειλάτωσαν τὴν ἀγαθότητα τοῦ θεοῦ.

ὅτι εἰς τὸν αἰῶνα] Ὡς αἰώνιος γὰρ ὤν, αἰωνίως ἐλεεῖ.

4. εἰπάτωσαν δή] Οἱ δίκαιοι καὶ (πάντες), ὅσοι ἐν ἀληθείᾳ δουλεύουσι τῷ θεῷ, τὸ ἀγαθὸν τοῦ θεοῦ ἐξαγγειλάτωσαν τῷ θεῷ.

ὅτι εἰς τὸν αἰῶνα] Εἰς τὸν αἰῶνα γὰρ μένει καὶ οὐκ ἐκλείψει.

5. ἐκ θλίψεως] Ὁ πιστὸς λαὸς ὁ ἐξ ἐθνῶν· ἦν γὰρ ἐν θλίψει πολλῇ δουλεύων τοῖς δαίμοσι [καὶ] τῇ εἰδωλολατρείᾳ.

καὶ ἐπήκουσεν] Πλατυνθείσης γὰρ τῆς πίστεως ὁ ἄνθρωπος ἐν αἰνέσει ἐγένετο ⟨ἐν ἀναπαύσει ἐγένετο⟩.

6. κύριος] Τοῦ λαοῦ τῶν ἐθνῶν· ἀφ' οὗ γὰρ τῇ πίστει ἐσφραγίσθησαν, οὐκέτι πτοοῦνται τὸ φρύαγμα τῶν [εἰδωλικῶν λαῶν καὶ τῶν] ἑλληνικῶν ἀνθρώπων.

7. κύριος] Σωθεὶς γὰρ ὁ ἄνθρωπος οὐκέτι λογίζεται τοὺς δαίμονας, ἀλλ' εἰσὶ βδελυκτοί.

8. ἀγαθόν] Ἀγαθὸν γὰρ ἡ ἐπὶ θεὸν πεποίθησις· ἄνθρωπος γὰρ ἄνθρωπον ἐλεεῖν οὐ δύναται (δυνατόν)· εἰ δὲ καὶ ἐλεεῖ, πρὸς καιρὸν ἐλεεῖ.

9. ἀγαθὸν ἐλπίζειν] Ἡ γὰρ ἐλπὶς ἡ ἐπὶ κύριον ἀπλανὴς ὑπάρχει ὑπὲρ τὸ ἐλπίζειν ἐπὶ τοὺς ἄρχοντας τοῦ αἰῶνος τούτου· πρόσκαιροι γάρ εἰσιν.

10. πάντα] Καὶ δαίμονες καὶ οἱ Ἰουδαῖοι ἐκύκλωσαν τὸν Χριστόν. προσεδόκησαν γὰρ αὐτὸν ψιλὸν ἄνθρωπον εἶναι καὶ ἐβούλοντο αὐτὸν ἀπολέσαι.

11. κυκλώσαντες] Ἀνταπέδωκε γὰρ αὐτοῖς ὁ θεὸς κατὰ τὰ ἔργα αὐτῶν καὶ ἐγένοντο εἰς οὐδέν.

12. ἐκύκλωσαν] Ὁμοῦ πάντες παρέστησαν αὐτῷ κράζοντες· ἆρον, ἆρον, σταύρωσον αὐτόν.

καὶ ἐξεκαύθησαν] Ὡς ὅταν εὕρῃ πῦρ ἀκάνθας ξηράς, ὀξέως ταύτας (αὐτὰς) ἀναλίσκει· οὕτως οἱ Ἰουδαῖοι τῇ ὀργῇ καὶ τῷ θυμῷ ἀνήφθησαν κατὰ τοῦ Χριστοῦ, ἐσβέσθησαν δὲ ὡσαύτως.

καὶ τῷ ὀνόματι] Ἐξήλειψε γὰρ αὐτοὺς ἐκ βίβλου ζώντων.

13. ὠσθείς] Ἀπώσαντο γὰρ αὐτόν, ὥστε ῥῖψαι (ῥῆξαι) αὐτὸν τοῦ μὴ ἐστάναι· οὐ γὰρ ἤθελον αὐτὸν ζῆν.

καὶ κύριος] Ἡ θεότης, ἡ ἐνοικοῦσα ἐν τῷ ἀνθρώπῳ, οὐ συνεχώρει πεσεῖν τὸν ἄνθρωπον, ἀλλ' ἦν ἄμεμπτος.

14. ἰσχύς μου] Διὰ τοῦτο γὰρ ἀνέλαβε ὁ θεὸς τὸν ἄνθρωπον, κατὰ πάντα ἰσχυροποιήσας αὐτόν (ἵνα κατὰ πάντων ἰσχυροποιήσῃ αὐτόν).

καὶ ἐγένετο] Ὁ θεὸς τοῦ ἀνθρώπου.

15. φωνή] Λέγει μὲν τὰ σκηνώματα (σώματα) τῶν ἁγίων, λέγει δὲ καὶ τὰς ἐκκλησίας, ὡς ἐν αὐταῖς ἀκαταπαύστως ὑμνοῦντες οἱ πιστοὶ ἐν ἀγαλλιάσει οὐ παύονται, καρπούμενοι τὴν ἑαυτῶν σωτηρίαν.

δεξιά] Ἡνίκα τὸν ᾅδην ἐσκύλευσε.

16. δεξιά] Ἡνίκα τὸν ἄνθρωπον εἰς οὐρανὸν ἀνέφερε (ἀναφέρει, ἀνήγαγε).

δεξιὰ κυρίου] Θεμελιώσας τὴν ἐπαγγελίαν τοῦ πνεύματος ἐπὶ τῆς γῆς.

17. οὐκ ἀποθανοῦμαι] Θάνατος αὐτοῦ οὐκέτι κυριεύει, καθὼς εἶπεν ὁ ἀπόστολος.

καὶ ἐκδιηγήσομαι] Ἐξηγούμενος καὶ διδάσκων τὰ μυστήρια τῆς βασιλείας τῶν οὐρανῶν ἐπὶ τῆς γῆς τοῖς ἀνθρώποις.

18. παιδεύων] Περὶ τοῦ πάθους λέγει, ὅσα [γὰρ] ὤφειλε παθεῖν (ἔπαθεν) ὁ κύριος, ἵνα πάθους καὶ φθορᾶς ἐλευθερώσῃ τὸν ἄνθρωπον.

καὶ τῷ θανάτῳ] Οὔτε γὰρ ἐκυρίευσεν αὐτοῦ ὁ θάνατος· ἦν γὰρ ζωὴ ἐκ ζωῆς.

19. ἀνοίξατε] Τὰς εὐαγγελικὰς διδασκαλίας, δι' ὧν εἰσῆλθον τὰ ἔθνη καὶ ἐσώθησαν.

εἰσελθών] Εἰσελθόντα γὰρ τὰ ἔθνη τὰς πύλας τῆς πίστεως ἐξωμολογήσαντο καὶ ἐσώθησαν.

20. αὕτη ἡ πύλη] Αὕτη. ποία; ὁ Χριστός. αὐτὸς γὰρ εἶπε· δι' ἐμοῦ ἐάν τις εἰσέλθῃ, σωθήσεται· εἰσελεύσεται καὶ ἐξελεύσεται καὶ νομὴν εὑρήσει. καὶ πάλιν· οὐδεὶς ἔρχεται πρὸς τὸν πατέρα, εἰ μὴ δι' ἐμοῦ.

21. ἐξομολογήσομαι] Σωθεὶς ὁ ἄνθρωπος καὶ ἐξομολογησάμενος ἐδοξάσθη.

καὶ ἐγένου] Τῷ ἀνθρώπῳ ὁ Χριστὸς ἐγένετο εἰς σωτηρίαν, ῥυσάμενος αὐτὸν ἐκ τῆς πλάνης τῶν εἰδώλων.

22. λίθον] Τὸν Χριστὸν οἱ Ἰουδαῖοι, ὡς ἄτεχνοι οἰκοδόμοι. λίθον γὰρ εὑρόντες τὸν πάσης κτίσεως τιμιώτερον ὡς ἄτεχνοι ἀπέβαλον.

οὗτος ἐγενήθη] Πᾶσα γωνία στερέωμά ἐστιν οἴκου καὶ εὐπρέπεια· οὕτως ὁ Χριστὸς πάσης δυνάμεως κεφαλὴ κεῖται. ἐν δεξιᾷ γὰρ καθέζεται

ὁ Χριστός. λέγω (λέγων) δὲ τῇ σαρκί, ὅ ἐστιν ὁ λίθος ὁ ἀποδοκιμασθείς.

23. παρὰ κυρίου] Αὕτη. ποία; ἡ σὰρξ ἡ τοῦ Χριστοῦ, ἣν ᾠκοδόμησεν ἐκ Μαρίας. αὕτη γὰρ θαυμάζεται καὶ ἐν οὐρανοῖς καὶ ἐπὶ γῆς ὡς θεοῦ μυστήριον.

24. αὕτη ἡμέρα] Αὕτη. ποία; ἐν ᾗ ἀνέστη ὁ κύριος. ἐν αὐτῇ γὰρ ἀνέπλασε τὸν Ἀδάμ. αὕτη οὖν ἡ ἡμέρα ὡς ἐπίδοξος, ὡς μεγάλη, ὡς θαυμαζομένη παρὰ πάσης τῆς κτίσεως, καὶ ἐπουρανίοις καὶ ἐπιγείοις.

ἀγαλλιασώμεθα] Ἐν αὐτῇ γὰρ ἐχρῆν ἀγαλλιᾶσθαι καὶ εὐφραίνεσθαι καὶ τὰ ἐπουράνια καὶ τὰ ἐπίγεια, ὅτι ἐν αὐτῇ ἠλευθερώθη τῶν κακῶν ἡ κτίσις ἡ σύμπασα.

25. ὦ κύριε] Ἐκπλήξεως καὶ ἐπικλήσεως ὁ λόγος.

—] Θάμβους ἡ φωνὴ καὶ ἐνεργείας τοῦ ἀνθρώπου ἐπὶ τῷ θαύματι γενομένης καὶ σπεύδων εὐοδωθῆναι.

26. εὐλογημένος] Περὶ τῆς παρουσίας τοῦ κυρίου ὁ προφήτης προβλέπων ἐβόα.

εὐλογήκαμεν] Ποίου οἴκου; ἐν ᾧ κατῴκησεν [ἐν αὐτῷ] ὁ θεὸς λόγος, ὡς ἠθέλησεν καὶ ὡς ἠβουλήθη· δι' αὐτῆς εὐλογήθη (ἐσώθη) τὸ γένος τὸ ἀνθρώπινον.

27. θεὸς κύριος] Ὁ τεχθεὶς ἐκ τῆς παρθένου θεός· αὐτὸς ἐπέλαμψεν ἡμῖν τὴν χάριν τὴν ἑαυτοῦ.

συστήσασθε] Τουτέστιν τὴν ἑορτὴν τῆς χαρᾶς, ταύτην μεταπαράδοτε ταῖς μετὰ ταῦτα γενεαῖς. πυκάζειν γὰρ λέγεται τὸ αὔξειν καὶ γίνεσθαι (γεγένεσθαι), ὅ ἐστι τοῖς τικτομένοις κατὰ γενεὰν καὶ γενεάν.

ἕως τῶν κεράτων] Ἕως τῶν ἀκροθινίων, τουτέστιν τῶν ἄκρων τῆς δυνάμεως. κέρας γάρ ἐστιν ἀρχὴ καὶ ἰσχύς.

28. θεός μου] Φωνὴ τοῦ σωθέντος λαοῦ.

—] Μεγαλύνει γὰρ ὁ σωθεὶς λαὸς ἀεὶ τὸν θεὸν (κύριον).

ἐξομολογήσομαι] Ἐξομολογοῦνται γὰρ οἱ σωθέντες ἀκαταπαύστως τῷ θεῷ.

καὶ ἐγένου] Ὁ ἄνθρωπος φησίν, ὅτι ἠλευθέρωσάς με ἐκ τῆς δουλείας τῶν δαιμόνων.

29. ἐξομολογεῖσθε] Πλησθέντες τῆς ἀγαθότητος τοῦ θεοῦ οἱ σωθέντες ἐξομολογοῦνται (ἐξομολογεῖσθε) θαρροῦντες.

ὅτι εἰς τὸν αἰῶνα] Καὶ ἐνταῦθα γὰρ καὶ ἐν τῷ μέλλοντι αἰῶνι μένει τὸ ἔλεος τοῦ θεοῦ.

CXVIII.

Ἀλληλουία] Δηλοῖ ἡ προφητεία τὸν ὕμνον τῶν ἀγγέλων, δοθέντα ἐν ἀνθρώποις· ἡ γὰρ ἑπομένη (προκειμένη) προφητεία στοιχείωσίν τινα δηλοῖ πᾶσι τοῖς βουλομένοις κατὰ θεὸν ζῆν· ἡ γὰρ ῥητορεία τοῦ ψαλ-

μοῦ ὧδε κἀκεῖσε συνσφίγγουσα εὑρίσκεται τὸν ἄνθρωπον.

1. Μακάριοι] Βλέπεις, πῶς μακαρίζει τὸ πνεῦμα τὸ ἅγιον τοὺς ἐν ὁδῷ ἀμώμῳ πορευομένους, τουτέστιν ὧν ἡ ὁδὸς οὐ μεμώμηται.

οἱ πορευόμενοι] Οἵτινες κατορθοῦσι τὸν νόμον [τῇ μελέτῃ] τῶν θείων γραφῶν.

2. μακάριοι] Τῇ μελέτῃ τῶν γραφῶν· μαρτυρία γὰρ θεοῦ αἱ γραφαὶ τυγχάνουσιν.

ἐν ὅλῃ καρδίᾳ] Οἱ γὰρ σχολάζοντες ἀπὸ σπουδῆς ταῖς θείαις γραφαῖς, οὗτοι ἐν ὅλῃ καρδίᾳ ζητοῦσι τὸν κύριον.

3. οὐ γάρ] Περὶ Ἰουδαίων ὁ λόγος, ὅτι ἐξέκλιναν ἐκ τοῦ νόμου.

4. σὺ ἐνετείλω] Ὅσας διὰ τοῦ νόμου ἐνετείλατο, φησί, ταύτας φυλάττειν δεῖ τὸν ἄνθρωπον [ὁ θεὸς γὰρ οὕτως ἀρέσκεται].

5. ὄφελον] Ζητῶ, φησὶν ὁ πιστὸς ἄνθρωπος, εὐθείας γενέσθαι τὰς ὁδούς μου, ἵνα οὕτως κατορθώσω.

τοῦ φυλάξασθαι] Ἐὰν γὰρ τὰς ὁδούς μου ⟨σου, ἑαυτοῦ⟩ κατορθώσῃ τις, εὐκόλως φυλάσσει τὰς ἐντολὰς τοῦ θεοῦ.

6. τότε] Ἐν ἐκείνῃ γὰρ τῇ ἡμέρᾳ οὐ φοβεῖται αἰσχύνην ὁ τὰς ἐντολὰς τοῦ θεοῦ κατορθώσας.

7. ἐξομολογήσομαι] Ὡς Πέτρος ἐπὶ τῇ ἀρνήσει ἐν ὅλῃ καρδίᾳ ἐξωμολογήσατο, οὕτως χρὴ καὶ τὸν εὐθῆ ἄνθρωπον ἐξομολογεῖσθαι τῷ θεῷ.

ἐν τῷ μεμαθηκέναι] Ὅταν γὰρ κατορθώσῃ ὁ ἄνθρωπος τὰ κρίματα τοῦ θεοῦ, τότε τέλειος εὑρίσκεται καὶ κατὰ θεόν.

8. τὰ δικαιώματα] Τουτέστιν διὰ τοῦτο ἐφύλαξα, ἃ (ὅσα) ἐνετείλω, ἵνα μὴ ἐγκαταλειφθῶ εἰς τέλος.

9. ἐν τίνι] Ἐν τίνι κατορθώσει καὶ πότε ὁ νέος λαὸς τὰς ὁδοὺς τοῦ θεοῦ; δηλονότι τῇ παρουσίᾳ τοῦ Χριστοῦ καὶ θεοῦ.

ἐν τῷ φυλάσσεσθαι] Ὅταν, φησίν, ἐπακούσητε τοῦ κηρύγματος τοῦ εὐαγγελίου καὶ φυλάξητε (cod. φυλάξῃ).

10. ἐν ὅλῃ] Ὁ πιστὸς ⟨ἄνθρωπος⟩ φησίν· ἀπὸ καρδίας ἐξεζήτησά σε καὶ οὐ παρέργως. διὸ μὴ ἀπώσῃ με ὡς ἄχρηστον.

11. ἐν τῇ καρδίᾳ] Τουτέστιν οὐκ ἀπέστησαν οἱ λόγοι σου ἀπὸ τῆς καρδίας μου, δεδιὼς μὴ ὡς οὐ θέλω ἁμάρτω (ἁμαρτῆσαι).

12. εὐλογητός] Ὡς εὐλογημένος, ὡς ἀγαθός, ὡς συμπαθὴς θέλησον διδάξαι με τὰ δικαιώματά σου, ὁ κατὰ θεὸν ἀγωνιζόμενος παρακαλεῖ.

13. ἐν τοῖς χείλεσιν] Τῇ μελέτῃ τῶν θείων γραφῶν κατορθώσας ἑκάτερα ὁ ἄνθρωπος.

14. ἐν τῇ ὁδῷ] Οὔτε γὰρ πλοῦτος πολὺς καὶ περιουσία οὕτως τερπνὸς τοῖς πιστοῖς, ὡς ἡ μελέτη τῶν θείων γραφῶν, καὶ ὁ κατὰ θεὸν πλοῦτος τότε μάλιστα.

15. ἐν ταῖς ἐντολαῖς] Ἐπὰν γὰρ ὁ (τις) ἄνθρωπος φροντίδα σχῇ περὶ τὰς ἐντολὰς τοῦ θεοῦ, τότε ἐπιπο-

θεῖ τὰς ὁδοὺς τοῦ θεοῦ καὶ ζητεῖ ἐνδελεχῶς.

16. ἐν τοῖς δικαιώμασιν] Ἡνίκα γάρ τις ἐρευνᾷ ἀπὸ σπουδῆς· δικαιώματα γὰρ θεοῦ αἱ θεῖαι γραφαί· δηλονότι ὅτι ὁ τοιοῦτος οὐκέτι λήθην ποιεῖται τῶν λόγων τοῦ θεοῦ.

17. ἀνταπόδος] Ὅταν γὰρ πρὸς τὴν ἀνταπόδοσιν τοῦ θεοῦ ἀφορᾷ ὁ ἄνθρωπος, προθύμως φυλάσσει τοὺς λόγους τοῦ θεοῦ.

18. ἀποκάλυψον] Τουτέστιν διάνοιξον αὐτοὺς καὶ φώτισον, καὶ τοὺς τοῦ σώματος καὶ τοὺς τῆς ψυχῆς, ἵνα νοήσω τὸ θέλημά σου, κύριε.

καὶ κατανοήσω] Τότε γὰρ ἐνοπτρίζεται τὰ θαυμάσια τοῦ θεοῦ ὁ ἄνθρωπος, ὅταν ἐκ τῆς μελέτης τοῦ νόμου οἱ ὀφθαλμοὶ τῆς καρδίας καθαρῶς ὁρᾶν δύνανται.

19. πάροικος] Ἐπειδὴ μετάστασιν προσδοκῶμεν.

μὴ ἀποκρύψῃς] Φησί, ὡς ἐν τῇ γῇ ὄντα τέως, μὴ ἀποκρύψῃς ἀπ' ἐμοῦ τὸ μυστήριον τῆς σῆς παρουσίας.

20. ἐπεπόθησεν] Ὁ γὰρ πιστὸς ἄνθρωπος διὰ πάσης τῆς ζωῆς ἐπιποθεῖ καὶ ζητεῖ τὰ λόγια τοῦ θεοῦ. κρίματα γὰρ θεοῦ οἱ λόγοι αὐτοῦ καὶ τὰ προστάγματα αὐτοῦ.

21. ἐπετίμησας] Ἐβδελύξω, ἀπέρριψας, κατήργησας.

ἐπικατάρατοι] Ὅσοι τὸν νόμον τοῦ θεοῦ ἀθετοῦσι καὶ τὰς ἐντολὰς αὐτοῦ, οὗτοι κεκατήρανται (κατήρανται) ἀληθῶς.

22. περίελε] Ὧδε ὁ λόγος αἰνίττεται περὶ τοῦ Χριστοῦ, ὅτι οἱ Ἰουδαῖοι ὠνείδιζον αὐτὸν καὶ ἐξουδένουν ἀεί.

ὅτι τὰ μαρτύρια] Ἔλεγε γὰρ ὁ Χριστός, ὅτι ἀπ' ἐμαυτοῦ οὐδὲν ποιῶ, ἐὰν μή τι βλέπω τὸν πατέρα ποιοῦντα· οὕτως δὲ δεῖ ποιεῖν καὶ πάντας τοὺς πιστούς.

23. καὶ γὰρ ἐκάθισαν] Οἱ ἄρχοντες τῶν Ἰουδαίων συνερχόμενοι ἀεὶ κατὰ τοῦ Χριστοῦ ἐβουλεύοντο.

ὁ δὲ δοῦλος] Ἐκεῖνοι μὲν κατελάλουν, ἐγὼ δέ, φησὶν ὁ κύριος, ἐφρόντιζον τοῦ δικαιώματος τοῦ κατὰ τὸν ἄνθρωπον.

24. καὶ γὰρ τὰ μαρτύρια] Τοῦ κατὰ θεὸν ἀνθρώπου αἱ γραφαὶ τῆς γλώσσης οὐκ ἀφίστανται· μαρτυρία γὰρ θεοῦ αἱ θεῖαι γραφαί.

καὶ αἱ συμβουλίαι] Συμβουλεύσας γὰρ μετὰ τοῦ πατρὸς κατῆλθεν εἰς ἀναζήτησιν τοῦ ἀνθρώπου.

25. ἐκολλήθη] Λέγει τὴν συγκατάβασιν, ἣν ἐποιήσατο ἐπὶ τῆς γῆς διὰ τὸν ἄνθρωπον.

ζήσομαι] Καθὼς γὰρ ἐβουλεύσατο ὁ θεός, οὕτως καὶ ἔζωοποίησε τὸν ἄνθρωπον.

26. τὰς ὁδούς] Ὁ προφήτης νῦν βοᾷ, προαναφωνήσας τὴν παρουσίαν τοῦ Χριστοῦ καὶ θεοῦ.

27. καὶ ὁδόν] Καὶ αὕτη φωνὴ τοῦ προφήτου.

καὶ ἀδολεσχήσω] Μεριμνήσω, φησί, πότε εἰς πέρας ἔλθωσι τὰ

θαυμάσιά σου, ἃ ἐβουλεύσω (ἐβουλήθης) περὶ τοῦ ἀνθρώπου.

28. ἐνύσταξεν] Πέτρος καὶ οἱ σὺν αὐτῷ, τῇ λύπῃ βαρυνόμενοι τῇ ὥρᾳ τῆς προδοσίας.

βεβαίωσον] Ὁ προφήτης φησί· βεβαίωσον τοὺς λόγους μου, οὓς προανεφώνησα.

29. ὁδόν] Ὁ πιστὸς ἄνθρωπος δέεται τοῦ θεοῦ μὴ συγχωρεῖν τῷ πονηρῷ ὑποσκελίζειν αὐτόν.

καὶ τῷ νόμῳ] Οὔτε γὰρ ἄλλως ἔνι (ἐνῆν) σωθῆναι, εἰ μὴ τῇ μελέτῃ τοῦ νόμου.

30. ὁδὸν ἀληθείας] Ὅσοι γὰρ τὴν ἀλήθειαν ποθοῦσι καὶ φυλάττουσι, μακάριοι.

τὰ κρίματα] Ὁ γὰρ κολλώμενος τῷ θεῷ τοῖς κρίμασιν αὐτοῦ διὰ παντὸς ἐνατενίζει.

31. ἐκολλήθην] Τῇ μελέτῃ τῶν γραφῶν ὁ κολλώμενος οὐ καταισχύνεται.

32. ὁδόν] Ὅταν γὰρ ἡ καρδία ἐν ἀνέσει ἐστίν, ὡς ἐν πλάτει, τότε ὁ ἄνθρωπος ἀνεμποδίστως βαδίζει τὴν ὁδὸν τοῦ θεοῦ.

33. νομοθέτησον] Δίδαξόν με, φησίν, τὴν ὁδόν σου βαδίζειν, ὁ κατὰ θεὸν ἀγωνιζόμενος λέγει.

καὶ ἐκζητήσω] Δῆλον γάρ, ὅταν μάθῃ ὁ πιστὸς ἄνθρωπος τὴν ὁδὸν τοῦ κυρίου, ἀμερίμνως βαδίζει.

34. συνέτισόν με] Ἐὰν γὰρ διδαχθῶ, ἐρευνᾶν οὐ παύομαι.

καὶ φυλάξω] Δῆλον γάρ, ὅτι οἱ μαθόντες ἀκριβῶς καὶ φυλάττουσιν.

35. ὁδήγησον] Τουτέστιν χειραγώγησόν με εἰς τὴν ὁδὸν τῆς ἀληθείας, ὅτι τὸ θέλημά μού ἐστιν ἐν αὐτῇ τοῦ φυλάξαι τὰς ἐντολάς σου.

36. κλῖνον] Κρείττων ἡ μελέτη τοῦ θεοῦ ὑπὲρ πλοῦτον πολύν.

37. ἀπόστρεψον] Θεοῦ γάρ ἐστι τὸ χάρισμα τοῦ μισεῖν τὴν ματαιότητα τοῦ κόσμου.

ἐν τῇ ὁδῷ] Ζωὴ γὰρ αἰώνιος ἡ ὁδὸς τοῦ θεοῦ καὶ πάντες οἱ ὁδεύοντες ἐν αὐτῇ ζήσονται εἰς τὸν αἰῶνα.

38. στῆσον] Ἐπαινετὸς γὰρ παρὰ θεοῦ ὁ φοβούμενος αὐτὸν καὶ τοῖς λόγοις αὐτοῦ ἐμμένων.

39. περίελε] Ἐφοβεῖτο γὰρ ὁ προφήτης Δαυὶδ περὶ τῆς μοιχείας καὶ τοῦ φόνου, μή ποτε ἐγκληθῇ.

Τὰ γὰρ κρίματα] Ἤιδει γάρ, ὅτι τὸ κρῖμα τοῦ θεοῦ ἀπροσωπόληπτον.

40. ἰδού] Διὰ τοῦτο, φησίν, ἀπὸ καρδίας τῇ μετανοίᾳ προσῆλθον, ἐπιποθῶν πληρῶσαι τὰς ἐντολάς σου.

ἐν τῇ δικαιοσύνῃ] Ὡς δίκαιος γὰρ ἐδικαίωσας τὴν ἐμὴν μετάνοιαν καὶ διὰ τοῦτο ἔζησα.

41. καὶ ἔλθοι] Παρακληθεὶς γὰρ ἠλέησάς με ὡς θεός.

τὸ σωτήριον] Ἐπηγγείλω γὰρ ζωὴν καὶ σωτηρίαν πᾶσι τοῖς φοβουμένοις τὸ ὄνομά σου.

42. καὶ ἀποκριθήσομαι] Τοῖς ἐχθροῖς μου ἀντιστήσω τοὺς λόγους σου, ἡνίκα θέλουσιν ὀνειδίζειν περὶ θεοῦ, φησὶν ὁ πιστὸς ἄνθρωπος.

ὅτι ἤλπισα] Οἱ γὰρ λόγοι τοῦ θεοῦ ἐλπὶς καὶ ζωὴ τυγχάνουσιν.

43. καὶ μὴ περιέλῃς] Ὅσοι γὰρ φόβῳ θεοῦ ἄγονται, σπεύδουσιν ἀεὶ ἀλήθειαν λαλεῖν καὶ καθαρεύειν (καθαρεύουσιν) ἀπὸ ψεύδους. μέγας γὰρ σπῖλος τὸ ψεῦδος.

ὅτι ἐπὶ τὰ κρίματα] Τοῦ γὰρ πιστοῦ ἀνθρώπου [πάντοτε] ἡ ἐλπὶς εἰς τὸ θέλημα τοῦ θεοῦ, ὅ ἐστι κρῖμα θεοῦ.

44. καὶ φυλάξω] Τουτέστι μελετήσω [ἀεί].

εἰς τὸν αἰῶνα] Ὅσοι γὰρ φυλάξαντες τὸν νόμον τοῦ θεοῦ ἐπέχουσιν αὐτὸν εἰς τὸν αἰῶνα.

45. καὶ ἐπορευόμην] Ἐναβρύνεται γὰρ ἡ ψυχὴ καὶ πλατύνεται καὶ γέγηθεν, ὅταν ἴδῃ ἐν αὐτῇ τὰς ἐντολὰς τοῦ θεοῦ κατορθουμένας.

46. καὶ ἐλάλουν] Οἱ γὰρ κατορθώσαντες τῇ μελέτῃ τοῦ νόμου τὴν παρρησίαν, οὐ δεδοίκασιν αἰσχύνην οὔτε βασιλέων οὔτε δυνατῶν.

47. καὶ ἐμελέτων] Τοῦ γὰρ κατὰ θεὸν ζῶντος [ἀνθρώπου] ἀδιαλείπτως ἡ μελέτη τῶν ἐντολῶν τοῦ θεοῦ ἐν τῷ στόματι ὑπάρχει.

48. καὶ ἦρα] Ἐκτείνας τὰς χεῖρας εἰς εὐχὴν ἐπὶ τῷ φυλάξαι με τὰς ἐντολὰς κυρίου, ἃς ἠγάπησα.

καὶ ἠδολέσχουν] Ἐφρόντιζον, τουτέστιν ἐμερίμνων, ὥστε κατορθῶσαι δικαιοσύνην καὶ φυλάξαι τὸ θέλημα (τὰς ἐντολὰς) τοῦ θεοῦ. αὕτη γὰρ ἡ μεγάλη φροντίς.

49. μνήσθητι] Μνήσθητι τῶν λόγων σου, φησὶν ὁ ἄνθρωπος τῷ θεῷ, ὡς ἐπηγγείλω μοι βασιλείαν οὐρανῶν, ἐγὼ δὲ τῇ ἐλπίδι νευροῦμαι.

50. αὕτη με] Ἡ ἐλπὶς καὶ ἡ προσδοκία ἡ κατὰ θεόν, ἡνίκα ἐταπεινούμην τῇ ἀθυμίᾳ τῆς παραβάσεως· αὕτη γὰρ προθυμία καὶ παραμυθία ἦν ἐν ἐμοί, φησὶν ὁ ἄνθρωπος.

ὅτι τὸ λόγιον] Ζωὴ γὰρ ὑπάρχει ὁ λόγος τοῦ θεοῦ.

51. ὑπερήφανοι] Οἱ δαίμονες· παρηνόμουν γὰρ τὸν ἄνθρωπον, σφόδρα ἐπεμβαίνοντες αὐτῷ.

ἀπὸ δὲ τοῦ νόμου] Εἰ γὰρ ἐκεῖνοι ἠλαζονεύοντο, ἀλλ' ἐγὼ τῷ νόμῳ τοῦ θεοῦ προσεῖχον, ὁ κατὰ θεὸν ἄνθρωπος λέγει.

52. ἐμνήσθην] Ἐμνήσθην (τὰ κρίματά σου), φησίν, ὅτι ἀπὸ αἰῶνος ἔκρινας σῶσαι τὸν ἄνθρωπον, καὶ παρεκλήθην τῇ προσδοκίᾳ καὶ τῇ ἐλπίδι.

53. ἀθυμία] Ἠθύμει γὰρ ὁ ἄνθρωπος ἐπικρατούντων τῶν δαιμόνων· ἁμαρτωλοὶ γὰρ οὗτοι.

ἀπὸ ἁμαρτωλῶν] Αὐτοὶ γὰρ οἱ δαίμονες ἐγκατέλιπον τὸν νόμον τοῦ θεοῦ ἐξ ἀλαζονείας.

54. ψαλτὰ ἦσαν] Οἱ γὰρ πιστοί, ἕως εἰσὶν ἐπὶ τῆς γῆς, ὅ ἐστι παροικία (εἰσὶν ἐν τῇ παροικίᾳ τῆς γῆς), οὐ παύονται ψάλλοντες.

55. ἐμνήσθην] Καὶ νυκτὸς γὰρ καὶ ἡμέρας οἱ ἅγιοι φυλάσσουσι τὸν νόμον τοῦ θεοῦ, μνημονεύοντες διηνεκῶς τὸ ὄνομα τοῦ θεοῦ.

56. αὕτη] Αὕτη. τίς; ἡ ἐντολὴ τοῦ θεοῦ καὶ ἡ ἐλπίς.

57. μερίς μου] Ὁ γὰρ ὢν ἐν τῇ μερίδι τοῦ θεοῦ, οὗτος φύλαξ ἀληθὴς τοῦ νόμου τοῦ θεοῦ.

58. ἐδεήθην] Οἱ γὰρ δίκαιοι ἐν ὅλῃ καρδίᾳ δέονται τοῦ θεοῦ.

ἐλέησον] Καθὼς ἐπηγγείλω, φησίν [ἐλέησόν με].

59. ὅτι διελογισάμην] Οὔτε γὰρ παύονται οἱ πιστοί ποτε, ἀεὶ δὲ ἐν τῇ ὁδῷ τοῦ θεοῦ πορεύονται.

καὶ ἀπέστρεψα] Πορευόμενος ἀεὶ ἐν ὁδῷ ἀμώμῳ.

60. ἡτοιμάσθην] Ἀεὶ γὰρ ἕτοιμός ἐστι ὁ πιστὸς πρὸς τὴν ἔξοδον, φυλάσσων τὴν ἐντολὴν τοῦ θεοῦ. ὅθεν ἐλθόντος τοῦ θανάτου οὐ θορυβεῖται.

61. σχοινία] Οἱ λόγοι οἱ πονηροὶ καὶ τὰ πράγματα τοῦ βίου, ἅτινα συμποδίζει τὸν ἄνθρωπον.

καὶ τοῦ νόμου] Οὐδὲν γὰρ τούτων συμποδίζει τὸν πιστὸν ἄνθρωπον [πρὸς φυλακὴν τοῦ νόμου].

62. μεσονύκτιον] Οὐδένα γὰρ καιρὸν ὀφείλει ἀργεῖν ὁ ἄνθρωπος ὁ πιστὸς ἀπὸ εὐχῆς καὶ ἐξομολογήσεως.

63. μέτοχος] Φωνὴ τοῦ προφήτου αὕτη.

καὶ φυλασσόντων] Ἔγνωκε γὰρ τὰ ἐπιτελῆ μυστήρια καὶ ἔσπευδε μετασχεῖν τῆς χαρᾶς (χάριτος) ἐκείνης.

64. τοῦ ἐλέους] Βλέπεις, περὶ τῆς παρουσίας τοῦ Χριστοῦ ἦν τῷ προφήτῃ ὁ πόθος, ὅτι πληροῦσθαι ἤμελλεν ἡ γῆ τοῦ ἐλέους θεοῦ.

τὰ δικαιώματα] Ἀπολαύσω, φησὶν ὁ προφήτης, κἀγὼ ἐκείνων τῶν δικαιωμάτων, ὧν ποιήσεις τῷ ἀνθρώπῳ, ἐλθὼν ἐπὶ γῆς.

65. χρηστότητα] Μετὰ τοῦ ἀνθρώπου, φησὶν, ἐλθὼν ἐπὶ γῆς.

κύριε] Καθὼς ἐλάλησας, φησί, τοῖς δούλοις σου, τοῖς προφήταις.

66. χρηστότητα] Χρηστότητα, ἣν ἐποίησας τῷ ἀνθρώπῳ· παιδείαν, ἣν ἐπαίδευσας τὸν ἄνθρωπον τῇ χάριτι· γνῶσιν, ἣν ἐδίδαξας, ἐλθὼν ἐπὶ τῆς γῆς· ταύτης, φησὶν ὁ προφήτης, κἀμὲ ἀξίωσον.

ὅτι ταῖς ἐντολαῖς] Δι' αὐτῶν γὰρ ἔγνω ὁ προφήτης τὴν τοῦ Χριστοῦ καὶ θεοῦ παρουσίαν.

67. πρὸ τοῦ με] Πρὸ τοῦ, φησί, πρᾶξαι τὸ κακὸν ἐπλημμέλησα, μὴ ἀσφαλισάμενος.

διὰ τοῦτο] Πεῖραν λαβὼν τοῦ κακοῦ, ἠσφαλισάμην τοῦ λοιποῦ (τὸ λοιπὸν) [ἐμαυτὸν] τῇ μετανοίᾳ.

68. χρηστός] Τουτέστιν μὴ ἐν ὀργῇ, ἀλλὰ κατὰ τὴν χρηστότητά σου δίδαξόν με γνῶσιν τὴν σήν.

69. ἐπληθύνθη] Τίς ὁ ταῦτα λαλῶν; [διὰ τὸν ἄνθρωπον] ὁ Χριστὸς ἐκ προσώπου τοῦ ἀνθρώπου διὰ τοὺς δαίμονας.

ἐγὼ δὲ] Λέγει γάρ· οὐκ ἦλθον, ἵνα ποιήσω τὸ θέλημα τὸ ἐμόν, ἀλλὰ τὸ θέλημα τοῦ πέμψαντός με πατρός.

70. ἐτυρώθη] Τῶν Ἰουδαίων· ἐπάγησαν γάρ, τουτέστιν ἀπελιθώθησαν τῇ ἀπιστίᾳ.

ἐγὼ δὲ τὸν νόμον] Ἐγὼ δὲ θέλω, φησί, πληρῶσαι, δι' ὧν (ὃ) ἦλθον.

71. ἀγαθόν μοι] Οὐχ ἁρπαγμὸν γὰρ ἡγήσατο τὸ εἶναι ἴσα θεῷ, ἀλλ' ἑαυτὸν ἐκένωσε, μορφὴν δούλου λαβών.

ὅπως ἄν] Τουτέστιν ἵνα διδάξω τὸν ἄνθρωπον τὰ δικαιώματά σου, ἃ μέλλω αὐτῷ παρατίθεσθαι.

72. ἀγαθόν μοι] Ποῖος γὰρ πλοῦτος ἢ ἄργυρος ἢ χρυσὸς ἐξισοῦται τῷ νόμῳ, τοῦ θεοῦ τῆς χάριτος;

73. αἱ χεῖρες][1] Χερσὶ [γὰρ] θεοῦ ἐπλάσθη ὁ ἄνθρωπος

συνέτισον] Τουτέστιν δός μοι αἴσθησιν καρδίας εἰς τὸ συνιέναι καὶ γινώσκειν (σε), τὸν ἀληθινὸν θεόν.

74. οἱ φοβούμενοι] Οἱ γὰρ φόβον (πόθον) θεοῦ καὶ πόθον (φόβον) ἔχοντες, ἰδόντες τὴν παρουσίαν τοῦ κυρίου, εὐφράνθησαν.

ὅτι εἰς τοὺς λόγους] Οὓς δι' ἐμοῦ ἐφανέρωσας τοῖς ἀνθρώποις.

75. ἔγνων] Οὐδὲ γὰρ ἀδίκως κρίνει ὁ θεός, ἀλλ' ἐν δικαιοσύνῃ καὶ ἀληθείᾳ.

τῇ ἀληθείᾳ] Φησὶν ὁ ἄνθρωπος· συνεχώρησας πεσεῖν με, ἵνα γνῶ τὸν ἐγείροντα.

76. γενηθήτω] Σπλαγχνισθεὶς ὁ θεὸς παρεμυθήσατο τὸν ἄνθρωπον, σώσας αὐτόν.

καὶ τὸ λόγιον] Καθὼς ἐπηγγείλω, ἐποίησας, φησίν.

77. ἐλθέτωσαν] Ἐλθόντος γὰρ τοῦ κυρίου ἔζησεν ὁ ἄνθρωπος.

ὅτι ὁ νόμος] Ὁ τῆς χάριτος, ὅ ἐστιν ὁ Χριστός.

78. αἰσχυνθήτωσαν] Οἱ δαίμονες, οἱ τυραννήσαντες τὸν ἄνθρωπον, ὡς οἱ Ἰουδαῖοι ἐπανέστησαν τῷ Χριστῷ.

ἐγὼ δε ἀδολεσχήσω] Μεριμνήσω περὶ τῶν ἐντολῶν σου.

79. ἐπιστρεψάτωσαν] Προφῆται καὶ ἀπόστολοι· οὗτοι γὰρ ἐπέστρεψαν τὸν ἄνθρωπον.

80. γενηθήτω] Ἐὰν γὰρ ἀμώμως καὶ ἀδόλως φυλάξῃ ὁ ἄνθρωπος τὰ δικαιώματα τοῦ θεοῦ ποτε, οὐ καταισχύνεται, ἀλλὰ παρρησιάζεται ὑπὸ θεοῦ.

81. ἐκλείπει] Τῷ πόθῳ καὶ τῇ σπουδῇ.

καὶ εἰς τὸν λόγον] Τουτέστιν ἐλπίζω διὰ παντός.

82. ἐξέλιπον] Τῇ προσδοκίᾳ καὶ τῇ ἐλπίδι.

λέγοντες] Τουτέστιν πότε ἀπόλαύσω τὴν ἀμοιβὴν τῶν πόνων;

83. ὅτι ἐγενήθην] Τὸ πρόσκαιρον τῆς ζωῆς σημαίνει ὁ προφήτης· καὶ ὁ ἀσκὸς γὰρ ἀποπνεύσας ἐκενώθη καὶ ἡ πάχνη τοῦ ἡλίου θερμαίνοντος οὐκ ἐφάνη.

τὰ δικαιώματα] Καὶ γὰρ καὶ ὀλιγοχρόνιος ὢν οὐκ ἀπέστη τῶν δικαιωμάτων (ἐντολῶν) τοῦ θεοῦ.

84. πόσαι] Αὐτὸς γὰρ μόνος ὡς

[1] V. haec praecedunt: Διὰ τί οὐκ εἶπεν ὁ προφήτης, ὅτι ἡ χείρ σου, ἀλλὰ αἱ χεῖρές σου; περὶ πατρὸς καὶ υἱοῦ καὶ ἁγίου πνεύματός ἐστιν ὁ λόγος, διότι ὁ πατὴρ εἶπε τῷ υἱῷ· ποιήσωμεν ἄνθρωπον. ὁ δὲ υἱὸς καὶ τὸ πνεῦμα πάντα ἐδημιούργησαν καὶ ἐζωοποίησαν, διὸ . . .

θεὸς ἐπίστασαι τὴν ὀλιγότητα τῶν ἡμερῶν μου.

πότε] Ἵνα κρίνῃς ἀνὰ μέσον ἐμοῦ, τουτέστιν τοῦ ἀνθρώπου καὶ τῶν δαιμόνων, ὅτι πολὺν χρόνον κατεδυνάστευσαν τοῦ ἀνθρώπου.

85. διηγήσαντο] Πολλοὶ γὰρ τῶν ἀνόμων ἀνθρώπων τοῖς πιστοῖς φροντίδας καὶ σκάνδαλα ἐμβάλλουσιν.

ἀλλ' οὐχ] Οὐχ οὕτως γὰρ ὁ νόμος ἀδολεσχίας ἐμποιεῖ, ἀλλ' ὀρθότητα ἐμποιεῖ.

86. πᾶσαι] Παρὰ γὰρ τῷ θεῷ ψεῦδος οὐκ ἔστιν.

ἀδίκως] Οἱ δαίμονες τὸν ἄνθρωπον καταδιώκοντες καὶ καταπίνοντες.

87. παρὰ βραχύ] Τῇ παραβάσει ταπεινώσαντες τὸν ἄνθρωπον.

ἐγὼ δέ] Εἰ γὰρ καὶ ἐν κακοῖς ἦν ὁ ἄνθρωπος, ἀλλ' ἡ καρδία αὐτοῦ τοῦ θεοῦ οὐκ ἐχωρίζετο.

88. κατὰ τὸ ἔλεος] Μέγα γὰρ τὸ ἔλεος τοῦ θεοῦ καὶ ζωοποιοῦν τὰ πάντα τῇ δυνάμει αὐτοῦ.

καὶ φυλάξω] Τοὺς λόγους λέγει τῶν γραφῶν.

89. εἰς τὸν αἰῶνα] Ὁ Χριστὸς καὶ (ὡς) λόγος καὶ θεός· οὗτος γὰρ καὶ ἐν οὐρανῷ μένει εἰς αἰῶνα αἰῶνος.

90. εἰς γενεάν] Ὅτι ἀλήθεια ὁ Χριστὸς καὶ οὐ ψεῦδος εἰς πάσας τὰς γενεὰς τοῦ αἰῶνος.

ἐθεμελίωσας] Μένει γὰρ καὶ οὐ μειοῦται, ὡς θεοῦ ἔργον ἀσύγκριτον καὶ ἀμέτρητον.

91. τῇ διατάξει] Ποία ἡμέρα; [ἡ μέλλουσα], ἐν ᾗ κρινεῖ ὁ θεὸς τὰ κρυπτὰ τῶν ἀνθρώπων.

ὅτι τὰ σύμπαντα] [Τότε δοῦλα πάντα] ἐπουρανίων καὶ ἐπιγείων καὶ καταχθονίων καὶ πᾶσα ἡ κτίσις.

92. εἰ μὴ ὅτι] Ἐλθὼν γὰρ εἰς ἐπίγνωσιν ὁ ἄνθρωπος, διὰ τῆς μελέτης τοῦ νόμου τῆς χάριτος ἐσώθη καὶ οὐκ ἀπώλετο, παρὰ μικρὸν γὰρ ἀπώλετο.

93. εἰς τὸν αἰῶνα] Ὁ γὰρ διδαχθεὶς τὰ δικαιώματα τοῦ θεοῦ ζῇ ἐν αὐτοῖς καὶ ὧδε καὶ ἐν τῷ μέλλοντι αἰῶνι.

ὅτι ἐν αὐτοῖς] Δι' αὐτῶν γὰρ ἔζησαν οἱ πιστεύσαντες

94. σός εἰμι] Ἐζήτησα γάρ, φησὶν ὁ ἄνθρωπος, καὶ ζητήσας εὗρον, καὶ εὑρὼν ἐσώθην.

95. ἐμὲ ὑπέμειναν] Τὸν Χριστὸν οἱ Ἰουδαῖοι, ὡς οἱ δαίμονες τὸν Ἀδάμ.

τὰ δὲ μαρτύρια] Ὁ υἱὸς γνοὺς τοῦ πατρὸς τὸ θέλημα· ἐν τούτῳ γὰρ παρεγένετο σῶσαι τὸν ἄνθρωπον.

96. πάσης συντελείας] Πάντων, φησί, τῶν τελουμένων πέρας ἔσται καὶ λήθη πάντων ὁμοῦ.

πλατεῖα] Αὕτη γὰρ μόνη πλάτος ἔχει αἰώνιον κατορθούμενον (κατορθουμένη).

97. ὡς ἠγάπησα] Ἐν ὅλῃ γὰρ τῇ ζωῇ αὐτῶν οἱ πιστοὶ οὐκ ἀργοῦσιν ἐπὶ τῇ κατορθώσει τοῦ νόμου.

98. ὑπὲρ τοὺς ἐχθρούς] Ὑπὲρ

γὰρ τοὺς Ἕλληνας καὶ τὴν τούτων σοφίαν ἐσοφίσθη ὁ πιστὸς ἄνθρωπος τὰ τῆς χάριτος νόμιμα.

99. ὑπὲρ πάντας] Κακοὶ γὰρ διδάσκαλοι οἱ σοφοὶ τῶν Ἑλλήνων· ὑπὲρ τούτους δὲ ὁ πιστὸς ἄνθρωπος συνιεῖ καὶ γινώσκει τὸν θεὸν τῇ μελέτῃ τῶν θείων γραφῶν.

100. ὑπὲρ πρεσβυτέρους] Ὑπὲρ (παρὰ) τοὺς ἀρχαίους φιλοσόφους, οἵτινες ⟨κατὰ τοῦ κυρίου⟩[1] τὸν οὐρανὸν (ἄνθρωπον) κληδονίζειν οὐ παρῃτήσαντο· ὑπὲρ τούτους [πιστὸς] ὁ ἐκζητῶν τὰς ἐντολὰς τοῦ θεοῦ σοφώτερός ἐστι. τούτους γὰρ ᾐνίξατο ὁ προφήτης.

101. ἐκ πάσης ὁδοῦ] Οὔτε γὰρ συνεδριάζουσιν οἱ πιστοὶ μετ' αὐτῶν οὔτε πορεύονται τῇ διδαχῇ αὐτῶν.

ὅπως ἂν φυλάξω] Ἡ γὰρ σπουδὴ τοῦ πιστοῦ αὕτη ἐστὶ τὸ (τοῦ) φυλάσσειν τὰ λόγια τοῦ θεοῦ.

102. ἀπὸ τῶν κλιμάτων] Ἀφ' οὗ γὰρ ἐδιδάχθη ὁ πιστὸς ἄνθρωπος τὰ κρίματα τοῦ θεοῦ, οὐκέτι ἐκκλίνει δεξιᾷ ἢ ἀριστερᾷ, ἀλλὰ πορεύεται τῷ νόμῳ τοῦ θεοῦ.

103. ὡς γλυκέα] Πότε γὰρ μέλι οὕτω γλυκὺ τοῖς ἐσθίουσιν εὑρίσκεται, ὡς οἱ λόγοι τοῦ θεοῦ τοῖς πιστοῖς;

104. ἀπὸ τῶν ἐντολῶν] Ἔγνων, φησὶν ὁ κατὰ θεὸν ἄνθρωπος, ἀπὸ τῶν ἐντολῶν τοῦ θεοῦ, ὅτι βδέλυγμα πᾶσα ὁδὸς ἀδικίας, καὶ διὰ τοῦτο ἐμίσησα αὐτὴν καὶ ἀπέστην ἀπ' αὐτῆς.

105. λύχνος] Αἱ γὰρ ἀρεταὶ καὶ αἱ ἐντολαί, αἱ ἐν τῷ νόμῳ γεγραμμέναι, ἴσα λύχνῳ φωτίζουσι τὸν ἄνθρωπον. οὕτω γὰρ κατορθοῦσι τὰς τρίβους οἱ πιστοί.

106. ὀμώμοκα] Θεωρήσας γὰρ τὸν ἐν αὐτοῖς ὠφέλιμον ὁρισμόν, ὥσπερ ὅρκον ἔχουσιν οἱ ἅγιοι ἐν τῷ μὴ ἐκκλίνειν δεξιᾷ ἢ ἀριστερᾷ, ἀλλὰ διατηρεῖν ἐν τῇ καρδίᾳ τὰς ἀρετάς.

107. ἐταπεινώθην] Οἱ ἅγιοι, κακουχούμενοι, ὑστερούμενοι, θλιβόμενοι ἕνεκεν τῆς αἰωνίου ζωῆς.

κύριε] Καθὼς ἐπηγγείλω τοῖς ἁγίοις σου.

108. τὰ ἑκούσια] Ὅσα ἐλάλησα, φησὶν ὁ πιστὸς ἄνθρωπος δοξολογῶν, πρόσδεξαι ὡς θεός.

καὶ τὰ κρίματα] Διδαχθεὶς γὰρ ὁ ἄνθρωπος ἐφύλαξεν.

109. ἡ ψυχή μου] Ὁ γὰρ ἐν χειρὶ θεοῦ φυλαττόμενος οὗτος τοῦ νόμου οὐκ ἀφίσταται.

110. ἔθεντο] Οἱ δαίμονες γὰρ ἀεὶ παγιδεύουσι τὸν ἄνθρωπον ποικίλως, ὁ δὲ πιστὸς ἀπλανὴς τυγχάνει.

111. ἐκληρονόμησα] Τί γὰρ ταύτης τῆς κληρονομίας καὶ ἀγαλλιάσεως ἀνώτερον; τὸ τοῦ κληρονομεῖν τὸν θεὸν τῇ μελέτῃ τῶν γραφῶν.

112. ἔκλινα] Ἐστερέωσα τουτέστιν ⟨τὴν καρδίαν μου⟩ τοῦ ἀεὶ ἐργάζεσθαι τὰ δικαιώματα τοῦ θεοῦ,

---

[1] Hic desinit textus versionis slavicae, reliqua leguntur in V. Ven. A.

λέγει ὁ πιστὸς ἄνθρωπος, ὅτι ἡ ἀντ-
απόδοσις αἰώνιός ἐστιν.

113. *παρανόμους*] *Χρὴ γὰρ τὸν πιστὸν πάντας τοὺς παρὰ τὸν νόμον πράττοντας μισεῖν. οὕτω γὰρ κατορθοῦται ὁ νόμος.*[1]

114. *βοηθός μου*] *Τῇ βοηθείᾳ τοῦ θεοῦ φρουρούμενος, ὁ ἄνθρωπος κατορθοῖ ἀσφαλῶς τοὺς λόγους τοῦ θεοῦ.*

115. *ἐκκλίνατε*] *Πρὸς τοὺς δαίμονας ὁ λόγος καὶ τοὺς κακοποιοὺς ἀνθρώπους, οἵτινες ἀεὶ τῷ πιστῷ ἀντίκεινται. οὗτοι, φησίν, ἀποστήτωσαν ἀπ' ἐμοῦ. καὶ τότε πρὸς ἔρευναν τῶν ἐντολῶν τοῦ θεοῦ ἕτοιμος εὑρεθήσομαι (εὑρίσκομαι).*

116. *ἀντιλαβοῦ*] *Ἐὰν γὰρ αὐτὸς ⟨σὺ⟩ ἀντιλάβῃ μου ὡς θεός, τότε ζῆν κατὰ θεὸν δύναμαι.*

καὶ μὴ καταισχύνῃς] *Τότε, ὅταν ἀποδίδως ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ.*

117. *βοήθησόν μοι*] *Δηλονότι ὁ ἔχων τὴν βοήθειαν τοῦ θεοῦ ἀπαραλείπτως, οὗτος ἀσφαλῶς ἐσώθη.*

καὶ μελετέσω] *Ἀναντιρρήτως γὰρ ὁ τῇ μελέτῃ τῶν δικαιωμάτων σχολάζων, τὸν θεὸν πληροφορεῖ.*

118. *ἐξουδένωσας*] *Μισεῖ γὰρ ὁ θεὸς πάντας τοὺς ἀποστατοῦντας ἀπ' αὐτοῦ.*[2]

ὅτι ἄδικον] *Ἐξ ἀδικίας γὰρ καὶ παρανομίας οἱ τοιοῦτοι τὰς ἐνθυμήσεις τίκτουσιν.*

119. *παραβαίνοντας*] *Ὡς γὰρ σκιὰ ἢ καπνὸς οἱ ἀσεβεῖς παρέρχονται· οὐ γὰρ ἔχουσιν ὑπόστασιν.*

διὰ τοῦτο] *Ἵνα μὴ τοῖς αὐτοῖς περιπέσω κἀγὼ κακοῖς, φησὶν ὁ κατὰ θεὸν ζῶν [ἄνθρωπος].*

120. *καθήλωσον*] *Τουτέστιν περίσφιγξόν με τῷ φόβῳ σου, ἵνα ὥσπερ καθηλωμένος ἀμετακίνητος ὢν [εὑρεθῶ] ἐν τῷ θελήματί σου.*

ἀπὸ γὰρ τῶν κριμάτων] *Ἔφριξα, φησὶν ὁ ἄνθρωπος, ἐνθυμηθεὶς τὴν κρίσιν τοῦ θεοῦ, ὅτι ἀπροσωπόληπτός ἐστιν.*

121. *ἐποίησα*] *Τοῦτο φωνὴ τοῦ Δαυίδ, ὅτι φησίν· ὡς βασιλεὺς τὸ δίκαιον ἔκρινα. διὸ μὴ παραδῷς με τοῖς ἐχθροῖς μου (τοῖς ἀδικοῦσί με), τουτέστιν τοῖς δαίμοσι· ἐκεῖνοι γὰρ ἀδικοῦντες τὸν ἄνθρωπον οὐ παύονται.*

122. *ἔκδεξαι*] *Δός μοι καιρὸν μετανοίας, φησί.*

μὴ συκοφαντησάτωσαν] *Μὴ εἴπωσι κατ' ἐμοῦ, ὃ (ἃ) μὴ δεῖ.*

123. *οἱ ὀφθαλμοί*] *Ὁ προφήτης λέγει περὶ τῆς ἐλεύσεως τοῦ κυρίου· πότε ἄρα ἔλθῃ, περὶ ὧν ἔδειξέ μοι τὸ πνεῦμα;*

καὶ εἰς τὸ λόγιον] *Περὶ ὧν ἔπνευσάς (ἐνέπνευσας) με τῇ προσδοκίᾳ τηκόμενον (τηκόμενος).*

124. *ποίησον*] *Ἐὰν γὰρ κατὰ τὸ ἔλεός σου, ὃ ἐπηγγείλω, ποιήσῃς τῷ ἀνθρώπῳ, μακάριος ἔσται.*

---

[1] V. incipit sic: *Χρὴ γὰρ πάντα ἄνθρωπον πιστὸν πάντας κτλ.*

[2] V. Baroc. add. *καὶ ἡ ὀργὴ αὐτοῦ καταλαμβάνει αὐτούς, τοὺς μὲν ἐν τῷ νῦν αἰῶνι, τοὺς δὲ ἐν τῷ μέλλοντι.*

καὶ κατὰ τὰ δικαιώματα] *Ἐκεῖνα τὰ δικαιώματα, ἅπερ ἐλθὼν ὁ κύριος παρέθετο τῷ ἀνθρώπῳ, τὰ τῆς χάριτος.*

125. δοῦλός σου] *Ὅταν γὰρ ὁ θεὸς δῷ σύνεσιν τῷ ἀνθρώπῳ, τότε γνῶσιν καθαρὰν κτᾶται περὶ τὸ θέλημα τοῦ θεοῦ.*[1]

126. καιρός] *Ὅταν γὰρ ὁ καιρὸς ἔφθασε τῆς παρουσίας (τῇ παρουσίᾳ) τοῦ κυρίου (Χριστοῦ) καὶ ἔγνω ὁ κόσμος τὸν κύριον, τότε οἱ Ἰουδαῖοι τὸν νόμον ἀπώλεσαν.*

127. διὰ τοῦτο] *Τοπάζιον λίθος ἐστὶ τίμιος. αἰνίττεται δὲ, ὅτι ὑπὲρ πάντα πλοῦτον τιμιώτεραι τῷ πιστῷ ἀνθρώπῳ αἱ ἐντολαὶ τοῦ θεοῦ.*[2]

128. διὰ τοῦτο πρὸς πάσας] *Πάσας γὰρ χρὴ ποιεῖν, ἵνα μὴ πταίσας τις εἰς μίαν ἀπολέσῃ πάσας.*

πᾶσαν] *Ὁ θεὸς λέγει τῷ ἀνθρώπῳ, ὅπως προσέχειν δεῖ καὶ μετέρχεσθαι ὁδὸν ἄδικον.*

129. θαυμαστά] *Μαρτύρια γὰρ θεοῦ οἱ προφῆται καὶ πάντες οἱ λόγοι τῶν γραφῶν, ὧν χρὴ ἔρευναν ποιεῖσθαι διὰ παντός.*

130. ἡ δήλωσις] *Τὸ κήρυγμα λέγει τὸ εὐαγγελικόν· συνέτισε γὰρ τὸν λαὸν τῶν ἐθνῶν, ὡς νηπιάζοντα τῇ φρονήσει.*

131. τὸ στόμα] *Ὁ προφήτης λέγει· ἐν γὰρ τῷ ἀνοίγειν τὸ στόμα [μου], τὸ πνεῦμα τὸ ἅγιον ἐλάλει.*

ὅτι τὰς ἐντολάς] *Πόθον γὰρ [θεοῦ] ἔχων ἀπαύστως ἐλάλει.*

132. ἐπίβλεψον] *Ὡς τοῖς προφήταις, ὡς τοῖς ἀποστόλοις, ὡς τοῖς μάρτυσιν, οὕτως κἀμοὶ παράσχου, φησὶν ὁ ἄνθρωπος.*

133. τὰ διαβήματα] *Ὡς ἂν σὺ θέλῃς καὶ διὰ τῶν λόγων σου ἐκέλευσας, οὕτως μοι ῥύθμισον τὴν ὁδόν.*

καὶ μὴ κατακυριευσάτω] *Ἐὰν γὰρ κατευθύνω τὴν ὁδόν μου, ἡ ἀνομία οὐκέτι κυριεύει μου.*

134. λύτρωσαί με] *Ἑλλήνων καὶ αἱρετικῶν καὶ κακοπίστων, οἵτινες συκοφαντοῦντες τὴν παρουσίαν τοῦ Χριστοῦ οὐ παύονται.*

---

[1] V. Baroc.: *Ὁ κατὰ θεὸν ἄνθρωπος τὴν ἄνωθεν γνῶσιν ἀεὶ ζητεῖ, ἵνα διὰ τῶν θείων γραφῶν, ὅ ἐστι μαρτύρια θεοῦ, κτᾶται πᾶσαν ἀρετὴν καθαρὰν περὶ τὸ θέλημα τοῦ θεοῦ.*

[2] V. Baroc.: *Λίθος ἐστὶ τίμιος ἐν Ἰνδίᾳ ἐν ᾗ οἱ πολύποδες μύρμηκες καὶ οἱ πολύτιμοι τῶν λίθων εὑρίσκονται καὶ ὁ ἐκλεκτὸς καὶ ὑπέρλαμπρος χρυσός, ὃν οἱ μύρμηκες ἐκ τῆς γῆς ἀνάγουσιν. ἄκουε δὲ καὶ περὶ τῶν μυρμήκων. ἔστιν ἀφωρισμένος χῶρος ἐν Ἰνδίᾳ πέραν τοῦ χρυσορρόου Νείλου ποταμοῦ, ἐν ᾗ εἰσι μύρμηκες ἰσομεγέθεις κυνῶν μακροπόδων ὡς θηρευτῶν ταχυδρόμων. οὗτοι οἱ μύρμηκες νυκτὸς μὲν ἀνάγουσι τὸν χρυσὸν ἐκ τῆς γῆς, καὶ ἀνιμῶσι τ ὰς ψηφῖδας τοῦ καθαροῦ χρυσίου καὶ ἁπλοῦσιν ἐπὶ πολλῆς τῆς γῆς. περῶντες (πέρνοντες) δὲ οἱ Ἴνδιοι, ἐποχούμενοι καμήλοις ταχυδρόμοις, σπουδαίως ἁρπάζουσι τὸν χρυσὸν καὶ ἐμβάλλουσιν αὐτὸν ἐν μαρσιπίοις ἤγουν θυλακίοις, νυκτὸς δέ, διότι ὁ χρυσὸς ἀστράπτει καὶ λάμπει. γνωρίζοντες δὲ οἱ μύρμηκες ἰχνηλατοῦντες ὀσμώμενοι κατόπιν διώκουσιν ἀλλόμενοι. καὶ εἰ μὲν καταφθάσωσι τοὺς Ἴνδοὺς ἕως τοῦ ποταμοῦ Νείλου, εὐθὺς καταπίνουσιν αὐτούς· εἰ δὲ μή, ἐκ τοῦ ποταμοῦ ὑποστρέφουσιν οἱ κυνομύρμηκες εἰς τὸν τόπον αὐτῶν ἄπρακτοι. αἰνίττεται δὲ κτλ.*

καὶ φυλάξω] Ὅταν ἀπὸ τῶν συκοφαντῶν καθαρευθῇ ὁ ἄνθρωπος, τότε φυλάττει καλῶς τὸν νόμον τοῦ θεοῦ.[1]

135. τὸ πρόσωπον] Ἐλθέ, φησί, ἐπίσκεψαι τὸν Ἀδάμ.[2]

καὶ δίδαξον] Ἠνίξατο τὰ τῶν πιστῶν μυστήρια τῆς χάριτος.[3]

136. διεξόδους] Ποταμοὺς [γὰρ] δακρύων ἠφίει ὁ Ἀδὰμ διὰ τὴν παράβασιν.[4]

ἐπεὶ οὐκ ἐφύλαξαν] Παρέβην γάρ, φησὶ (ὁ Ἀδάμ), τὴν ἐντολὴν τοῦ θεοῦ.

137. δίκαιος] Πάντα γάρ, ὅσα ἐποίησας τῷ ἀνθρώπῳ, ἐν ἀληθινῇ κρίσει ἐποίησας ὡς θεός.

138. ἐνετείλω] Ὅσα διὰ τοῦ νόμου καὶ τῶν προφητῶν ἐλάλησας διὰ τὸν ἄνθρωπον, πάντα ἀληθινὰ καὶ ψεῦδος οὐκ ἔστιν ἐν αὐτοῖς.

139. ἐξέτηξέν με] Ἐχθροὺς γὰρ χρὴ (δεῖ) ἡγεῖσθαι [πάντας] τοὺς ἐπιλανθανομένους [τοῦ θεοῦ].

140. πεπυρωμένον] Τοῖς γὰρ κατὰ θεὸν ζῶσιν ὡς πῦρ ὁ λόγος τοῦ θεοῦ [τῷ πόθῳ] ἀνάπτεται.

141. νεώτερος] Καὶ γὰρ πολλοὶ νεάζοντες πρεσβυτερικὸν φρόνημα ἔσχον ⟨εἶχων⟩ [εἰς τὰς ἐντολὰς τοῦ θεοῦ].[5]

142. ἡ δικαιοσύνη] Ἀμφότερα[6] γὰρ αἰώνια ὡς θεοῦ ἔργα.

143. θλίψεις] Ἐν πολλῇ γὰρ θλίψει ὁ ἄνθρωπος ἐγενήθη, εἰ μὴ ἡ ἐντολὴ τοῦ θεοῦ ἐρρύσατο αὐτόν.

144. δικαιοσύνη] Ὁ νόμος καὶ ἡ χάρις· εἰς τὸν αἰῶνα γὰρ διαμένουσιν.

συνέτισον] Τουτέστιν ἐν αὐτοῖς με συνέτισον.

145. ἐκέκραξα] Οἱ γὰρ ἀπὸ καρδίας βοῶντες τῷ θεῷ οὐ παρορῶνται οὐδέποτε.

τὰ δικαιώματα] Νύκτωρ καὶ μεθ' ἡμέραν οὐ παύονται οἱ πιστοὶ ἐκζητοῦντες τὸν θεόν.

146. ἐκέκραξα] Κραυγῆς γὰρ ἰσχυρὰ χρεία ἦν ἐν τῇ πρὸς θεὸν εὐχῇ, ἵνα δυνηθῇ τις φυλάξαι τὸν νόμον.

---

[1] V.: ὅταν ἀπὸ τῶν δαιμονικῶν πειρασμῶν λυτρωθῇ ὁ ἄνθρωπος καὶ ἀπὸ τῶν συκοφαντῶν ἀνθρώπων, τότε καλῶς φυλάττει τὸν νόμον τοῦ θεοῦ.

[2] V. add. καὶ πάντα ἄνθρωπον τὸν ἐπικαλούμενόν σε.

[3] V.: Ὁ προφήτης παρακαλεῖ, ἵνα διδαχθῇ ὁ πιστὸς ἄνθρωπος τὰ μυστήρια τῆς χάριτος.

[4] V. add. ὁμοίως δὲ καὶ πᾶς ὁ τὰς ἁμαρτίας αὐτοῦ καθεκάστην θρηνῶν.

[5] V.: Ὁ προφήτης πάντοτε ἐξουδενοῦτο ὑπὸ τοῦ Σαούλ· αὐτὸς δὲ ὡς πραότερος ἀεὶ ἐν δικαιοσύνῃ ὢν ἐφυγάδευε τοῦ Σαοὺλ τὸν πειρασμόν. οὕτως χρὴ ποιεῖν πᾶς ὁ πιστός, καθὼς ὁ κύριος ἐν εὐαγγελίοις ἔφη· μακάριοι οἱ δεδιωγμένοι ἕνεκεν δικαιοσύνης. αἰνίττεται δὲ ἡ προφητεία, ὅτι πολλοὶ νηπιάζοντες πρεσβυτερικὸν φρόνημα εἶχον εἰς τὰς ἐντολὰς τοῦ θεοῦ.

[6] V. praecedunt haec: Γέγραπται γάρ· πῶς ὁ ποιῶν δικαιοσύνην ἐν παντὶ ἔθνει δεκτός ἐστι τῷ θεῷ; ἀληθινὸς δὲ νόμος τοῦ εὐαγγελίου, καθὼς παρέδωκεν ἡμῖν ὁ κύριος, ὅτι ὁ πιστεύσας καὶ βαπτισθεὶς σωθήσεται καὶ τὰ ἑξῆς.

147. προέφθασαν] Οὐ γὰρ περιώρισται καιρῷ ἡ προσευχή,[1] ἀλλὰ πάντοτε δεῖ προσεύχεσθαι.

148. προέφθασαν οἱ ὀφθαλμοί] Ὁ προφήτης σημαίνει τὴν ἀνάστασιν ἐν τοῖς ὄρθροις· προτρέπεται τοὺς πιστοὺς ἀεὶ σχολάζειν ταῖς προσευχαῖς.

149. τῆς φωνῆς] Ἡ φωνὴ αὕτη τοῦ Ἀδάμ. [ποία φωνή; τὰ δάκρυα τῆς μετανοίας].

150. προσήγγισαν] Οἱ δαίμονες γὰρ τοῖς πιστοῖς ἐπιφύονται ἀνόμως ὡς τῷ Ἀδάμ.

ἀπὸ δὲ τοῦ νόμου] Μακρὰν ἐγένοντο τῆς ἰδίας ἀξίας καὶ τοῦ θεοῦ οἱ δαίμονες.

151. ἐγγὺς εἶ] Συμπάρεστι γὰρ ἀεὶ τοῖς πιστοῖς καὶ σύνεστιν.

152. κατ' ἀρχάς] Ἀπ' ἀρχῆς γὰρ ἔγνων τοὺς λόγους σου, ὅ ἐστι τὰ [μαρτύρια καὶ] μυστήρια, ὅτι εἰς τὸν αἰῶνα μένει καὶ αὐτὰ καὶ οἱ ποιοῦντες αὐτά.

153. ἴδε] Ἐξεδέχετο γὰρ ὁ ἄνθρωπος τὴν παρὰ τοῦ θεοῦ σωτηρίαν καθεκάστην.

ὅτι τὸν νόμον] Οὔτε γὰρ λήθην οἱ πιστοὶ ποιοῦνταί ποτε, ἀλλὰ διὰ τοῦ νόμου τὸν θεὸν τιμῶσιν.

154. κρῖνον] Ἐὰν γὰρ αὐτὸς κρίνῃς τὴν κρίσιν μου, [καὶ] ἐλυτρώθην [καὶ ἔζησα].

155. μακράν] Ἰουδαίοις γὰρ σωτηρία οὐκ ἔστιν, ὅτι οὐ προσέσχον τῷ νόμῳ, ἀλλὰ τὸν ἐν αὐτῷ λαλήσαντα ἠθέτησαν.

156. οἱ οἰκτιρμοί] Πολλοὶ γὰρ οἱ οἰκτιρμοὶ τοῦ θεοῦ καὶ [μέγα] τὸ κρῖμα τοῦ θεοῦ ἐπὶ τὸν ἄνθρωπον ἐγένετο καὶ ἔζησε.

157. πολλοί] Οἱ δαίμονες [καὶ Ἰουδαῖοι]· αὐτοὶ γὰρ ἀεὶ ἐκδιώκουσι τὸν ἄνθρωπον καὶ θλίβουσιν. λέγει δὲ τὸν Χριστὸν (αἰνίττεται δὲ τὸν Χριστὸν ἐν τῷ καιρῷ τοῦ πάθους).

ἐκ τῶν μαρτυρίων] Εἰ γὰρ καὶ ἐκεῖνοι θλίβουσιν, ἀλλ' οἱ πιστοὶ οὐκ ἐκκλίνουσιν ἀπὸ τοῦ νόμου.

158. εἶδον] Ὅταν γὰρ ὁ πιστὸς [ἄνθρωπος] ὁρᾷ τοὺς ἀσεβεῖς ἐνυβρίζοντας τὸν θεόν, τήκεται τῷ ζήλῳ.

159. ἴδε] Αὕτη φωνὴ τοῦ προφήτου ἐπιζητοῦσα τὸν μισθὸν παρὰ τοῦ θεοῦ.

160. ἀρχή] Ὁ γὰρ ἀρξάμενος τῆς τοῦ θεοῦ ἀληθείας (τρέφεσθαι τῇ τοῦ θεοῦ ἀληθείᾳ) σώζεται καὶ οὐκ ἀπόλλυται.

καὶ εἰς τὸν αἰῶνα] Εἰς αἰῶνας γὰρ αἰώνων μένει τὰ κρίματα τοῦ θεοῦ (Χριστοῦ).

161. ἄρχοντες] Αἰνίττεται τοὺς μάρτυρας καὶ πάντας, ὅσοι ὑπὲρ Χριστοῦ ἀπέθανον (ἔπαθον). ἐφοβοῦντο γὰρ τὸν θεὸν ὑπὲρ ἐκείνους.

162. ἀγαλλιάσομαι] Οἱ γὰρ ἅγιοι πάντες ἠγαλλιῶντο (ἠγαλλιάσαντο),

---

[1] V. persequitur sic: ἀωρία δὲ λέγεται σκότος ἢ χειμῶνος ζάλη. οὐ γὰρ δεῖ τὸν φοβούμενον τὸν θεὸν μετρεῖν, ποίαν ὥραν ποιῆσαι τὴν ἑαυτοῦ προσευχήν, ἀλλὰ κτλ.

εὐφραινόμενοι ἐπὶ τοῖς λόγοις τοῦ θεοῦ, ὥσπερ οἱ εὑρόντες πλοῦτον πολύν.

163. ἀδικίαν] Οἱ δίκαιοι πάντες ἐμίσουν (μισοῦντες) τὴν ἀδικίαν, ἐν ἀληθείᾳ ζῶντες (ζῶσιν).

τὸν δὲ νόμον] Τὴν μελέτην γὰρ τῶν γραφῶν ἐπόθουν [οἱ ἅγιοι πάντες] ὑπὲρ πλοῦτον.

164. ἑπτάκις] Ἑπτὰ γάρ εἰσιν ἐνέργειαι τοῦ ἁγίου πνεύματος· ἑπτὰ ὀφθαλμοὺς ὁ Ζαχαρίας λέγει· ἑπτὰ ἡμέρας ἔταξε τῇ ἑβδομάδι.[1] καὶ κατ' ἐνέργειαν τούτων ἑπτάκις τὸ πνεῦμα παρακελεύεται δοξάζειν τὸν θεόν.

ἐπὶ τὰ κρίματα] Κατ' ἐνέργειαν τῶν θείων γραφῶν (κατ' ἐνέργειαν τοῦ θεοῦ)· κρίματα γὰρ θεοῦ αἱ θεῖαι γραφαί (νόμος καὶ ἐντολαί).

165. εἰρήνη] Ἀποστόλοις καὶ μάρτυσι καὶ πᾶσι τοῖς ἁγίοις [καὶ δικαίοις], οἵ τινες ἀδιστάκτως ἐμμένουσι τῷ λόγῳ τοῦ κυρίου.

καὶ οὐκ ἔστιν] Τῶν γὰρ τοιούτων ἡ καρδία σκάνδαλον οὐχ ὑπομένει· ἀδιστάκτως γὰρ πρόσκεινται τῷ θεῷ.

166. προσεδόκουν] Τῇ γὰρ προσδοκίᾳ τῶν μελλόντων ἀγαθῶν τὰς ἐντολὰς τοῦ θεοῦ φυλάσσει ὁ ἄνθρωπος.

167. καὶ ἐφύλαξεν] Ἀπὸ γὰρ πολλῆς ἀγάπης καὶ πόθου φυλάσσουσιν οἱ πιστοὶ τὰς ἐντολὰς τοῦ θεοῦ.

168. ἐφύλαξα] Ὁ προφήτης λέγει.

ὅτι πᾶσαι] Πάσας γὰρ ἐπίστασαι τὰς ὁδούς μου, φησὶν ὁ ἄνθρωπος, καὶ οὐδὲν λέληθε τὴν σὴν ἀγαθότητα, ὧν πράττομεν.

169. ἐγγισάτω] Τουτέστιν δέσποτα, μὴ ἀποστραφῇς τὴν δέησίν μου, ἀλλὰ πρόσδεξαι αὐτήν.

κατὰ τὸ λόγιον] Οὕτως ⟨οὕτως ὡς⟩ ὁ λόγος βούλεται καὶ θέλει.

170. εἰσέλθοι] Τουτέστιν δεχθήτω ἡ παράκλησίς μου ἐνώπιον τοῦ θεοῦ.

κατὰ τὸ λόγιον] Ὡς ὁ λόγος [σου] ἀληθής, οὕτως με ῥῦσαι ἀπὸ πάντων μου τῶν κακῶν.

171. ἐξηρεύξαντο] Τὰ τοῦ προφήτου, φησί, χείλη.

ὅταν διδάξῃς] Ὅταν, φησίν, ἐδίδαξάς με τὰ μυστήρια τὰ ἐπ' ἐσχάτων μέλλοντα τελεῖσθαι.

172. φθέγξαιτο] Σὺ γὰρ αὐτὴν ἐκίνεις εἰς τοῦτο [γὰρ] τὸ ἔργον τῶν λόγων σου.

ὅτι πᾶσαι] Πᾶσαι γάρ εἰσι πλήρεις δικαιοσύνης [αἱ ἐντολαὶ κυρίου].

173. γενέσθω] Εἰς αὐτὸ γὰρ τοῦτο τέτακται τὸ σώζειν ὡς δεξιὰ ποιητοῦ καὶ θεοῦ ⟨ὡς δεξιὰ ποιεῖ τοῦ θεοῦ⟩.

ὅτι τὰς ἐντολάς] Αὐτὰς γὰρ καὶ μόνον αἱρετίζονται οἱ πιστοί.

---

[1] V. persequitur: ἑπτάκις τῆς ἡμέρας δεῖ προσεύχεσθαι τοὺς πιστοὺς ἀπὸ μεσονυκτίου ἕως τοῦ ἀποδείπνου . . . et post παρακελεύεται continuat sic: διὸ καὶ ζ' αἰῶνες καὶ ζ' ἄστρα πλάνητες καὶ ζ' χαρίσματα τῆς θεοτόκου καὶ ἑπτὰ μεθηλικιώσεις τοῦ ἀνθρώπου καὶ ζ' ἄνδρες ἐξ ἐπαγγελίας. διὰ τοῦτο ἑπτάκις χρὴ τοὺς πιστοὺς δοξάζειν τὸν θεὸν ἐν πάσῃ τῇ ζωῇ αὐτῶν.

174. ἐπεπόθησα] Ἱοθῶν γὰρ ἀεὶ τὸ σωτήριόν σου, κύριε, καὶ τὸν νόμον σου μελετῶν, ἔτυχον τῶν αἰωνίων σου ἀγαθῶν, φησὶν ὁ ἄνθρωπος.

175. ζήσεται] Ζήσεται τὴν αἰώνιον ζωήν· τότε γὰρ δύναται αἰνεῖν τὸν θεὸν αἰωνίως.

καὶ τὰ κρίματα] Ὅσα, φησίν, ἔκρινας τοῖς πιστοῖς· ἐν ἐκείνοις γὰρ σωζόμεθα ⟨σώζονται⟩ (σώζομαι).

176. ἐπλανήθην] Αἰνίττεται ὁ προφήτης τὸν Ἀδάμ.

ζῆσον] Εἰ γὰρ καὶ σκελισθεὶς ὑπῆρχεν ὁ ἄνθρωπος, ἀλλ' ἡ καρδία ⟨τῇ καρδίᾳ⟩ τὸν θεὸν ἐνενόει ἀεί.

CXIX.

Ὠδὴ τῶν ἀναβαθμῶν] Ὥσπερ κλίμακά τινα ὑψηλήν, βαθμοὺς ζωῆς ἀλλεπαλλήλους ἔχουσαν, οὕτως τὸ πνεῦμα τὸ ἅγιον διὰ τοῦ προφήτου τὴν τῶν ψαλμῶν βίβλον συνέθηκεν· ὅθεν φησὶν ᾠδὴ τῶν ἀναβαθμῶν, τουτέστιν ᾆσμα τῶν ὑψηλῶν.

1. πρὸς κύριον] Ὁ πρωτόπλαστος ἐν πολλῇ θλίψει γενόμενος, βοήσας δὲ πρὸς θεὸν καὶ εἰσακουσθεὶς εὐχαριστεῖ τῷ θεῷ.

2. κύριε] Ἀπὸ τῶν δαιμόνων, ἀπὸ συκοφαντῶν ἀνθρώπων, ἀπὸ γοήτων καὶ λοιδόρων· νόει δὲ τὸν Χριστὸν λέγοντα ταῦτα.

3. τί δοθείη] Οὐδεμία γὰρ κοινωνία φωτὶ πρὸς σκότος.

4. τὰ βέλη] Βέλη τοῦ [πονηροῦ] διαβόλου αἱ γλῶσσαι τῶν πονηρῶν ἀνθρώπων (τοῦ πονηροῦ ἀνθρώπου), ἠκονημέναι τουτέστιν ὠξυμμέναι κατὰ τῶν πιστῶν.

σὺν τοῖς ἄνθραξι] Ὥσπερ γὰρ ἄνθρακες ἐπ' ὀλίγον ἠρεμοῦντες καίουσιν, ἐπὰν γυμνωθῶσιν, οὕτως αἱ γλῶσσαι τῶν δολίων ἠρεμοῦσι τὸ (τῷ) δοκεῖν, ἀνάπτουσι δὲ δεινῶς.

5. οἴμοι] Ἀπολεγόμενος ὁ προφήτης τὴν συνοίκησιν τῶν φαύλων ἀνθρώπων καὶ τὸ ζῆν αὐτὸν ἀπεύχεται.

κατεσκήνωσα] Διὰ τί, φησί, κατοικῶ μετὰ τῶν ἐν σκότει; Κηδὰρ γὰρ σκότος ἑρμηνεύεται.

6. πολλὰ παρῴκησεν] Τουτέστιν ἀρκεῖ, οὐ δύναμαι γὰρ παροικεῖν.[1]

μετὰ τῶν μισούντων] Ὁ Χριστὸς μετὰ τῶν Ἰουδαίων, ὡς πολεμίων, ὡς εἰρήνη παρῴκει, αὐτοὶ δὲ ἐμίσουν αὐτόν.

7. ὅταν ἐλάλουν] Ἐγὼ μὲν ἐλάλουν αὐτοῖς εἰρηνικά, φησὶν ὁ Χριστός [αὐτοὶ δὲ ἐμίσουν με δωρεάν]· αὐτοὶ δὲ μηδενὸς ὄντος αἰτίου ἐπολέμουν τῷ φθόνῳ καιόμενοι.

---

[1] V.: αὕτη φωνὴ τοῦ Ἀδάμ, ὅτι πολλὰ παρῴκησεν ἐν τῷ ᾅδῃ μετὰ τῶν δαιμόνων ἐκεῖνοι γὰρ ἀεὶ τὴν εἰρήνην μισοῦντες.

CXX.

Ὠδὴ τῶν ἀναβαθμῶν· ᾆσμα τῶν ὑψηλῶν.

1. *ἦρα*] *Οὐκ ἐκούφισα (ἐφεῖσα), φησὶν ὁ ἄνθρωπος, τοὺς ὀφθαλμούς μου εἰς τὰ δόγματα (λόγια) τῶν προφητῶν· ἐκεῖθεν γὰρ κηρυττόμενος ὁ Χριστὸς ἤρχετο βοηθῆσαι τῷ ἀνθρώπῳ.*

2. *ἡ βοήθεια*] *Ὁρᾷς, πῶς πρὸς τὸν Χριστὸν ἀπέβλεπεν ἐκδεχόμενος βοήθειαν. διὰ τοῦτο γὰρ πάντα ἐγένετο.*

3. *μὴ δῷς*] *Ἵνα μὴ σαλευθεὶς ⟨σαλευθῶ, σαλευθῶσιν⟩ εἰς ὄλισθον (ὀλίσθημα) καταπέσω.*

μηδὲ νυστάξει] *Θεὸς ὕπνον οὐ παραδέχεται· ἀναλλοίωτος γὰρ ὑπάρχει καὶ ἄυπνος (ἀνόρατος γάρ ἐστιν καὶ ἄνυπνος).*

4. *ἰδού*] *Ὁ Χριστὸς ὡς ἄυπνος τὸν λαὸν τῶν ἐθνῶν ἐφύλαξεν. Ἰσραὴλ γὰρ εἶδος θεοῦ ἑρμηνεύεται (θεὸν ἑρμηνεύεται ὁρᾶν).*

5. *κύριος*] *Ὁ πατὴρ τὸν υἱόν, ὡς δεξιὰν ὄντα τοῦ πατρός. λέγει δὲ τὸ σῶμα τὸ δεσποτικόν.*

6. *ἡμέρας*] *Καὶ ἐν νυκτὶ γὰρ καὶ ἐν ἡμέρᾳ ὁ θεὸς φυλάσσει τοὺς πιστούς· καὶ ἐν νυκτὶ γὰρ καὶ ἐν ἡμέρᾳ τῷ πάθει ἐκοινώνησεν.*

7. *κύριος φυλάξει*] *Περὶ τοῦ ἀνθρώπου λέγει, ὃν ἀνέλαβε καὶ ἔσωσε, νοερὸν ἐργασάμενος.*

φυλάξαι] *Ἣν ἀνέλαβε σὺν τῷ σώματι ὁ Χριστός.*

8. *κύριος φυλάξει*] *Τὴν ἐν τῷ κόσμῳ τοῦ ἀνθρώπου εἴσοδον· ὁμοίως τὴν ἐκ τοῦ κόσμου λέγει εἴσοδον καὶ ἔξοδον τὴν ἐκ τῆς παρθένου, ὅτι ἀμφότεραι σῶαι ἐφυλάχθησαν.*[1]

CXXI.

Ὠδὴ τῶν ἀναβαθμῶν· ᾆσμα τῶν ὑψηλῶν.

1. *εὐφράνθην*] *Ἐπὶ τοῖς προφήταις· αὐτοὶ γὰρ ἐσήμαναν τὸν Χριστόν, ἔπειτα οἱ ἀπόστολοι, οἵτινες ἐκήρυξαν ἡμῖν τὴν ἐκκλησίαν.*

2. *ἑστῶτες*] *Δηλοῖ τὴν ἐκκλησίαν καὶ οὕτως.*

3. *Ἰερουσαλήμ*] *Λέγει τὴν νέαν Ἰερουσαλήμ, δηλοῖ δὲ τὴν ἐκκλησίαν καὶ οὕτως· πόλις γὰρ τῶν πιστῶν ἡ ἐκκλησία.*

ἧς ἡ μετοχή] *Οἱ ἀπόστολοι καὶ οἱ πιστοὶ πάντες μετέχοντες τῶν μυστικῶν τῶν ἐν τῇ ἐκκλησίᾳ τελουμένων, τουτέστιν τῶν πραχθέντων ἐν Ἰερουσαλήμ.*

4. *ἐκεῖ γὰρ*] *Πᾶσαι γὰρ αἱ φυλαὶ τῆς γῆς ἀναβαίνουσιν εἰς Ἰερουσαλὴμ ἱστορῆσαι καὶ προσκυνῆ-*

---

[1] V.: *Τὴν ἐν τῷ κόσμῳ τῷ ἀνθρώπῳ, καὶ ἔξοδον ὁμοίως, τὴν ἐκ τοῦ κόσμου, λέγει δὲ εἴσοδον καὶ ἔξοδον, τὴν ἐκ τῆς παρθένου, ὅτι ἀμφότερα σῶα ἐφυλάχθησαν.*

σαι τὸν ἐν αὐτῇ φανέντα θεὸν ἐν σαρκί.

τοῦ ἐξομολογήσασθαι] Ὁρῶντες γὰρ οἱ πιστοὶ τὸ θαῦμα ἐξομολογοῦνται ἕκαστος τῷ θεῷ.

5. ὅτι ἐκεῖ] Αἰνίττεται τὴν τότε κρίσιν καὶ τοὺς θρόνους τῶν ἀποστόλων, λέγει δὲ καὶ τὰς βασιλείας τὰς ἐν αὐτῇ γενομένας.

6. ἐρωτήσατε] Ἐκεῖ γὰρ εἰρήνη ἐφάνη ὁ Χριστὸς τοῦ γένους ἡμῶν.

καὶ εὐθηνία] Τουτέστιν εὐθηνοῦσιν οἱ πιστοὶ καὶ πλεονάζουσι οἱ ἀγαπῶντες τὸν θεόν.

7. γενέσθω] Τῇ γὰρ ἰδίᾳ δυνάμει ὁ Χριστὸς ἔλυσε τὸ μεσότοιχον τῆς ἔχθρας καὶ ἐποίησε τὰ ἀμφότερα ἕν, ὅ ἐστιν εἰρήνη (ἐν εἰρήνῃ).

καὶ εὐθηνία] Εὐθήνησαν γὰρ αἱ ἐκκλησίαι. βάρις γάρ ἐστιν ὁ οἶκος, πύργος δὲ ἡ αὐτή (ἦν αὕτη), ὡς ἠσφαλισμένη τοῖς δόγμασι τῶν ἀποστόλων.

8. ἕνεκα] Τῶν ἀποστόλων, ὁ Χριστὸς λέγει· αὐτοὺς γὰρ ὁ Χριστὸς ἀδελφοὺς ἐπιγράφεται.

ἐλάλουν] Δι' αὐτῶν γὰρ εὐθηνίαν καὶ εἰρήνην τῇ ἐκκλησίᾳ ἐκήρυξεν, ὅ ἐστιν Ἱερουσαλήμ.

9. ἕνεκα τοῦ οἴκου] Ἕνεκεν γὰρ τοῦ Χριστοῦ ἐδόθη τὰ ἀγαθὰ τῇ Ἱερουσαλὴμ ἤγουν τῇ ἐκκλησίᾳ.

CXXII.

Ὠδὴ τῶν ἀναβαθμῶν· ᾆσμα τῶν ὑψηλῶν.

1. Πρὸς σέ] Ὁ Ἀδὰμ φησί· πρὸς τὸν θεόν μου ἀνέβλεψα, ὅστις ἐν οὐρανῷ τὴν κατοικίαν ἔχεις καὶ ἡ δόξα σου πληροῖ τὴν γῆν.

2. ἰδού] Ὡς γὰρ ὁ δοῦλος ἐμβλέπει εἰς τὰς χεῖρας τοῦ ἔχοντος αὐτόν, οὕτως ὁ ἄνθρωπος προσεῖχεν εἰς τὸν θεὸν ῥυσθῆναι τῶν κακῶν.

ὡς ὀφθαλμοί] Ὡς παιδίσκη γὰρ ἡ ψυχὴ τοῦ πρωτοπλάστου ἐξεδέχετο τὴν χάριν ὡς κυρίαν αὐτῆς.

οὕτως] Αὐτὸς γὰρ δεσπότης πάντων καὶ ἐν χερσὶν αὐτοῦ πᾶσα ἡ ζωὴ ἡμῶν.

ἕως οὗ] Ἕως οὗ ἐλθὼν παράσχῃ ἡμῖν τοὺς οἰκτιρμοὺς αὐτοῦ τοὺς πλουσίους.

3. ἐλέησον] Οἱ πιστοὶ κράζουσι πρὸς τὸν θεόν, ἀφορῶντες εἰς τὰ τοῦ βίου κακά.

ὅτι ἐπὶ πολύ] Ἐξουδενοῦσι γὰρ τοὺς πιστοὺς οἱ ἀσεβεῖς καὶ εἰς οὐδὲν λογίζονται.

4. ἐπὶ πλεῖον] Οὔτε γὰρ ἁπλῶς ὀνειδίζουσιν, ἀλλὰ καὶ ἐπεμβαίνουσιν.

τὸ ὄνειδος] Πίπτουσι γὰρ ἐκεῖ οἱ εὐθηνοῦντες ἐν τῷ νῦν αἰῶνι καὶ ὄνειδος γίνονται· ὑπερηφάνοις γὰρ ὁ θεὸς ἀντιτάσσεται.

CXXIII.

Ὠδὴ τῶν ἀναβαθμῶν· ᾆσμα τῶν ὑψηλῶν.

1. *εἰ μὴ ὅτι κύριος*] *Εἰ μὴ γὰρ ὁ Χριστὸς συνέστη τῷ ἀνθρώπῳ, εἰς οὐδὲν λογίζεται.*

2. —] *Τουτέστιν ἐν ἡμῖν λέγει ὁ πιστὸς ἄνθρωπος, ⟨τοῖς πιστοῖς⟩ [ὅ ἐστι νοῦς ὁρῶν τὸν θεόν].*

ἐν τῷ ἐπαναστῆναι] *Ὅταν ἀσεβεῖς ἐπιφύωνται τοῖς πιστοῖς. λέγει δὲ καὶ τοὺς μάρτυρας.*

3. *ἄρα ζῶντας*] *Οὕτως γὰρ ἠνόμησαν οἱ δαίμονες καὶ ἐβουλήθησαν ζῶντας καταπιεῖν ⟨ζῶντα καταπιεῖν τὸν ἄνθρωπον⟩.*

ἐν τῷ ὀργισθῆναι] *Θυμοῦ γὰρ καὶ ὀργῆς ἐπλήσθησαν οἱ ἄρχοντες τῶν Ἑλλήνων ἐπὶ τοὺς μάρτυρας.*

4. *ἄρα τὸ ὕδωρ*] *Ὥσπερ γὰρ ὕδωρ εἰσὶν οἱ πειρασμοὶ παρασύροντες τὸν ἄνθρωπον, ὡς ἀνυπόστατοι (ἀνυπόστατον).*

χείμαρρον] *Τὰ ῥεύματα ὁμοίως τῶν πειρασμῶν, ὡς ἐκ χειμῶνος δεινοῦ παριστάμενα.*

5. *ἄρα διῆλθεν*] *Τοὺς χειμῶνας λέγει τῶν διωγμῶν καὶ τοὺς πειρασμοὺς τῶν δαιμόνων, ὡς ἀνυποστάτους.*

6. *εὐλογητός*] *Λέγει τοὺς δαίμονας· ἐπεχείρησαν γὰρ μασήσασθαι [τὸν ἄνθρωπον] ὡς θῆρες.*

7. *ἡ ψυχή*] *Πτεροφυήσασα γὰρ ὡς στρουθίον ἡ ψυχὴ τοῦ ἀνθρώπου ταῖς ἀρεταῖς, ἐρρύσθη ἐκ τῶν δαιμόνων. αὐτοὶ γὰρ καὶ παγιδεύουσι καὶ θηρεύουσι (θηρῶσι) τὸν ἄνθρωπον.*

ἡ παγίς] *Ἐλθὼν γὰρ ὁ κύριος κατήργησε τοὺς δαίμονας καὶ ἐρρύσατο τὸν ἄνθρωπον ἐξ αὐτῶν.*

8. *βοήθεια*] *Παρὰ Χριστοῦ ἐγένετο ἡ βοήθεια τοῦ ἀνθρώπου.*

CXXIV.

Ὠδὴ τῶν ἀναβαθμῶν· ᾆσμα τῶν ὑψηλῶν.

1. *οἱ πεποιθότες*] *Ὅσοι τὴν πεποίθησιν τελείαν ἔχουσιν ἐπὶ κύριον, ἀμετακίνητοι τυγχάνουσιν ὡς τὸ ὄρος τὸ Σιών, ἐν ᾧ ἐπράχθη τὰ μυστήρια κυρίου (τοῦ Χριστοῦ).*

οὐ σαλευθήσεται] *Οἱ κατοικοῦντες τῇ πίστει τῶν μυστηρίων τῶν πραχθέντων ἐν Ἱερουσαλήμ· αὐτοὶ γὰρ ἀσάλευτοί εἰσι καὶ ὧδε καὶ ἐν τῷ αἰῶνι τῷ μέλλοντι.*

2. *ὄρη κύκλῳ*] *Ἐκύκλωσαν γὰρ τὴν Ἱερουσαλὴμ οἱ προφῆται· πάντες γὰρ ἐν αὐτῇ ἐλάλησαν. ὄρη γὰρ πανταχοῦ ἡ γραφὴ τοὺς προφήτας καλεῖ (λέγει)· ἐν τούτοις γὰρ ὁ κύριος σκέπει τὸν λαὸν τὸν πιστόν.*

3. *ὅτι οὐκ ἀφήσει*] *Οὔτε γὰρ δύνανται οἱ ἁμαρτωλοὶ κληρονομεῖν*

μετὰ τῶν δικαίων. ῥάβδον δὲ λέγει τὸ ἀκαμπὲς τῶν ἁμαρτωλῶν καὶ ἀμετανόητον (ἀμετανοήτων).

ὅπως ἂν μή] *Νῦν οὐ γὰρ προσήκει τοῖς δικαίοις πολεμεῖν τοὺς ἁμαρτωλούς· ἔχουσι γὰρ ἀφ' ἑαυτῶν τὴν ἀνταπόδοσιν.*

4. *ἀγάθυνον*] *Πολλὰ γὰρ ἀπόκειται τοῖς ἀγαθοῖς ⟨καὶ τοῖς εὐθέσι⟩ ἀγαθὰ καὶ ὧδε καὶ ἐν τῷ μέλλοντι αἰῶνι.*

5. *τοὺς δὲ ἐκκλίνοντας*] *Ὅσοι γὰρ διαστρέφονται (στρέφονται) τῇ κακοπιστίᾳ, στραγγαλευόμενοι μετὰ ἀνόμων τάττονται.*

εἰρήνη] *Ἐπὶ τὸν λαὸν τὸν πιστόν· Ἰσραὴλ γὰρ ὁρῶν τὸν θεὸν ἑρμηνεύεται. τίς δὲ ὁρᾷ τὸν θεόν, εἰ μὴ οἱ μετέχοντες αὐτοῦ μυστικῶς;*

CXXV.

Ὠδὴ τῶν ἀναβαθμῶν· ᾆσμα τῶν ὑψηλῶν.

1. *ἐν τῷ ἐπιτρέψαι*] *Λέγει μὲν τὴν ἐπάνοδον ἐκ Βαβυλῶνος· τὸ δὲ ὅλον λέγει τὴν ἐκκλησίαν, ἡνίκα ἀπὸ τῆς αἰχμαλωσίας τῶν εἰδώλων ἐπέστρεψε.*

ἐγενήθημεν] *Παρεκλήθησαν γὰρ οὐ μετρίως, ἐπανελθὼν ὁ λαὸς ἐκ Βαβυλῶνος· οὕτως καὶ ὁ λαὸς τῶν ἐθνῶν ἐχάρη ἐπὶ τῇ ἐπανόδῳ τῆς πίστεως.*

2. *τότε ἐπλήσθη*] *Ἐσθίοντες*[1] *λοιπὸν τὸ σῶμα τοῦ Χριστοῦ καὶ πίνοντες τὸ αἷμα αὐτοῦ καὶ ᾄδοντες τὸν καινὸν ὕμνον.*

καὶ ἡ γλῶσσα] *Τῷ ὕμνῳ τῶν ἀγγέλων κινουμένη.*

τότε ἐροῦσιν] *Θεωρήσαντες γὰρ τὴν δόξαν τὴν γενομένην ἐν τῷ λαῷ τῷ πιστῷ, τὰ [λοιπὰ] ἔθνη ἐθαύμασαν (ἐθαύμαζον) σφόδρα.*

3. *τότε ἐροῦσιν*] *Ὁμοίως ὁ πιστὸς λαός, λαβὼν τὴν χάριν, εὐχαριστεῖ ἐπὶ τῇ μετουσίᾳ τῶν μυστηρίων·*

4. *ἐπίστρεψον*] *Τὰ ἔθνη βοῶσι, ἑτοιμαζόμενα πρὸς μετάνοιαν· χειμάρρους δὲ λέγει τοὺς παλαιοὺς καὶ ἀπεσκληρυμμένους· νότον δὲ λέγει τὸ ἁπαλώτατον καὶ τρυφερὸν ἦθος.*

5. *οἱ σπείροντες*] *Ὅσοι*[2] *ἐν τῷ αἰῶνι τούτῳ ἐμβῶσι διὰ τὸ ὄνομα τοῦ Χριστοῦ ἐν θλίψει, ἐν τῷ μέλλοντι τὸ θέρος εὑρίσκουσιν ἐν ἀγαλλιάσει.*

6. *πορευόμενοι*] *Σπέρμα*[3] *λέγει τὰς ἐντολὰς [τοῦ Χριστοῦ], ἃς κατορ-*

---

[1] V. incipit sic: *Τότε τῶν Ἰουδαίων, νῦν δὲ τῶν πιστῶν λαῶν· ἐσθίοντες κτλ.*

[2] V. incipit sic: *Ὅσοι ἐν χερσὶ πενήτων ποιήσαντες ἔλεος, ἐν τῇ δευτέρᾳ παρουσίᾳ τοῦ κυρίου ἀγαλλίασιν καὶ λύτρωσιν ἁμαρτιῶν λαμβάνουσι παρὰ κυρίου. τὸ δὲ ἴδιον τοῦ λόγου ἔστιν οὕτως· ὅσοι κτλ.*

[3] V. incipit sic: *Ἐπορεύοντο ἐν νυκτὶ καὶ ἡμέρᾳ ἀεὶ εἰς τὰς ἐντολὰς τοῦ κυρίου. σπέρμα κτλ.*

θοῦσιν οἱ δίκαιοι ἐν σαρκί [μετὰ δακρύων].

ἐρχόμενοι] Ἐρχόμενοι τότε ἐν τῷ μέλλοντι αἰῶνι, τοὺς φόρτους τῶν ἰδίων ἔργων βαστάζοντες οἱ δίκαιοι.

CXXVI.

Ὠδὴ τῶν ἀναβαθμῶν· ᾆσμα τῶν ὑψηλῶν.

1. ἐὰν μὴ κύριος] Οὔτε [γὰρ] τοῦ τρέχοντος οὔτε τοῦ θέλοντος (ἐλθόντος)·[1] πάντα γὰρ εὐδοκίᾳ θεοῦ γίνεται. ᾠκοδόμησε γὰρ καὶ Σολομὼν οἶκον, ἀλλ' οὐκ εὐδόκησεν ἐν αὐτῷ ὁ θεός· ᾠκοδόμησε δὲ καὶ ὁ Χριστὸς τὴν ἐκκλησίαν καὶ εὐδόκησεν ἐν αὐτῇ.

ἐὰν μὴ — φυλάξῃ] Ἐφύλασσον οἱ Ἰουδαῖοι τὴν παλαιὰν Ἰερουσαλήμ, ἀλλ' οὐκ εὐδόκησεν ὁ κύριος· προεώρα γὰρ τὴν νέαν Ἰερουσαλήμ, ἥτις ἐστὶν ἡ ἐκκλησία.

2. εἰς μάτην] Ἦσαν γὰρ ἐπαγρυπνοῦντες τῇ εὐχῇ οἱ Ἰουδαῖοι, ἀλλὰ ματαίως, Χριστοῦ μὴ παρόντος.

ἐγείρεσθαι] Σημαίνει τὸ ῥῆμα τοῦ Χριστοῦ, ὅ ἐλάλησε τοῖς μαθηταῖς αὐτοῦ· ἐγείρεσθε, ἄγωμεν ἐντεῦθεν. δηλοῖ γὰρ τὰ ἑπόμενα (τὸ ἑπόμενον).

οἱ ἐσθίοντες] Μετ' ὀδύνης γὰρ οἱ ἀπόστολοι ἤσθιον μετὰ τὸ ὑπνῶσαι τὸν κύριον τὸν ζωοποιὸν καὶ ἀοίδιμον θάνατον, ἀνθρώπινόν τι [παθόντες καὶ] ὑπομένοντες (ὑπομείναντες) ⟨λογιζόμενοι⟩.

3. ἰδού] Ἐκληρονόμησε γὰρ ὁ Χριστὸς (κύριος) τὴν ἀνθρωπότητα τῷ θανάτῳ αὐτοῦ, τουτέστιν τοὺς υἱοὺς τοῦ φωτός.

ὁ μισθός] Τῆς γαστρὸς λέγει τοῦ βαπτίσματος, ἐκεῖθεν γὰρ ὡς ἐκ μιᾶς κοιλίας οἱ πιστοὶ ἐξεπήδησαν· οὗτοι γὰρ μισθὸς τοῦ κυρίου καὶ καρπὸς τυγχάνουσιν.

4. ὡσεὶ βέλη] Ὡς βέλος γάρ, ὅταν ῥιφῇ ὑπὸ δυνατοῦ, οὕτως οἱ παῖδες Ἰουδαίων ἐρρίφησαν ὑπὸ τοῦ Χριστοῦ, ὅ ἐστι τῶν ἐκπεπτωκότων.

5. μακάριος] Μακάριος γάρ ἐστιν ἀληθῶς ὁ ἐξ αὐτοῦ τοῦ Χριστοῦ τὴν ἐπιθυμίαν ἔχων ἀεὶ τοῦ σωθῆναι.

οὐ καταισχυνθήσεται] Αἰσχυνθήσονται [τουτέστιν], ὅταν ἐπὶ θύραις τοῦ λαοῦ τοῦ ἐξ ἐθνῶν παραστῶσιν οἱ Ἰουδαῖοι, ἀκροώμενοι τὰ τῆς πίστεως.

---

[1] Post τοῦ θέλοντος V. persequitur sic: ἀλλὰ τοῦ ἐλεοῦντος θεοῦ ἤθελεν ὁ Ἰσαάκ, ἵνα εὐλογήσῃ τὸν Ἠσαῦ, καὶ ὁ θεὸς οὐκ ηὐδόκησεν. οὔτε γὰρ τοῦ τρέχοντος ἤγουν εἰς τὸ πεδίον τοῦ Ἠσαῦ, ἀλλὰ τοῦ ἐλεοῦντος θεοῦ τοῦ Ἰακώβ. πάντα γὰρ κτλ.

CXXVII.

Ὠδὴ τῶν ἀναβαθμῶν· ᾆσμα τῶν ὑψηλῶν.

1. *μακάριοι*] *Τί γὰρ τούτου μακαριώτερον; δῆλον δὲ ὅτι μακαρίζει τοὺς ἁγίους πάντας.*

οἱ πορευόμενοι] *Ὅσοι, φησί, κατώρθωσαν τὰς ἀρετὰς καὶ ἐπορεύθησαν ταῖς ἐντολαῖς κυρίου.*

2. *τοὺς καρπούς*] *Ὅσοι γὰρ ἐνταῦθα κοπιῶσιν, εὑρίσκουσιν (ἀπολαμβάνουσιν) ἐν τῷ μέλλοντι αἰῶνι [τὰς ἀνταμείψεις].*[1]

μακάριος εἶ] *Περὶ τῶν οὕτως ἀγωνιζομένων λέγει τὸ πνεῦμα τὸ ἅγιον.*

3. *ἡ γυνή*] *Λέγει τὴν ψυχὴν τοῦ ἀγαθοῦ ἀνθρώπου, ἐν τῷ οἴκῳ τοῦ σώματος θαλπομένην καὶ ἀναπαυομένην ὡς ἄμπελος.*

οἱ υἱοί σου] *Οἱ λογισμοὶ οἱ ἀγαθοί, ὡς υἱοὶ κυκλοῦντες τὴν καρδίαν ⟨τοῦ ἀνθρώπου⟩, καθάπερ τράπεζαν.*

4. *ἰδού*] *Ὁρᾷς, πῶς δείκνυσι τὸν μισθὸν τῶν φοβουμένων τὸν κύριον, ὅπως εὐλογοῦνται καὶ δοξάζονται.*

5. *εὐλογήσαι σε*] *Τῇ εὐλογίᾳ τῇ ἐν Σιὼν φανείσῃ· ἐκείνῃ εὐλογήθησαν οἱ πιστοὶ καὶ τῶν μυστικῶν ἀπολαύουσιν ἀγαθῶν [πᾶσαν ἡμέραν (καθ' ἡμέραν)].*

6. *καὶ ἴδοις*] *Ἀρεταὶ γὰρ ἀρετὰς γεννῶσιν.*

εἰρήνη] *Ὁ Χριστὸς εἰρήνη ἡμῶν ἐπὶ τὸν λαὸν τὸν πιστόν.*[2]

CXXVIII.

Ὠδὴ τῶν ἀναβαθμῶν· ᾆσμα τῶν ὑψηλῶν.

1. *πλεονάκις*] *Ὁ Χριστὸς φησὶ περὶ Ἰουδαίων [ὁ λόγος], ὅτι [ἀεὶ] ἀντέκειντο τῷ Χριστῷ· οὐ γὰρ ἤθελον αὐτὸν ζῆν, ἀφ' οὗ ἐγεννήθη ἐν σαρκί. διὸ τὸ πλεονάκις [γέγραπται].*

2. *εἰπάτω*] *Ὁρᾷς, σημαίνει καὶ τὸ ὄνομα· Ἰσραὴλ γὰρ εἶδος θεοῦ ἐστιν. ἐπολέμησαν οὖν οἱ Ἰουδαῖοι τῷ Χριστῷ, ἀφ' οὗ ἐφάνη ἐπὶ τῆς γῆς.*[3]

καὶ γὰρ οὐκ] *Οὐκ ἠδυνήθησαν γὰρ πρὸς ἀλήθειαν, ἀλλ' ἐματαιώθησαν τὰ ἐνθυμήματα αὐτῶν.*

3. *ἐπὶ τοῦ νώτου*] *Καθὼς φησί· τὸν νῶτόν μου ἔδωκα εἰς μάστιγας, περιέβαλον γὰρ καὶ πληγαῖς.*

ἐμάκρυναν] *Προστιθέντες ἀνο-*

---

[1] A. in fine habet sic: *ἀπολαμβάνουσι καρποὺς τῶν πόνων αὐτῶν.*

[2] V.: *Ἐπὶ τὸν λαὸν τὸν πιστὸν ἀεὶ κατοικεῖ ὁ Χριστός, ἡ εἰρήνη τοῦ κόσμου καὶ σωτηρία τῶν ψυχῶν ἡμῶν.*

[3] V.: *Ἔγνωσται γὰρ ἀληθῶς τοῖς πιστοῖς πάντα πειρασμόν, ὃν δι' ἡμᾶς ὁ κύριος ὑπέμεινεν ὑπὸ τῶν παρανόμων Ἰουδαίων καί,* mox sequitur *οὐκ ἠδυνήθησαν κτλ.* proximi versiculi.

μίαν ἐπ' ἀνομίαν (ἐπὶ τῇ ἀνομίᾳ αὐτῶν).

4. *κύριος*] *Συνέκοψε γὰρ αὐτῶν τὴν ἰσχὺν ὁ Χριστός, ἡνίκα εἶπαν· τὸ αἷμα αὐτοῦ ἐφ' ἡμᾶς καὶ ἐπὶ τὰ τέκνα ἡμῶν.*

5. *αἰσχυνθήτωσαν*] *Ὅσοι ἐμίσησαν καὶ ἠπίστησαν τὰ ἐν τῇ Σιὼν πραχθέντα μυστήρια (τοῖς ἐν τῇ Σιὼν πραχθεῖσι μυστηρίοις), οὗτοι κατῃσχύνθησαν αἰωνίως.*

6. *γενηθήτωσαν*] *Πρόσκαιρον καὶ [ἀνίσχυρον] ἀντέχοντες ἐλπίδα.*

ὅς πρὸ τοῦ] *Πρὸ τοῦ θανάτου τουτέστιν ἐστερήθησαν τῆς δόξης τοῦ θεοῦ καὶ τῆς χάριτος.*

7. *οὗ οὐκ ἐπλήρωσεν*] *Οὔτε γὰρ ἐχορτάσθησαν τῶν τοῦ βίου ἀγαθῶν οὔτε τῶν μελλόντων ἔτυχον.*

καὶ τὸν κόλπον] *Οὔτε γὰρ ὡς τὰ δράγματα ἔχοντα σῖτον εἰς ἀποθήκην εἰσῆλθον, ἦσαν γὰρ κενά.*

8. *καὶ οὐκ εἶπαν*] *Οὔτε γὰρ εὐχαριστίας ἢ εὐλογίας ἦσαν ἄξιοι.*

εὐλογήσαμεν] *Ὁ πιστὸς γὰρ λαὸς καὶ εὐλογεῖται καὶ σώζεται ἐν κυρίῳ.*

CXXIX.

Ὠδὴ τῶν ἀναβαθμῶν· ᾆσμα τῶν ὑψηλῶν.

1. *ἐκ βαθέων*] *Σημαίνει τὸν τάφον τὸν δεσποτικόν, ἐν ᾧ ὁ Χριστὸς ἐτέθη τριήμερος (τὸ τριήμερον).*

2. *κύριε*] *Ἐκ προσώπου τοῦ Ἀδὰμ προσεύχεται ὁ Χριστός, ἵνα βεβαιώσῃ τὴν σάρκα.*

γενηθήτω] *Αὕτη φωνὴ τοῦ πρωτοπλάστου.*

3. *ἐὰν ἀνομίας*] *Τίς γὰρ ὑπομένει, ὅταν ἐρευνᾷ τὰς πράξεις ἑκάστου ἡμῶν;*

4. *ὅτι παρὰ σοί*] *Ὁ κρίνων γὰρ παρέχει καὶ τὴν συγχώρησιν.*

4ᵇ—5. *ἕνεκεν — ὑπέμεινα*] *Τῇ γὰρ ἐλπίδι τοῦ ὀνόματος τοῦ θεοῦ πάντα ὑπομένει ὁ πιστὸς ἄνθρωπος.*

ὑπέμεινεν] *Πιστεύσας, ὅτι ἀψευδὴς ὁ λόγος τοῦ θεοῦ καὶ ὅτι πρὸ τῶν αἰώνων ἐστίν.*

6. *ἤλπισεν*] *Οὕτως γὰρ σώζονται οἱ πιστοὶ τῇ ἐλπίδι (ἐν ἐλπίδι).*

ἀπὸ φυλακῆς] *Ἀπὸ ὥρας (φυλακῆς) πρωϊνῆς· φυλακὴ γὰρ ὥρα ἐστί. ἀπὸ πρωΐας οὖν μέχρι ἑσπέρας οὐκ ἐνέδωκεν ἡ ψυχὴ τοῦ Ἀδάμ, ἐλπίζουσα τὴν παρουσίαν τοῦ Χριστοῦ (κυρίου).*

ἀπὸ φυλακῆς] *Ἀπὸ τῆς ὥρας δηλαδὴ τῆς ἀναστάσεως· πρωΐας γὰρ ἡ ἀνάστασις. ἔκτοτε ἔλαβεν τὴν ἐλπίδα ὁ νέος λαός, ὅ ἐστιν Ἰσραήλ, ὡς εἶδος θεοῦ ἔχων.*

7. *ὅτι παρὰ τῷ κυρίῳ*] *Ἔλεος γὰρ καὶ λύτρωσις ἁμαρτημάτων παρὰ τῷ θεῷ μόνῳ ὑπάρχει.*

8. *καὶ αὐτός*] *Τὸν νέον λαὸν λέγει, ὅ ἐστιν Ἰσραήλ. αὐτὸν γὰρ ἐλυτρώσατο ὁ θεὸς ἐκ πάσης ἀνομίας.*

CXXX.

Ὠδὴ τῶν ἀναβαθμῶν· ᾆσμα τῶν ὑψηλῶν.

1. κύριε] *Τοῦ νέου λαοῦ λέγει, ὃς τοιαύτης δόξης καὶ τοιούτων μυστηρίων ἀξιωθείς, ἡ καρδία αὐτοῦ οὐχ ὑψώθη οὐδὲ οἱ ὀφθαλμοὶ τῆς ψυχῆς ἐξέκλιναν. ταῦτα (τοῦτο) δὲ καὶ περὶ ἑαυτοῦ ὁ Δαυὶδ εἶπεν.*

οὐδὲ ἐπορεύθην] *Ὁ προφήτης φησίν· οὐκ ἐνόσησα ὑπερηφανίαν, ὡς βασιλείας καὶ προφητείας ἀξιωθείς.*

οὐδὲ ἐν θαυμασίοις] *Τουτέστιν οὐκ ἠθέλησα θαυμαστὸς εἶναι (θαυμασθῆναι) ὑπὲρ ὅ εἰμι (ἤμην), ἀλλὰ ἀεὶ ἐταπεινούμην.*

2. εἰ μὴ ἐταπεινοφρόνουν] *Ταῦτα μὲν ὁ Δαυὶδ περὶ ἑαυτοῦ λέγει. νοεῖται δὲ καὶ εἰς τὸν Χριστόν, ὅτι ἐταπείνωσεν ἑαυτόν, οὐχ ἁρπαγμὸν ἡγησάμενος τὸ εἶναι ἴσα θεῷ.*

ὡς τὸ ἀπογεγαλακτισμένον] *Καὶ παιδίον γὰρ ἐγένετο ὁ κύριος καὶ ἐθήλασε καὶ ἀπεγαλακτίσθη καὶ ὑπετάσσετο τοῖς γονεῦσι, καθὼς γέγραπται.*

ὡς ἀνταποδώσεις] *Ταῦτα γὰρ ὑπέμεινα, φησὶν ὁ Χριστός, ἵνα ἀνταποδώσω τῷ ἀνθρώπῳ τὴν σωτηρίαν.*[1]

3. ἐλπισάτω] *Ἐπ' αὐτῷ γὰρ ὁ νέος λαὸς ἔχει τὴν ἐλπίδα, ὅ ἐστιν Ἰσραήλ· διὰ τοῦτο γὰρ ἐκλήθη ὁρῶν τὸν κύριον.*

CXXXI.

Ὠδὴ τῶν ἀναβαθμῶν· ᾆσμα τῶν ὑψηλῶν.

1. μνήσθητι] *Ὡς ἐξ αὐτοῦ τὸ μετὰ σάρκα· αὐτὸς γὰρ εἶπεν ὁ ἐκ Δαυίδ· μάθετε ἀπ' ἐμοῦ, ὅτι πρᾶός εἰμι καὶ ταπεινὸς τῇ καρδίᾳ. ἦν δὲ καὶ ὁ Δαυὶδ πρᾶος.*

2. ὡς ὤμοσεν] *Ὤμοσε γὰρ [ὁ κύριος]*[2] *καὶ οὐ μεταμεληθήσεται, στήσας τὴν διαθήκην αὐτοῦ τῷ Δαυίδ. λέγει δὲ τὴν παρθένον τὴν θεοτόκον.*

3. εἰ εἰσελεύσομαι] *Τουτέστιν οὐκ ἀναβήσομαι, φησίν, εἰς τὸν οὐρανὸν πρίν, εἰ μὴ σώσω τὸν ἄνθρωπον· διὰ τοῦτο γὰρ ἦλθον, εἰ καὶ οὐκ ἐχωρίσθην τοῦ πατρός.*

ἢ ἀναβήσομαι] *Λέγει τὸν τάφον τὸν δεσποτικὸν καὶ φησίν· οὐ μὴ εἰσέλθω εἰς τοῦτον, ἕως ἂν ἀνακαλέσωμαι τελείως τὸν ἄνθρωπον.*

4. εἰ δώσω] *Σημαίνει τὸν θάνατον, ὃν ὥσπερ ὕπνον ἀπέδειξεν.*

καὶ τοῖς βλεφάροις] *Ταὐτό ἐστι περὶ τοῦ θανάτου.*

---

[1] V. post *Χριστός* persequitur sic: *διὰ τὸν ἄνθρωπον, ἵνα δωρήσω αὐτῷ ζωὴν αἰώνιον καὶ ἄφεσιν ἁμαρτιῶν.*

[2] V. post *ὁ κύριος* scribit: *καθ' ἑαυτοῦ λέγων· εὐλογῶν εὐλογήσω σε καὶ τὰ ἑξῆς, στήσας κπλ.*

καὶ ἀνάπαυσιν] Περὶ τοῦ σώματος λέγει τοῦ κυριακοῦ· κροτάφους, ὡς ἀκραιφνέστατον.

5. ἕως οὗ] Ἕως οὗ, φησί, καταρτίσω τὸν ἄνθρωπον εἰς οἰκητήριον θεοῦ.

σκήνωμα] Τῷ Χριστῷ· Ἰακὼβ γὰρ λέγει ὁ παῖς μου, ὃν ἐξελεξάμην.

6. ἰδού] Αὐτήν· τίνα; τὴν παρθένον τὴν θεοτόκον, ἥτις ἐκαρποφόρησε τὴν σωτηρίαν τῷ γένει τῶν ἀνθρώπων. Ἐφραθὰ γὰρ καρποφορία ἑρμηνεύεται, ἔστι δὲ ἡ Βηθλεέμ.

εὕρομεν] Τίνα λέγει; πάντως τὴν Βηθλεέμ· δρυμοὶ γὰρ ἀλσώδεις ἦσαν περὶ αὐτήν. εἰσὶ δὲ καὶ οἱ τόποι πεδία. πλὴν τὴν συγκατάβασιν λέγει τοῦ Χριστοῦ.

7. εἰσελεύσομαι] Ποῖα;[1] εἰς τὸ σπήλαιον, ὅπου ἐτέχθη· εἰς τὸν σταυρόν· εἰς τὴν ἀνάστασιν· εἰς τὴν ἀνάληψιν· εἰς τὴν Σιών· εἰς τὸν Γολγοθᾶ. ἐν τούτοις γὰρ ἐσκήνωσεν.

προσκυνήσομεν] Λέγει τὸ ὄρος τοῦ Γολγοθᾶ. τοῦτο γὰρ πάντων τῶν ὀρέων τῆς γῆς ὑψηλότερον· ἐκεῖ γὰρ ἔστησαν οἱ πόδες τοῦ Χριστοῦ καὶ θεοῦ σταυρουμένου.

8. ἀνάστηθι] Ἀνάστηθι, φησί, μετὰ τὸν πόλεμον τοῦ ᾅδου καὶ τοῦ θανάτου· ἀνάπαυσον τὸν θυμόν σου· εὐφράνθητι, ἐφ' οἷς ἔπραξας.

σὺ καὶ ἡ κιβωτός] Κιβωτὸν νόει τὸ σῶμα τὸ δεσποτικόν, ὃ συνανέστησε καὶ ἅγιον ἀπετέλεσε· λέγει δὲ καὶ τὸ θυσιαστήριον, ὅ ἐστιν ἡ τράπεζα ἡ ἁγία τῶν ἁγίων.

9. οἱ ἱερεῖς] Οἱ τῆς τραπέζης λειτουργοί· οὗτοι γὰρ μετὰ τὴν ἀνάστασιν τοῦ Χριστοῦ ἐνεδύσαντο δικαιοσύνην ἀληθινήν ⟨δικαιοσύνην καὶ ἀλήθειαν⟩.

καὶ οἱ ὅσιοι] Οἱ ἀπόστολοι, οἵτινες ἐν τῷ πάθει ἐπένθουν· οὗτοι ἐν τῇ ἀναστάσει ἠγαλλιάσαντο, ἀπολαμβάνοντες τὴν χάριν αὐτῶν (αὐτοῦ) ⟨ἁγίαν⟩.

10. ἕνεκεν] Ἕνεκεν τοῦ Χριστοῦ ἐκ τοῦ Δαυὶδ γὰρ τὸ κατὰ σάρκα.

μὴ ἀποστρέψῃς] Ὁ προφήτης παρακαλεῖ· ἐχρίσθη γὰρ καὶ αὐτός.

11. ὤμοσεν] Ἐπαγγελίᾳ γὰρ ὤμοσε τῷ Δαυὶδ ὁ θεὸς ἐξ αὐτοῦ ἐκλέξασθαι τὸ κατὰ σάρκα.

ἐκ καρποῦ] Περὶ τοῦ Χριστοῦ ὁ λόγος ᾐνίξατο.

12. ἐὰν φυλάξωνται] Περὶ τοῦ Σολομῶνος ὁ λόγος (λέγει), τουτέστιν ὅτι οὐκ ἐφύλαξεν.

καὶ τὰ μαρτύρια] Ἰουδαίοις γὰρ ὡς υἱοῖς τὸν νόμον ἐνετείλατο, ἀλλ' οὐκ ἐφύλαξαν.

καὶ οἱ υἱοί] Οἱ πιστοί, μάλιστα οἱ ἀπόστολοι καθιοῦνται, ὡς γέγραπται, [ἐπὶ τοῦ θρόνου] κρίνοντες [τὰς ιβ' φυλὰς τοῦ Ἰσραήλ].[2]

13. ὅτι ἐξελέξατο] Ἐν αὐτῇ γὰρ

---

[1] V.: ποῖα; τὴν Ναζαρέτ, τὸ Θαβώρ, τὴν Βηθλεέμ, τὸν Ἰορδάνην, τὴν Σιών, τὴν Γολγοθᾶ, τὴν ἀνάστασιν. καὶ οὐ μόνον, ἀλλὰ καὶ τὸ Σινᾶ· ἐν τούτοις γὰρ ἐσκήνωσεν.

[2] Ven. post κρίνοντες add. καὶ αὐτοί, reliquis omissis ita et A.

ὁ κύριος (Χριστὸς) τὸ μυστήριον τοῖς ἀποστόλοις παρέδωκε· νόει δὲ τὴν ἐκκλησίαν.

ἡρετίσατο] Ἐκλήρωσεν αὐτὴν ἑαυτῷ εἰς κατοικίαν ἕως τοῦ αἰῶνος.

14. αὕτη] Ἐν αὐτῇ γὰρ κατέπαυσε τὸ πνεῦμα τὸ ἅγιον εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

ὧδε] Ἐν τῇ ἐκκλησίᾳ λέγει, ὡς ἑκάστης ἡμέρας κατοικῶν ἐν αὐτῇ, προτιθέμενος ἐν αὐτῇ.

15. τὴν χήραν] Τὰς ἐν ἁγνείᾳ καὶ σεμνότητι χηρευούσας (χηρευσάσας)· εἰσὶ δὲ αἱ ψυχαί, αἵτινες ἐχήρευσαν ἀπὸ τοῦ Χριστοῦ.[1]

τοὺς πτωχούς] Τοὺς πτωχεύσαντας ἀπὸ θεοσεβείας χορτάσω τοῦ μυστικοῦ ἄρτου, φησὶν ὁ Χριστός.

16. τοὺς ἱερεῖς] Ἵνα ἔχωσι παρρησίαν ἰᾶσθαι τοὺς ἀσθενεῖς (ἀσθενοῦντας).

καὶ οἱ ὅσιοι] Οἱ ἀπόστολοι· αὐτοὶ γὰρ ἀγαλλιῶνται πρὸ πάντων ἐν τῇ ἀναστάσει τοῦ Χριστοῦ.

17. ἐκεῖ ἐξανατελῶ] Τὴν παρθένον τὴν θεοτόκον λέγει, ὡς ἄκραν οὖσαν καὶ ὑπερκειμένην πασῶν τῶν γυναικῶν, ὅ ἐστι κέρας.

ἡτοίμασα] Τὸν Χριστὸν λέγει, ὡς ὄντα φῶς ἐκ φωτός· τὸ δὲ εἰπεῖν τῷ Χριστῷ νόει τὸν ἄνθρωπον, χριόμενον τῷ χρίσματι τοῦ βαπτίσματος.

18. τοὺς ἐχθρούς] Τοὺς Ἰουδαίους δηλαδή· οὗτοι γὰρ ἐχθροὶ τοῦ Χριστοῦ πρὸς ἀλήθειαν.[2]

ἐπὶ δὲ αὐτόν] Ἐπὶ τοῦ Χριστοῦ ἡ δόξα τοῦ πατρός.

CXXXII.

Ὠδὴ τῶν ἀναβαθμῶν· ᾆσμα τῶν ὑψηλῶν.

1. ἰδοὺ δή] Οὐδὲν γὰρ οὕτω τερπνὸν καὶ εὐῶδες, ὡς ἡ ἐκκλησία πληρουμένη ὑπὸ τῶν πιστῶν. τοῦτο γὰρ ὁ προφήτης ἐσήμαινε. νόει δὲ καὶ τοὺς ἀποστόλους, ὅταν ἦσαν ἐπὶ τὸ αὐτὸ συνηγμένοι.

2. ὡς μύρον] Τὸ χρίσμα ἐσήμαινε τοῦ βαπτίσματος, ᾧ χρίονται οἱ πιστοὶ ἀπὸ ἄνωθεν (κεφαλῆς) ἕως κάτω.

τὸν πώγωνα] Τὸ χρῖσμα γὰρ τὸ τοῦ ἱερέως καὶ κατεχέετο ἐπὶ τὴν κεφαλὴν καὶ κατέρρει ἐπὶ τὸν πώγωνα τοῦ ἱερέως καὶ ἀπὸ τοῦ πώγωνος ἐπὶ τὸ ἱμάτιον. δῆλον γὰρ οἱ χριόμενοι τῷ μύρῳ καὶ ἔσωθεν καὶ ἔξωθεν εὐωδιάζονται.

τὸ καταβαῖνον] Ἔνδυμα τῶν πιστῶν ὁ Χριστός. ὅσοι γὰρ εἰς Χριστὸν ἐβαπτίσθητε, Χριστὸν ἐνεδύσασθε, φησὶν ὁ ἀπόστολος. ἡ ᾤα δὲ ἀσφαλίζεται πανταχόθεν τὸ ἱμά-

[1] V. add. ἕως τοὺς ἐν μετανοίᾳ καὶ ἐξομολογήσει προσερχομένους ἐν τῷ ναῷ τοῦ κυρίου, τούτους ἀεὶ ἡ χάρις τοῦ ἁγίου πνεύματος εὐλογῶν εὐλογεῖ.

[2] V. add. τοὺς δαίμονας, τῷ πιστῷ ἀνθρώπῳ ἐνεδύθησαν αἰσχύνην σταυροῦ φανέντος.

τιον· οὕτως καὶ ἡ χάρις τὸν ἄνθρωπον.

3. ὡς δρόσος] Ἡ δρόσος ἡ καθαρά, ὅ ἐστι τὸ πνεῦμα τὸ ἅγιον. Ἁερμὼν γὰρ καθαρὸν ἑρμηνεύεται, ὡς ἀπὸ τοῦ ἀέρος καταβαίνουσα ἐπὶ τὰ ὄρη Σιών, ὅ ἐστι πίστις, ἐλπίς, ἀγάπη. ὄρη γὰρ ταῦτα τῆς ἐκκλησίας.

ὅτι ἐκεῖ] Ἐκεῖ. ποῦ; ἐν τῇ ἐκκλησίᾳ τὸν ἄρτον τῆς ζωῆς.

καὶ ζωήν] Ἡ γὰρ ἀληθινὴ ζωὴ αὕτη ἐστίν· τὸ σῶμα καὶ τὸ αἷμα τοῦ Χριστοῦ, καὶ ὧδε καὶ εἰς τὸν μέλλοντα αἰῶνα.

CXXXIII.

Ὠδὴ τῶν ἀναβαθμῶν· ᾆσμα τῶν ὑψηλῶν] τουτέστι τῶν ἀκραιφνεστάτων· εἰ γὰρ ἐν ὀλίγῳ οἱ ἀναβαθμοὶ οὗτοι τῇ προρρήσει, ἀλλὰ μεγάλων θεωρημάτων ὁδηγοί.

1. Ἰδοὺ δή] Παρακελεύεται τὸ πνεῦμα τὸ ἅγιον τοῖς πιστοῖς ἀκαταπαύστως εὐλογεῖν τὸν κύριον.

οἱ ἑστῶτες] Ὅσοι, φησίν, ἑστήκασιν ἐν τῇ ἐκκλησίᾳ·[1] οἶκος γὰρ θεοῦ καὶ αὐλὴ [ἁγία] ἡ ἐκκλησία [ἐν αὐτῇ γὰρ ἐπαναπαύεται τὸ πνεῦμα τὸ ἅγιον].

2. ἐν ταῖς νυξίν] Δηλονότι τὸ πάθος λέγει τὸ δεσποτικόν, ὅτε καὶ ὁ καιρὸς τοῦ λουτροῦ τῆς ἀφθαρσίας ἀκμάζει. τότε δήπου [πάντες, πάντως] οἱ πιστοὶ τὰς χεῖρας ἐκτείνουσι δέξασθαι τὰ ἅγια τῶν ἁγίων.

εὐλογεῖτε] Δοξολογίας γὰρ καὶ αἰνέσεως τότε καιρός.

3. εὐλογήσει] Οἱ γὰρ εὐλογοῦντες τὸν θεὸν ἀεὶ εὐλογοῦνται.

CXXXIV.

Ἀλληλουία· αἶνος οὗτος ἀγγέλων.

1. αἰνεῖτε] Τίσιν ἐπιτάσσει τὸ πνεῦμα τὸ ἅγιον ἀλλ' ἢ τοῖς πιστοῖς ἑνοῦσθαι μέλλουσι τῷ θεῷ;

2. οἱ ἑστῶτες] Ἐν ταῖς ἐκκλησίαις ὅταν ὦσιν οἱ πιστοί· οἶκος γὰρ θεοῦ καὶ αὐλὴ [ἁγία] ἡ ἐκκλησία.

3. αἰνεῖτε τὸν κύριον] Τὸ γὰρ αἰνεῖν καὶ δοξάζειν τὸν θεὸν ἁγιάζει ψυχὴν καὶ σῶμα.

ψάλατε] Τί γὰρ (οὐδὲν γὰρ) οὕτως καλὸν καὶ ἐπωφελές, ὡς τὸ ψάλλειν καὶ μεγαλύνειν τὸ ὄνομα κυρίου;

4. ὅτι τὸν Ἰακώβ] Τὸν Χριστὸν ὁ πατήρ· Ἰακὼβ γὰρ ὁ παῖς μου, ὃν ἐξελεξάμην, ὁ Ἡσαίας κράζει.

Ἰσραήλ] Τὸν λαὸν τὸν πιστὸν οὐ-

---

[1] Origo versionis slavicae hanc lectionem praebuisse videtur: Ἐν ταῖς ἐκκλησίαις, ὅταν εἰσὶν οἱ πιστοί· οἶκος γὰρ κτλ., vide ps. 134 v. 2.

σίαν ἑαυτῷ περιεποιήσατο· Ἰσραὴλ γὰρ ὁρῶν τὸν θεὸν ἑρμηνεύεται. ὁ λαὸς δὲ ὁ ἐξ ἐθνῶν ὁρᾷ τὸν θεόν, ὡς ἐκλεχθεὶς ὑπὸ θεοῦ (ὑπ' αὐτοῦ).

5. ὅτι ἔγνων] Ὁ λαὸς [γὰρ] ὁ πιστὸς ἔγνω, ὅτι μέγας ὁ κύριος. Ἰουδαῖοι γὰρ πάντως οὐκ ἔγνωσαν ⟨τὰ γενόμενα οὐκ ἔγνωσαν⟩.

καὶ ὁ κύριος] Ὑπὲρ γὰρ τοὺς ψευδωνύμους θεοὺς ὁ κύριός (Χριστός) ἐστιν ἀψευδὴς καὶ ἀληθὴς [ὡς] θεός.

6. πάντα ὅσα] Ὡς θεὸς ἐξουσιαστὴς πάντα παρήγαγε ⟨ἐξουσιαστὴς πάσης τῆς κτίσεως⟩ τῷ ῥήματι τῆς δυνάμεως αὐτοῦ.

ἐν τῷ οὐρανῷ] Τουτέστιν καὶ τὸν οὐρανὸν καὶ τὴν γῆν καὶ πάντα τὸν κόσμον αὐτῶν λόγῳ ἐποίησαν.

ἐν ταῖς θαλάσσαις] καὶ τὴν θάλασσαν καὶ τὴν ἄβυσσον καὶ τὰ ἐν αὐταῖς πάντα νεύματι παρήγαγεν.

7. ἀνάγων] Τουτέστιν ἐκ τῶν ἐσχάτων ἄκρων τῆς γῆς. ἐκεῖνος γὰρ ὁ χορός ἐστιν τῶν νεφελῶν [σηκὸς ἐν ᾧ κρύπτονται].

ἀστραπάς] Ἵνα σημαίνῃ τῷ φωτὶ τὸν ὑετόν.[1]

ὁ ἐξάγων] Εἰσὶ γὰρ τόποι, ὅπου ἀπόκεινται οἱ θησαυροὶ τῆς σοφίας τοῦ θεοῦ. σοφίᾳ γὰρ θεϊκῇ (τοῦ θεοῦ) ἐσκευάσθησαν οἱ ἄνεμοι καὶ ἀστραπαὶ καὶ βρονταί, πάντα διὰ τὸν ἄνθρωπον.[2]

8. ὃς ἐπάταξεν] Ἵνα φοβερὸν (φανερὸν) δείξῃ τότε τὸν λαὸν τῶν Ἑβραίων τοῖς Αἰγυπτίοις.

ἀπὸ ἀνθρώπου] Ἵνα μάθωσιν οἱ Αἰγύπτιοι, πόση καὶ πηλίκη ἡ δύναμις τοῦ θεοῦ.

9. ἐξαπέστειλεν] Λέγει τὴν παρ-

---

[1] V. Bar. continuat sic: ἀστραπὴ παρὰ τὸ στερίσκειν τοὺς ὤπας διὰ τῆς ἀντιλαμπούσης λαμπάδος ἢ παρὰ τὸ ὄπτω ὀπτὴ καὶ μετὰ τοῦ ἀστέρος ἀστεροπή. ἀστραπὴ ῥῆξις πυρὸς ἐκ νεφῶν περιτρίψεως. τὸ γὰρ πνεῦμα μετὰ βίας ἐκραγὲν τῶν νεφῶν καὶ τὸν ψόφον ποιῆσαν ἐκπυρωθὲν διὰ τὴν κίνησιν φλογῶδες γίνεται. ἰστέον δέ, ὅτι ἡ αὐτὴ φύσις τοῦ πνεύματος ἐν μὲν τῇ γῇ ἐστιν σεισμός, ἐν δὲ τοῖς νέφεσι βροντή, περὶ δὲ τὴν γῆν ἄνεμος.

[2] V. Bar. cont. sic: ὅρα γὰρ (δὲ) θεοῦ δύναμιν, πῶς, ὅτε δόξει αὐτῷ, ποιεῖ τὴν βροχὴν ὥσπερ κόκκον ἐπὶ τῆς γῆς κατερχόμενον (χάλαζαν ὀνομάζει). ὅτε δὲ θέλει, ποιεῖ αὐτὸ ἁπαλόν, ὥσπερ ἔριον, καὶ οὕτως αὐτὸ ἐπιφέρει ἐπὶ τῆς γῆς. καὶ πάλιν κελεύει καὶ μετατρέπει ὕδωρ εἰς πάγος. κατερχόμενον τὸ ὕδωρ ἐκ τοῦ οὐρανοῦ εἰς πολλὰ διαμερίζεται ἐν ταῖς νεφέλαις· ἐξέρχεται ἐκ τοῦ στερεώματος πνεῦμα λευκὸν προστάξει θεοῦ καὶ αὐτὸ ἐπιπίπτει ταῖς νεφέλαις καὶ λευκαίνει τὸ ὕδωρ, ὃν τρόπον κατὰ καιρὸν δρόσος. τὸ τόξον μου, φησί, τίθημι, ὁ θεὸς ἐν ταῖς νεφέλαις. τοῦτο οὖν τὸ τόξον συνάγει ὕδατα θαλάσσης ὡσεὶ ἀσκός, καὶ κατέρχεται πνεῦμα ἐκ τῶν νεφελῶν, καὶ ὅτε νεύσει ὁ θεὸς ὑετὸν δοθῆναι τῇ γῇ, ἀναδίδοται ἦχος πνεύματος σφοδρὸν (σφοδρὸς) ἐκ τῆς γαστρὸς τοῦ τόξου, θρόηλον καὶ ταρακτικόν, καὶ διατρίσσει(?) τὰ νέφη εἰς ἑτοιμασίαν τῶν ὑδάτων καὶ διαδέχεται εἰς τὸ πλάτος τῆς νεφέλης βρυγμὸν μέγαν ἀποτελοῦν, ὃν οἱ ἄνθρωποι βροντὴν καλεῖν εἰώθεισαν. ὅτε οὖν ἔλθῃ τὸ πρῶτον πνεῦμα τῆς βροντῆς καὶ παγιώσῃ τὰ νέφη καὶ διυγραίνῃ αὐτά, τότε πάλιν ἀναδίδοται ἕτερον πνεῦμα ὑδατόρρυτον καὶ αὐτοβρόντητον (αὐτόβροντον) καὶ ἐμπλήσσει (ἐμπλήσει) τὰς νεφέλας τοῦ ὕδατος. οὕτως ὁσάκις ἀνοίγεται θησαυρὸς ὑδατόρρυτος, ἀκολούθως καὶ βρονταὶ ἀκούονται. πολλάκις δὲ καὶ δίχα βροντῆς βρέχει, οὐχὶ δὲ τὰ ἐκείνου στοιχεῖά ἐστιν, ἀλλ' ὁ θεὸς αὐτὰ διευθύνεται ὡς πάντα τὰ στοιχεῖα τοῦ ἀνθρώπου.

ουσίαν τοῦ Χριστοῦ ἐν Αἰγύπτῳ καὶ ὡς συνετρίβη πίπτοντα τὰ χειροποίητα αὐτῆς.

ἐν Φαραώ] *Λέγει τὸν σατανᾶν καὶ τοὺς δαίμονας· αὐτοὶ γὰρ ἐθορυβήθησαν ἱκανῶς.*[1]

10. ἐπάταξεν] *Τὰ τῶν δαιμόνων φῦλα.*[2]

καὶ ἀπέκτεινεν] *Οὓς ἐγκατέστησεν ὁ διάβολος τῇ ἁμαρτίᾳ.*

11. τὸν Σιών] *Τὸν διάβολον ὡς ἐπηρμένον· Σιὼν γὰρ ἐπηρμένος ἑρμηνεύεται. Ἀμορραίους δὲ λέγει τοὺς παραπικραίνοντας, οἵτινές εἰσιν οἱ δαίμονες· Ἀμορραῖοι γὰρ παραπικραίνοντες ἑρμηνεύονται.*

καὶ τὸν Ὤγ] *Καὶ τοῦτον λέγει τὸν διάβολον, ὃς διείργει ⟨διεῖργε⟩ τοὺς ἀνθρώπους ἀπὸ τοῦ θεοῦ. Ὤγ γὰρ διάφραξις ἑρμηνεύεται. αὐτὸς δὲ βασιλεὺς αἰσχύνης. Βασὰν γὰρ αἰσχύνη ἑρμηνεύεται.*[3]

12. καὶ ἔδωκεν] *Ἐλευθερώσας τὴν γῆν ἀπὸ τῶν [ἐθνῶν καὶ ἀπὸ τῶν] δαιμόνων ἔδωκε τοῖς πιστοῖς εἰς κατάσχεσιν [τὴν στάσιν καὶ τὴν παρρησίαν, ἣν εἶχον ἐν τῷ οὐρανῷ οἱ δαίμονες, ἔδωκε τοῖς πιστοῖς ὁ θεός], ὡς τῶν ἐθνῶν τὴν γῆν τῷ λαῷ τῶν Ἑβραίων τότε.*

κληρονομίαν] *Τῷ πιστῷ λαῷ· αὐτοὶ γὰρ Ἰσραὴλ κατὰ ἀλήθειαν ὡς ὁρῶν ἀεὶ τὸν θεόν.*

13. κύριε] *Οὔτε γὰρ τὸ λέγεσθαι χριστιανοὺς ἐκλείψει εἰς τὸν αἰῶνα, ἀλλ' ἔσται εἰς μνημόσυνον γενεαῖς γενεῶν.*

14. οἰκτείρει] *Ἐν ἐκείνῃ γὰρ τῇ ἡμέρᾳ τῇ φοβερᾷ τότε πάντα τὸν λαὸν διακρινεῖ*[4] *μάλιστα τὸν πιστόν.*

καὶ ἐπὶ τοῖς δούλοις] *Ἐπὶ τοῖς δικαίοις τότε εὔδηλον· αὐτοὺς γὰρ τότε παρακαλεῖ ταῖς ἀμοιβαῖς.*

15. τὰ εἴδωλα] *Τότε γὰρ πάντες γνώσονται περὶ τῶν εἰδώλων, ὅτι εἰσὶ μάταια, χωνευτὰ ὑπὸ ἀνθρώπων γενόμενα.*

16. στόμα] *Πῶς γὰρ τὰ ἄψυχα (τὸ ἄψυχον) λαλεῖν δύνανται; οὕτως δὲ τότε οἱ ἁμαρτωλοὶ καταδικαζόμενοι λαλεῖν (λαλῆσαι) οὐ δύνανται.*

ὀφθαλμούς] *Ὁ γὰρ νεκρὸς καὶ ἀναίσθητος ὁρᾶν οὐ δύναται· τοιοῦτοι δέ εἰσιν οἱ τὸν θεὸν μὴ γινώσκοντες.*

17. ὦτα] *Οἱ γὰρ αἴσθησιν μὴ*

---

[1] V. Baroc. *λέγει τὰ σημεῖα, ἅπερ ἐν τῇ Αἰγύπτῳ ἔπαθεν ὁ Φαραὼ μετὰ καὶ παντὸς ἀνθρώπου αὐτοῦ. λέγει δὲ καὶ τὸν σατανᾶν νοητὸν Φαραὼ καὶ δούλους τοὺς πονηροὺς δαίμονας αὐτοῦ. αὐτοὶ γὰρ ἐθορυβήθησαν ἱκανῶς.*

[2] V. Baroc. *Μετὰ τὴν Αἰγύπτου διάβασιν τοῦ Ἰσραηλιτικοῦ γένους, πολλὰ σημεῖα εἰργάσατο ὁ κύριος καὶ πολλὰ γένη ἐθνῶν ἐπατάχθησαν, αἰσθητὰ καὶ νοητά*

[3] V. addit haec: *Πάντας τοὺς ἀλλοφύλους βασιλεῖς ἐν τοῖς ποσὶ τῶν Ἰουδαίων ὑπέταξε καὶ πάντας τοὺς ἄρχοντας τῶν δαιμόνων τοῖς πιστοῖς ἔδωκε δύναμιν καταβάλλειν τῷ τύπῳ τοῦ σταυροῦ τὰς ἑαυτῶν πανουργίας.*

[4] V. persequitur sic: *Κατὰ τὴν ἑκάστου ἐργασίαν, τοὺς μὲν δικαίους· δεῦτε οἱ εὐλογημένοι τοῦ πατρός μου, κληρονομήσατε τὴν ἡτοιμασμένην βασιλείαν. τοῖς δὲ ἀσεβέσι καὶ ἀνόμοις· πορεύεσθε ἀπ' ἐμοῦ οἱ κατηραμένοι εἰς τὸ πῦρ τὸ αἰώνιον, τὸ ἡτοιμασμένον τῷ διαβόλῳ καὶ τοῖς ἀγγέλοις αὐτοῦ.*

ἔχοντες [δεξάμενοι] πῶς ἀκούουσι (ἐνωτισθήσονται); καθάπερ οἱ Ἰουδαῖοι τὸ ὠτίον ἀνήκοον ἔχουσι περὶ Χριστοῦ.

οὐδὲ γάρ ἐστιν] Περὶ τῶν εἰδώλων ὁ λόγος, ἀλλ' οὐδὲ παρὰ Ἰουδαίοις καὶ (ἢ) Ἕλλησι (παρὰ ἀσεβέσι καὶ αἱρετικοῖς) πνεῦμα ἅγιον λαλεῖ.[1]

18. ὅμοιοι] Ἀνάγκῃ γὰρ πάντες οἱ μὴ εἰδότες (ἰδόντες) θεόν, ἀλλὰ θεοὺς ποιοῦντες ἐξομοιοῦνται (ἐξομοιοῦσθαι) τοῖς ἔργοις τῶν χειρῶν αὐτῶν.

καὶ πάντες] Πῶς γὰρ οὐχ ὅμοιος τῷ εἰδώλῳ ὁ λέγων αὐτῷ· θεός μου εἶ σύ, ὁ νοητὸς πρὸς τὸν ἀνόητον;

19. οἶκος Ἰσραήλ] Ἡ ἐκκλησία ὡς οἶκος θεοῦ.

οἶκος Ἀαρών] Καὶ πάλιν ἡ ἐκκλησία ὡς οἶκος ἱερέων· Ἀαρὼν γὰρ κιβωτὸς ἑρμηνεύεται. νόει (ἔστι) δὲ τὸ θυσιαστήριον.

20. οἶκος Λευί] Λέγει τοὺς διακονοῦντας τὰ μυστικά.

οἱ φοβούμενοι] Λέγει τοὺς δικαίους, ὅσοι τῷ φόβῳ τοῦ θεοῦ ἐμμένουσιν.

21. εὐλογητός] Αὐτῷ γὰρ μόνῳ πρέπει εὐλογία καὶ δόξα.

CXXXV.

Ἀλληλούια τῆς διπλῆς· διπλοῦς, φησίν, ὁ ὕμνος προσφερέσθω [ἐν τούτῳ τῷ ψαλμῷ πάλιν ὀνειδίζει ἡ προφητεία τοὺς ἀσεβεῖς Ἰουδαίους, ὡς ἀεὶ ὁ προφήτης ἅπασαν ἀσέβειαν αὐτῶν συγγράψας].

1. ἐξομολογεῖσθε] Πολλή, φησίν, ἡ ἀγαθότης τοῦ θεοῦ· διὸ εὐθύμως, φησί, ἐξομολογεῖσθαι τὸ πνεῦμα τὸ ἅγιον προστάσσει.

ὅτι εἰς τὸν αἰῶνα] Τὸ ἔλεος γὰρ τοῦ θεοῦ καὶ ἐν τῷ νῦν αἰῶνι καὶ ἐν τῷ μέλλοντι μένει ἀνεξάλειπτον.

2. ἐξομολογεῖσθε τῷ θεῷ] Τῷ θεῷ τῶν ἁγίων, περὶ ὧν εἴρηται· ἐγὼ εἶπα θεοί ἐστε, οὐχὶ γὰρ τῶν θεῶν τῶν εἰδωλικῶν καὶ ματαίων.

ὅτι εἰς τόν] Οὐ πρὸς καιρὸν γὰρ ἐλεεῖ ὁ θεός, ἀλλὰ αἰωνίως.

3. ἐξομολογεῖσθε τῷ κυρίῳ] Ἐπὶ τῆς γῆς μὲν γὰρ πολλοὶ κύριοί εἰσιν, εἷς δὲ κύριος πάντων ἐν οὐρανῷ ἐστιν.

ὅτι εἰς τόν] Ὁ θεὸς γὰρ ἐλεῶν αἰωνίως ἐλεεῖ.

4. τῷ ποιοῦντι] Ὡς γὰρ θεῷ μόνῳ αὐτῷ πρέπει τὰ ἔνδοξα θαυμάσια ποιεῖν.

ὅτι εἰς τόν] Ὡς γὰρ αἰώνιος ὁ θεὸς αἰωνίως καὶ ἐλεεῖ.

5. τῷ ποιήσαντι] Ποίους οὐρανούς; πρῶτον μὲν τοὺς αἰσθητοὺς οὐρανούς, οἵτινες τῷ λόγῳ καὶ θεῷ ἐστερεώθησαν· ἔπειτα δὲ τοὺς νοη-

[1] V. Οὔτε γὰρ τὴν χάριν τῶν εὐαγγελίων Ἰουδαῖοι μελετῶσιν οὔτε τὸ μυστικὸν (A. τῶν μυστικῶν τι) τῆς πίστεως λαλεῖν δύνανται. περὶ τῶν εἰδώλων κτλ.

τούς, οἵτινές εἰσιν αἱ δυνάμεις αἱ ἐν τοῖς οὐρανοῖς.

ὅτι εἰς τόν] Διὰ γὰρ τὸ πολὺ ἔλεος αὐτοῦ, ὃ ἔμελλε ποιεῖν εἰς τὸν ἄνθρωπον, ἔκτισε τὰ πάντα.

6. τῷ στερεώσαντι] Τὴν αἰσθητὴν γῆν ἐπὶ τῶν αἰσθητῶν ὑδάτων ⟨τὴν δὲ νοητήν, ὅ ἐστιν ἄνθρωπος⟩ ἐπὶ τῶν ὑδάτων τοῦ βαπτίσματος.

ὅτι εἰς τόν] Διὰ γὰρ τὸ πολὺ ἔλεος αὐτοῦ ταῦτα παρήγαγεν ὁ θεός.

7. τῷ ποιήσαντι] Τὸν[1] ἥλιον καὶ τὴν σελήνην· ταῦτα γάρ εἰσι τὰ μεγάλα φῶτα, ὡς (τὰ) φωτίζοντα τὴν ὑπουράνιον. νόει δὲ καὶ τοὺς ἀποστόλους, ὡς φωτίσαντας τὴν οἰκουμένην.

ὅτι εἰς τόν] Μέγα γὰρ τὸ ἔλεος τοῦ θεοῦ, ὡς τὸ φῶς δωρησαμένου τῷ κόσμῳ αὐτοῦ.

8. τὸν ἥλιον] Ὁ αἰσθητὸς ἥλιος τὴν αἰσθητὴν φωτίζει ἡμέραν· ὁ Χριστὸς [ὁ ἥλιος δίκαιος] τῆς ἡμέρας ἐκείνης ἐξουσιάζει τῆς φοβερᾶς· ἄμφω δὲ αὐτὸς φωτίζει.

ὅτι εἰς τόν] Τὸ ἔλεος γὰρ τοῦ θεοῦ εἰς τὸν αἰῶνα μένει καὶ οὐκ ἐκλείπει.

9. τὴν σελήνην] Τὴν αἰσθητὴν σελήνην τῇ αἰσθητῇ νυκτί· νοητῶς δὲ λέγει τὴν ἐκκλησίαν, ἥτις φωτίζει τὸν ἄνθρωπον ἐν τῇ νυκτὶ τῆς ἁμαρτίας.

ὅτι εἰς τόν] Αἰώνιον γὰρ ἀληθῶς τὸ ἔλεος τοῦ θεοῦ.

10. τῷ πατάξαντι] Αἴγυπτος[2] ἐκθλίβουσα ἑρμηνεύεται, ἡ ἁμαρτία δὲ θλίβει τὸν ἄνθρωπον. ταύτην δὲ ἐπάταξεν ὁ Χριστὸς (κύριος) τῇ ἐπιφανείᾳ αὐτοῦ [ὥσπερ τὴν Αἴγυπτον τότε].

ὅτι εἰς τόν] Πατάξας γὰρ τὴν ἁμαρτίαν αἰωνίως ἠλέησεν.

11. καὶ ἐξαγαγόντι] Τὸν[3] λαὸν τὸν πιστὸν ἐκ μέσου τῆς νοητῆς Αἰγύπτου, λέγω δὲ τῶν εἰδώλων.

ὅτι εἰς τόν] Ἐλεῶν γὰρ αἰωνίως ταῦτα ἐποίησεν.

12. ἐν χειρί] Δυνάμει γὰρ τῆς δεξιᾶς αὐτοῦ ἐποίησε ταῦτα, ὡς θεὸς δυνατός.

ὅτι εἰς τόν] Ἀνεξάλειπτον γὰρ ὑπάρχει τὸ ἔλεος τοῦ θεοῦ εἰς αἰῶνα αἰῶνος.

13. τῷ καταδιελόντι] Τὴν[4] αἱματίνην, τὴν βορβορόκυμον, τὴν τῆς εἰδωλολατρείας, τὴν αἱμόφυρτον διήρησε καὶ καθεῖλε.

ὅτι εἰς τόν] Τοῦτο γὰρ ἔργον θεοῦ τὸ αἰωνίως ἐλεεῖν.

14. καὶ διαγαγόντι] Τὸν[5] λαὸν τὸν πιστὸν ἐκ [μέσου] τῆς συνοχῆς τῶν εἰδώλων (δαιμόνων).

---

[1] V. praemittit haec: Τοὺς ζ' πλάνητας, ὧν τὰ ὀνόματα· Ζεύς, Ἄρης, Ἥλιος, Ἑρμῆς, Σελήνη, Ἀφροδίτη καὶ Χρόνος, καὶ ἕτερα ιβ'· κριός, ταῦρος, δίδυμοι, καρκίνος, λέων, παρθένος, ζυγός, σκορπίος, τοξότης, αἰγοκέρως, ὑδροχόος, ἰχθύες.

[2] V. praecedit: Λέγει πάλιν ὁ προφήτης τὰ ἐν Αἰγύπτῳ σημεῖα.

[3] V. praecedit: Τὸν λαὸν τῶν Ἑβραίων τότε, νῦν δέ.

[4] V. incipit sic: Τότε τὴν αἰσθητὴν θάλασσαν, λέγει δὲ καὶ

[5] V. praemittit haec: Λέγει τότε τοὺς Ἰσραηλίτας, νῦν δὲ τὸν νέον Ἰσραήλ, ἤγουν τὸν πιστὸν λαὸν κτλ.

ὅτι εἰς τόν] Ἐλεῶν ⟨ἐλθὼν⟩ γὰρ τὸν λαὸν τὸν πιστὸν αἰωνίως ἠλέησεν.

15. καὶ ἐκτινάξαντι] Τὸν[1] διάβολον λέγει (λέγω) μετὰ τῶν δαιμόνων εἰς τὴν θάλασσαν τοῦ βαπτίσματος. ἐρυθρὰ δέ, ὅτι τῷ αἵματι τοῦ Χριστοῦ πορφυρίζει.

ὅτι εἰς τόν] Τὸ ἔλεος γὰρ τοῦ θεοῦ πολὺ καὶ αἰώνιον.

16. τῷ διαγαγόντι] Τὸν λαὸν τῶν Ἑβραίων τότε, νοητῶς δὲ τὸν λαὸν τῶν ἐθνῶν ἐν τῇ ἐκκλησίᾳ· ἔρημος γὰρ ἦν αὕτη πρὸ Χριστοῦ.

ὅτι εἰς τόν] Πῶς γὰρ οὐκ αἰώνιον, τοιοῦτον ποιήσας τὸ ἔλεος τῷ λαῷ τῷ πιστῷ;

17. τῷ πατάξαντι] Τοὺς δαίμονας, ὡς ἄρξαντας καὶ ὑποτάξαντας τὸν ἄνθρωπον τῇ πλάνῃ.[2]

ὅτι εἰς τόν] Αἰωνίως γὰρ ἠλέησεν, ἐλευθερώσας τὸν ἄνθρωπον ἐκ τῶν δαιμόνων.

18. καὶ ἀποκτείναντι] Τὸν διάβολον καὶ τὸν θάνατον.

ὅτι εἰς τόν] Ὡς μεγάλως κραταιόν, αἰώνιον (αἰωνίων ἀγαθῶν) ⟨ὡς μέγα, ὡς κραταιόν, αἰώνιον πρὸς ἀλήθειαν⟩.[3]

19. τὸν Σιών] Τὸν διάβολον ὡς κατὰ τοῦ θεοῦ ἐπηρμένον· Σιὼν γὰρ ἐπηρμένος ἑρμηνεύεται.

ὅτι εἰς τόν] Τὸ γὰρ ἔλεος τοῦ θεοῦ εἰς τὸν αἰῶνα μένει.[4]

20. καὶ τὸν Ὤγ] Ὡσαύτως τὸν διάβολον σημαίνει.

ὅτι εἰς τόν] Τὸ γὰρ ἔλεος τοῦ θεοῦ ἀτελεύτητον.

21. καὶ δόντι] Ἣν γὰρ ἐτυράννει γῆν ὁ διάβολος, ἐδόθη τῷ ἀνθρώπῳ πιστεύσαντι.

ὅτι εἰς τόν] Ἐλεήσας γὰρ τὸν ἄνθρωπον εἰς τέλος ἠλέησεν.

22. κληρονομίαν] Ἐκληρονόμησε γὰρ ὁ νοητὸς Ἰσραήλ, ὁ Χριστός, τὸν ἄνθρωπον.

ὅτι εἰς τόν] Ὡς πολὺ γὰρ καὶ μέγα τὸ ἔλεος τοῦ θεοῦ αἰωνίως.

23. ὅτι ἐν τῇ ταπεινώσει] Ὁ[5] λαὸς ὁ ἐξ ἐθνῶν κράζει, ὡς (ὁ) σωθεὶς ἐκ τῆς θλίψεως τῶν δαιμόνων.

ὅτι εἰς τόν] Πάντα γὰρ ἐλεῶν τὸν ἄνθρωπον ἐποίησεν.[6]

24. καὶ ἐλυτρώσατο] Τοὺς πιστοὺς ἐκ τῶν δαιμόνων.[7]

ὅτι εἰς τόν] Ἀναγκαῖον γὰρ ἑκάστῳ ῥητῷ ἐξεῦχθαι τὸ ἔλεος τοῦ θεοῦ (κυρίου), ὡς δι' αἰώνων μένον.

---

[1] V. incipit sic: *Τότε τὸν Φαραὼ πανστρατὶ κατεπόντισεν, ἐλθὼν δὲ ὁ κύριος ἐπὶ τῆς γῆς τὸν Φαραώ, τὸν διάβολον κτλ.*

[2] V.: *Τότε τοὺς ἀλλοφύλους ὑπὸ τῶν Ἰουδαίων, νῦν δὲ ὁ κύριος πατάξας πᾶσαν ἐξουσίαν τοῦ διαβόλου καὶ τοῦ θανάτου ἐδωρήσατο πᾶσιν ἀνθρώποις ἀφθαρσίαν καὶ ζωὴν τῷ κόσμῳ αἰώνιον δωρησάμενος.*

[3] Quae virgulatis uncis inclusa sunt, textum versionis slavicae praebent. V. adfert haec: *Τὸ ἔλεος γὰρ τοῦ θεοῦ εἰς τὸν αἰῶνα μένει*, sed haec potius ad 19[b] referuntur in Ven.

[4] V.: *Ὁ θεὸς γὰρ ἐλεῶν αἰωνίως ἐλεεῖ.*

[5] V. incipit sic: *Τότε ὁ παλαιὸς Ἰσραήλ, νῦν δὲ ὁ πιστὸς λαὸς κτλ.*

[6] V.: *Καθ' ἑκάστην ἐλεῶν τὸν ἄνθρωπον ὁ θεὸς οὐκ ἐπαύσατο.*

[7] V. praemittit haec: *Τὸ γένος Ἰουδαίων τότε, νῦν δὲ . . .*

25. ὁ διδούς] Καὶ ἀνθρώποις καὶ κτήνεσιν.

ὅτι εἰς τόν] Οὐ γὰρ ἐκλείπει τὸ ἔλεος τοῦ θεοῦ ποτε.

26. ἐξομολογεῖσθε] Τῷ ὄντι ἐν οὐρανῷ ταῦτα φησίν.[1]

ὅτι εἰς τόν] Ὡς αἰώνιος ὢν καὶ αἰωνίως ἐλεεῖ.[2]

CXXXVI.

Τῷ Δαυίδ· τῷ Χριστῷ εὐχαριστία τῶν ὄντων ἐν τῇ αἰχμαλωσίᾳ.

1. ἐπὶ τῶν ποταμῶν] Τότε μὲν ὁ λαὸς ἐν Βαβυλῶνι τῇ αἰσθητῇ, νοεῖται δὲ ὁ ἄνθρωπος ὡς πλανηθεὶς ἐπὶ τὸν ποταμὸν (τῶν ποταμῶν) τῆς συγχύσεως. Βαβυλὼν γὰρ σύγχυσις ἑρμηνεύεται· ποταμὸς δὲ τὰ ῥεύματα τῆς ἁμαρτίας· ἐκεῖ γὰρ καθεζόμενος ὁ ἄνθρωπος ἔκλαιεν.

ἐν τῷ μνησθῆναι] Εἰς ὑπόμνησιν γὰρ τῆς ἐκκλησίας ἤρχετο ὁ λαὸς ὁ ἐξ ἐθνῶν καὶ ἔκλαιεν.[3]

2. ἐπὶ ταῖς ἰτέαις] Τότε μὲν ἐν τοῖς δένδροις τοῦ ποταμοῦ ὁ λαὸς ἐκρέμασε (ἐκρέμνων) τὰ σκεύη αὐτῶν.[4] ἦν δὲ τύπος τοῦ νέου λαοῦ καὶ τῆς ἐκκλησίας. ἕκαστος γὰρ τῶν πιστῶν ἐν τῷ σταυρῷ τοῦ Χριστοῦ καὶ τοὺς λογισμοὺς καὶ τὰς ἐνθυμήσεις ἀποκρεμῶσιν [τουτέστι ἐπιρρίπτουσιν], ὅ ἐστιν ἰτέα, ξύλον ὠφέλιμον.

3. ὅτι ἔκεῖ] Τότε οἱ Βαβυλώνιοι ἐμπαίζοντες τῷ λαῷ ἔλεγον· εἴπατε ἡμῖν ἐκ τῶν ψαλμῶν, ὧν ἐλέγετε ἐν τῇ Σιών.

καὶ οἱ ἀπαγαγόντες] Οἱ αἰχμαλωτεύσαντες αὐτοὺς ἐβούλοντο ἀκοῦσαι ὑμνούντων τῶν Ἰουδαίων, ὡς καὶ οἱ δαίμονες ὠνείδιζον τὸν ἄνθρωπον λέγοντες· ποῦ ἐστιν ὁ θεὸς σου;

ὑμνήσατε] Ἦν δὲ προφητεία τοῦ νέου λαοῦ καὶ τῆς ἐκκλησίας.

4. πῶς ᾄσωμεν] Ἐλογίζετο γὰρ ὁ λαός, ὅτι πῶς τὰ ἅγια ἐν τῇ γῇ τῶν ἀσεβῶν λαλήσομεν;

5. ἐὰν ἐπιλάθωμαι] Ἀναζητῶν τὴν ἐκκλησίαν ὁ θεός, τουτέστιν οὐ μὴ σοῦ ἐπιλάθωμαι.

6. κολληθείη] Λαλήσω, φησὶν ὁ θεός, τῇ ἐκκλησίᾳ περὶ σοῦ εἰς ἀγαθὸν τοῦ ἐκλέξασθαί σε.

ἐὰν μὴ προσανατάξωμαι] Τουτέστιν τάξω τὴν Ἱερουσαλήμ, ὅ ἐστιν ἡ ἐκκλησία, ὡς ἐν ἀρχῇ δόξης κυρίου ἁγίασμα.

---

[1] V. persequitur sic: ἐὰν ἐξομολογούμεθα τὰς ἁμαρτίας ἡμῶν, πιστός ἐστι καὶ δίκαιος ὁ θεὸς ἡμῶν, ἀφίει ἡμῖν πάσας τὰς ἀνομίας καὶ τὰς ἁμαρτίας.

[2] V.: Τὸ ἀκατάληπτον ἔλεος αὐτοῦ καὶ ἐν τούτῳ τῷ αἰῶνι συγχώρησιν δίδωσι καὶ ἐν τῷ μέλλοντι ἄφεσιν ἁμαρτιῶν καὶ ζωὴν αἰώνιον.

[3] V.: Ἐν τῷ εἰπεῖν· πόσοι μίσθιοι τοῦ πατρός μου περισσεύονται ἄρτων, ἐγὼ δὲ λιμῷ ἀπόλλυμαι. Σιὼν οἶκος θεοῦ ἑρμηνεύεται.

[4] V. inseruit haec: Λέγει δὲ καὶ ἰτέας τοὺς δακτύλους. ἐν μέσῳ τῶν ἑαυτῶν χειρῶν ἐκρεμάσαντο φωνητικὸν ὄργανον τῆς κεφαλῆς. ἦν δὲ τύπος πτλ. In fine versiculi Ven. legit ὅ ἐστιν ἰτέα ὠφέλιμος.

7. *μνήσθητι*] *Τοῦ ἀνθρώπου, φησί, τοῦ εἰς γῆν ἀποστραφέντος καὶ γενομένου γηΐνου. Ἐδὼμ γὰρ γήϊνος ἑρμηνεύεται. μνήσθητι τοίνυν καὶ τάξον αὐτὸν ἐν τῇ ἐκκλησίᾳ. διὸ λέγει τὴν ἡμέραν Ἱερουσαλήμ.*

τῶν λεγόντων] *Λέγει περὶ τῆς παλαιᾶς Ἱερουσαλήμ· ἐκκενοῦται γὰρ ὑπὸ τοῦ πιστοῦ ⟨νέου⟩ λαοῦ, τουτέστιν κατασκάπτεται ἕως τῶν θεμελίων.*

8. *θυγάτηρ*] *Περὶ τῆς συναγωγῆς ὁ λόγος, ὅτε τῇ συγχύσει τῶν εἰδώλων ἥνωται, ὡς τεχθεῖσα ὑπὸ τῶν δαιμόνων.*

μακάριος] *Μακάριος, ὃς ἀνταποδώσει δι' ἔργων ἀγαθῶν [τῷ Χριστῷ] περὶ πάντων, ὧν ἐποίησεν ἡμῖν· νεκροὺς γὰρ ὄντας τῇ ἁμαρτίᾳ ἔζωοποίησεν ἡμᾶς ἐν τῷ Χριστῷ.*

9. *μακάριος ὃς κρατήσει*] *Νήπια λέγει τοὺς ἀναγεννωμένους διὰ τοῦ βαπτίσματος καὶ τοὺς νηπιάζοντας τὴν καρδίαν τῇ ἀκακίᾳ ⟨τῇ καρδίᾳ τῇ ἀκάκῳ⟩. μακάριος οὖν, ὃς τούτους προσφέρων ἀεὶ τίθησι πρὸς ἐπίβασιν τῷ Χριστῷ. ἡ γὰρ πέτρα ἐστὶν ὁ Χριστός, καθὼς φησὶν ὁ Παῦλος. νόει δὲ καὶ τὴν πέτραν, ἐν ᾗ ἐσταυρώθη ὁ Χριστός, ὅτι πάντες οἱ πιστοὶ πρὸς αὐτὴν ἑαυτοὺς ἐδαφίζουσι, τουτέστιν πίπτουσι ἐπὶ πρόσωπον ἐπὶ τὴν γῆν.*

CXXXVII.

Τῷ Δαυὶδ Ζαχαρίου προφητεία εἰς Χριστὸν ἐλέχθη, Ζαχαρίου γὰρ ἐμνήσθη, ὡς μνήμης λεγομένης Ἰαώ, ὅ ἐστι ἐξουσία δόξης.

1. *ἐξομολογήσομαι*] *Ὁ λαὸς ὁ πιστός, ὁ κληθεὶς ἐκ τῶν ἐθνῶν· οὗτος γὰρ ὅλῃ τῇ καρδίᾳ ἐξωμολογήσατο.*

καὶ ἐναντίον] *Ὡς διδαχθεὶς [παρ' αὐτῶν] τὸ ᾆσμα τῶν ἀγγέλων, ὃ οἱ πιστοὶ ᾄδουσιν ἐπὶ τῶν μυστικῶν.*

ὅτι ἤκουσας] *Οὔτε γὰρ λανθάνει τὸν θεὸν καὶ τοὺς ἀγγέλους αὐτοῦ πάντα, ὅσα ὁ ἄνθρωπος καὶ ἐνθυμεῖται καὶ λαλεῖ.*

2. *προσκυνήσω*] *Λέγει τὴν ἐκκλησίαν, νοητῶς δὲ λέγει τὸ σῶμα Χριστοῦ, περὶ οὗ λέγει· λύσατε τὸν ναὸν τοῦτον καὶ ἐν τρισὶν ἡμέραις καὶ τὰ ἑξῆς.*

ἐξομολογήσομαι] *Ἐξομολογοῦνται γὰρ οἱ πιστοὶ τοῦ Χριστοῦ, ἀεὶ σωζόμενοι, εὐχαριστοῦντες.*

ἐπὶ τῷ ἐλέει] *Τῇ γὰρ ἀληθείᾳ τοῦ θεοῦ (Χριστοῦ) καὶ τῷ ἐλέει αὐτοῦ θαρροῦντες οἱ πιστοὶ σώζονται.*

ὅτι ἐμεγάλυνας] *Ἐπὶ πάντας, καὶ ἀπίστους καὶ πιστούς, καὶ μικροὺς καὶ μεγάλους, τὸ ὄνομα κυρίου ἐμεγαλύνθη καὶ βασιλεύει.*

3. *ἐν ᾗ ἂν ἡμέρᾳ*] *Τοῦτο φωνὴ τοῦ Ἀδάμ [καὶ παντὸς ἀνθρώπου].*

πολυωρήσεις] *Τουτέστιν ἀνακαι-*

νίσεις με σὺν ψυχῇ καὶ σώματι εἰς αἰῶνα αἰῶνος, ὅ ἐστι πολυωρίᾳ.[1]

4. ἐξομολογησάσθωσαν] Οἱ ἅγιοι πάντες· αὐτοὺς γὰρ ἡ γραφὴ βασιλεῖς καλεῖ, ὡς υἱοὺς βασιλείας. λέγει δὲ καὶ τοὺς αἰσθητοὺς βασιλεῖς.

ὅτι ἤκουσαν] Οἱ γὰρ ἅγιοι μόνοι πρὸς ἀλήθειαν ἤκουσαν τῶν ῥημάτων τοῦ θεοῦ καὶ ἀκούσαντες ἐφύλαξαν.

5. καὶ ᾄσάτωσαν] Αὐτοὶ γὰρ ᾄδοντες καὶ ψάλλοντες [κατὰ τὸν ἀπόστολον] ⟨πρὸς ἀλήθειαν⟩ οὐκ ἐπαύσαντο.

ὅτι ἡ δόξα] Ὡς θεοῦ καὶ ποιητοῦ ἡ δόξα ἀκατάληπτος.

6. ὅτι ὑψηλός] Ὡς θεὸς γὰρ καὶ ὑπεράνω πάντων ὑπάρχων ἐφορᾷ οὐ μόνον τὰ ἐπὶ γῆς, ἀλλὰ καὶ τὰ ἐν τοῖς καταχθονίοις, καὶ μάλιστα τῶν ταπεινῶν τὰς ἐνθυμήσεις.

καὶ τὰ ὑψηλά] Τὰ ὑψηλὰ φρονήματα τῶν ὑπερηφάνων, μακρὰν ὢν ἀπ' αὐτῶν, ὡς παρὼν ἐπίσταται.

7. ἐὰν πορευθῶ] Ὁ λόγος περὶ τοῦ Χριστοῦ, ὅτι τὰς ἀσθενείας ἡμῶν ἀνέλαβε καὶ τὰς νόσους ἐβάστασε.

ἐπ' ὀργήν] Ἐπὶ τὸν λαὸν τῶν Ἰουδαίων, εὔδηλον, ἐξέτεινε ὁ θεὸς τὴν χεῖρα αὐτοῦ καὶ ἀφεῖλκεν ἀπ' αὐτῶν πᾶσαν τὴν δόξαν αὐτῶν. οὗτοι γὰρ πρὸς ἀλήθειαν ἐχθροὶ τοῦ κυρίου. ἀλλὰ καὶ ἐπὶ τοὺς δαίμονας, οἵτινες ἐταλαιπώρησαν τὸν ἄνθρωπον, ἐξέτεινε τὴν χεῖρα ὁ θεός.

καὶ ἔσωσεν] Ἡ δεξιὰ τοῦ θεοῦ, τοῦ ἐνοικοῦντος ἐν τῷ ἀνθρώπῳ, δηλαδὴ ἐν τῷ Ἀδάμ, ἔσωσεν αὐτὸν ἐκ τῆς συνοχῆς τῶν δαιμόνων.

8. κύριε] Ὁ πατὴρ ὑπὲρ τοῦ υἱοῦ, ὅ ἐστιν ὑπὲρ τοῦ Ἀδάμ.

κύριε τὸ ἔλεος] Ὡς ἐλεήμων, φησί, μὴ παρίδῃς τὸν ἄνθρωπον τὸν ὑπὸ σοῦ πλασθέντα, πεσόντα δὲ τῇ ἁμαρτίᾳ, ἀλλ' ἀνάστησον αὐτόν.

CXXXVIII.

Εἰς τὸ τέλος· ψαλμὸς τῷ Δαυίδ] ἐν τῇ διασπορᾷ ἡ προφητεία σημαίνει τὰ ἐπὶ τέλει μέλλοντα γίνεσθαι περὶ τοῦ Χριστοῦ, Ζαχαρίου μνησθεῖσα. Ζαχαρίας γὰρ μνήμη ἑρμηνεύεται. ἐμνήσθη οὖν ὁ προφήτης, ὅτι Χριστοῦ φανέντος Ἰουδαῖοι διασπείρονται, ὅ ἐστι σκορπίζονται.

1. κύριε] Ὁ Χριστὸς πρὸς τὸν πατέρα ἐκ προσώπου τοῦ ἀνθρώπου. διὰ τοῦτο γὰρ ἦλθεν, ἵνα σώσῃ τὸν ἄνθρωπον.

2. σὺ ἔγνως] Σύ, φησί, πάτερ, καὶ τὴν ἐκ δεξιῶν καθέδραν μου ἐπίστασαι καὶ τὸ ἀναστῆναί με πρὸς ἀναζήτησιν τοῦ ἀνθρώπου ἔγνως· βουλῇ γάρ σου ἐγένετο.

σὺ συνῆκας] Ὁ υἱὸς πρὸς τὸν πατέρα· σὺ οἶδας, πάτερ, ὅτι ἐξ ἀρ-

[1] V. post αἰῶνος inseruit ἀντὶ τοῦ πολὺ φυλάξεις με.

χῆς ἡ βουλὴ αὕτη ⟨μου⟩ ἐγενήθη περὶ τοῦ ἀνθρώπου.

3. τὴν τρίβον] Τρίβος ἐστὶν ὁδὸς πλατεῖα· σχοῖνός ἐστιν ὁδὸς στενὴ πάνυ, καθὼς τὸ εὐαγγέλιον λέγει. καὶ ὁ ἄνθρωπος· πλατεῖαν καὶ στενὴν ὁδόν, φησί, κἀκείνην καὶ ταύτην σὺ ἐπίστασαι.

καὶ πάσας] Ἐν γὰρ τῷ πλάσσειν (πλάσαι) τὸν ἄνθρωπον προεγίγνωσκεν ὁ θεὸς πᾶσαν πρᾶξιν αὐτοῦ.

4. ὅτι οὐκ ἔστιν] Πλασθεὶς γὰρ ὁ ἄνθρωπος ἀμύητος ἦν πάσης κακίας καὶ δόλου.

4—5. ἰδοὺ — ἔσχατα] Ἔγνως γὰρ ὡς θεὸς καὶ τὴν πρώτην γνώμην, ὅτι καθαρὰ ἦν ἀπὸ πάσης κακίας, καὶ τὰς ἐπὶ τέλει, ὅτι ἔμελλε κακοῖς συνέχεσθαι. καὶ διὰ τοῦτο ἀπὸ πάντων με σῶσον.

σὺ ἔπλασας] Δηλονότι χειρὶ θεοῦ ἐπλάσθη ὁ ἄνθρωπος. ὡς πλάστης οὖν ὢν τοῦ ἀνθρώπου (οὐρανῶν), οὐδὲν λανθάνει τὸν θεόν.

6. ἐθαυμαστώθη] Ὁ θεὸς φησὶ τῷ ἀνθρώπῳ· ἐγνώρισά σε πάσῃ τῇ κτίσει, ἐντιμότερον ποιήσας σε παρὰ πάντας.

ἐκραταιώθη] Ἐν γὰρ τῷ παραβῆναι τὸν ἄνθρωπον καὶ τὴν παρρησίαν ἀπώλεσεν (ἀπολέσθαι) καὶ ἀντειπεῖν οὐκέτι ταῖς οὐρανίαις δυνάμεσι δύναται.

7. ποῦ πορευθῶ] Ὅτι ἐπουρανίων καὶ ἐπιγείων καὶ καταχθονίων δεσπόζει πάντων τὸ πνεῦμα τὸ ἅγιον. παραβὰς γὰρ ὁ Ἀδὰμ φυγῇ ἐχρήσατο, ὡς ἐδόκει.

καὶ ἀπὸ τοῦ προσώπου] Πάντα γὰρ ἐφορᾷ ὁ ὀφθαλμὸς τοῦ θεοῦ, ὥστε ὁ δοκῶν λανθάνειν πλανᾶται.

8. ἐὰν ἀναβῶ] Σημαίνει (ἐσήμαινεν ἡ προφητεία), ὅτι εἰς τὸν οὐρανὸν ἔμελλεν ἀναβαίνειν ὁ ἄνθρωπος, ἔνθα ἐστὶν ὁ Χριστός.

ἐὰν καταβῶ] Ἐσήμαινε τὸ πνεῦμα τὸ ἅγιον τὴν ἐν τῷ ᾅδῃ κατάβασιν τοῦ Χριστοῦ καὶ θεοῦ διὰ τὸν ἄνθρωπον. κατελθὼν γὰρ ἐκεῖ κατέτρωσεν αὐτόν, ὅ ἐστι καθεῖλεν.

9. ἐὰν ἀναλάβω] Σημαίνει τὸν καιρὸν τῆς ἀναστάσεως· τότε γὰρ ὁ ἄνθρωπος ἐπτεροφύησεν ὡς ἀετὸς καὶ ἐξεπτήδησε ἐκ τοῦ μνήματος, ὥσπερ ἀπὸ καλιᾶς.

καὶ κατασκηνώσω] Θάλασσαν λέγει τὴν τοῦ βίου· ἐπὶ τέλει γὰρ σεσάρκωται ὁ θεὸς καὶ ἐσώθη ὁ ἄνθρωπος.

10. καὶ γὰρ ἐκεῖ] Καὶ γὰρ μετὰ τὸ σωθῆναι τὸν ἄνθρωπον καὶ ἔτι ἐν τῇ βιωτικῇ θαλάσσῃ νηχόμενον ἡ χεὶρ τοῦ θεοῦ σώζει τὸν ἄνθρωπον ⟨αὐτόν⟩.

11. καὶ εἶπα] Σημαίνει τὸ σκότος τὸ ἐπὶ τοῦ πάθους γενόμενον· ἐν αὐτῷ γὰρ ἡ σωτηρία γέγονε τῷ ἀνθρώπῳ.

καὶ νύξ] Μεσούσης (μεσαζούσης) γὰρ τῆς ἡμέρας τοῦ πάθους ἡ νὺξ προέκοψεν, ἐν ᾗ κατετρύφησεν ὁ ἄνθρωπος, πιστεύσας τῷ Χριστῷ μυστικῶς.

12. ὡς τὸ σκότος] Ὅτι τὸ σκότος, δηλαδὴ τὸ ἐπὶ τοῦ σταυροῦ γενόμενον, φωτὸς τοῦ ἀθανάτου πρόξενον ἦν.

καὶ νύξ] Εἰ γὰρ καὶ σκότος ἐγένετο, ἀλλ' ὁ καιρὸς καὶ ὁ τόπος τῆς ἡμέρας ἐσώζετο. διὰ τοῦτο πάλιν εἰς τὸ φῶς τῆς ἡμέρας μετεβλήθη.

ὡς τὸ σκότος] Ἦν γὰρ καὶ σκότος τοῦ φωτὸς τότε πρόξενον καὶ μέρος τῆς ἡμέρας ἐτύγχανεν.

13. ὅτι σύ] Αὐτὸς γὰρ τοῦ ἀνθρώπου ἐτάζει καὶ τοὺς νεφροὺς καὶ τὴν καρδίαν.

ἀντελάβου] Ἀπὸ γαστρὸς γὰρ μητρός [μου, αὐτοῦ] ἔγνωσται τῷ θεῷ ὁ ἄνθρωπος, διὸ καὶ σώζεται τῇ αὐτοῦ χάριτι.

14. ἐξομολογήσομαι] Τῷ φόβῳ γὰρ τοῦ θεοῦ ὁ ἄνθρωπος κρατούμενος προσφέρει τὴν ἐξομολόγησιν.

θαυμάσια] Ἐκ γὰρ τῶν κτισμάτων ἀναλόγως ὁ γενεσιουργὸς γινώσκεται.[1] ὅθεν ὁ ἄνθρωπος καταπλαγεὶς τοῖς θαύμασιν ὑπετάγη.

15. οὐκ ἐκρύβη] Ὁ παρὰ τοῖς ἀνθρώποις μὲν κρύπτεται, παρὰ σοῦ δὲ γινώσκεται, ὁποῖα καὶ ποταπὰ καὶ πόσα τὸν ἀριθμόν εἰσι. ταῦτα δὲ ἔκειντο γυμνωθέντα τοῦ Ἀδάμ [ἐν τῷ ᾅδῃ].

καὶ ἡ ὑπόστασις] [Ἐν τοῖς κατωτάτοις γὰρ τῆς γῆς] τουτέστιν ἐν τῷ ᾅδῃ, ἐκεῖ, φησίν, ὁ ἄνθρωπος, ὃν ταῖς χερσὶν ἔπλασας ⟨χερσὶν μου ἔπλασα⟩, κρατεῖται καὶ δεῖ με ἐκεῖθεν αὐτὸν ἀναγαγεῖν, φησὶν ὁ κύριος.

16. τὸ ἀκατέργαστον] Καὶ ἃ μήπω ἐνεθυμήθην, προέγνως ὡς θεός, φησὶν ὁ ἄνθρωπος, καὶ τὰ μέλλοντα σὺ γνωρίζεις (αὐτὸς προέγνως).

καὶ ἐπὶ τὸ βιβλίον] Καὶ οἱ παρόντες καὶ οἱ μήπω γεννηθέντες (ἐννοηθέντες), πάντες παρὰ τῷ θεῷ καὶ γνωρίζονται καὶ ἀριθμοῦνται, καὶ αὐτοὶ καὶ τὰ ἔργα αὐτῶν.

ἡμέρας] Ἐν γὰρ τῇ ἡμέρᾳ τῆς ἀναστάσεως ἀνεπλάσθη ὁ ἄνθρωπος καὶ οὐδεὶς τῶν δαιμόνων ἀντέστη αὐτῷ· ἐν μιᾷ γὰρ ῥοπῇ ἀνεκαινίσθη τὰ πάντα καὶ οὐδεὶς ἦν ὁ ἀντιλέγων.

17. ἐμοὶ δέ] Ὧδε ἡ φωνὴ τοῦ προφήτου φησί· σφόδρα ἐμοὶ ἔντιμοί (ἐν τιμῇ) εἰσιν οἱ ἅγιοι, οὓς ἀγαπᾷς ὁ θεός. προέλεγε δὲ τοὺς ἀποστόλους.

λίαν] Αὐτοὶ γὰρ ἦρξαν τῆς οἰκουμένης, περὶ ὧν φησί· καταστήσεις αὐτοὺς ἄρχοντας ἐπὶ πᾶσαν τὴν γῆν. ἦρξαν γὰρ καὶ τῶν παθῶν καὶ διὰ τοῦτο φίλοι [θεοῦ] ἐγένοντο οἱ ἅγιοι πάντες.

18. ἐξαριθμήσομαι] Τίς γὰρ ἱκανὸς ἀπαριθμήσασθαι τοὺς ἁγίους πάντας; μόνῳ δὲ τῷ θεῷ ἔγνωσται [ὁ ἀριθμὸς αὐτῶν].

ἐξηγέρθην] Ὁ θεὸς λόγος μετὰ τοῦ ἀνθρώπου, ἀναστὰς γὰρ μετὰ τῆς σαρκὸς ἀνέστη· οὐ γὰρ εἶδε διαφθοράν.

---

[1] V. persequitur sic: ὁποῖα καὶ ποταπὰ καὶ πόσα τὸν ἀριθμόν εἰσι. ταῦτα δὲ ἔκειντο γυμνωθέντος τοῦ Ἀδάμ, sed haec infra sub 15 repetuntur.

19. ἐὰν ἀποκτείνῃς] Τουτέστιν ἀπόκτεινον τοὺς δαίμονας καὶ τότε τελέως ἐσώθη ὁ ἄνθρωπος.

ἄνδρες] Τουτέστιν ἀπόστητε τελείως ἀπὸ τοῦ ἀνθρώπου· ὑμεῖς γάρ ἐστε οἱ ἀπ' ἀρχῆς βλάπτοντες, φησὶ τοῖς δαίμοσιν ὁ Χριστός.

20. ὅτι ἐρεῖτε] Ἔριδι γὰρ καὶ διαλογισμοῖς πονηροῖς οἱ δαίμονες ἐξέκλιναν τὸν ἄνθρωπον.

λήψονται] Οὐχὶ τὰς αἰσθητὰς πόλεις, ἀλλὰ (καὶ) τὰς νοητάς, ἃς ᾠκοδόμησεν ἡ ἁμαρτία. ταύτας γάρ, ὡς βδελυκτάς, ἀπέρριψαν οἱ ἅγιοι.

21. οὐχὶ τοὺς μισοῦντας] Τοὺς ἀσεβεῖς λέγει, οἵτινες οὐκ ἔγνωσαν τὸν θεὸν οὐδὲ ἐσεβάσθησαν· τούτους ὡς μισητοὺς ἀπεκήρυξεν (ἀπέφηνεν) ὁ προφήτης.

καὶ ἐπὶ τοῖς ἐχθροῖς] Προεγίνωσκε γὰρ ὁ προφήτης, ὅτι οἱ Ἰουδαῖοι καὶ μῖσος καὶ ἔχθραν πρὸς τὸν Χριστὸν ποιήσουσιν. καὶ διὰ τοῦτο προανεφώνησεν αὐτῶν τὴν τόλμαν.

22. τέλειον] Ὁ Χριστὸς περὶ τοῦ λαοῦ τῶν Ἑβραίων λέγει· παντελῶς γὰρ αὐτοὺς ἀπεβάλετο.

εἰς ἐχθρούς] Ὁ Ἀδὰμ βοᾷ τῷ θεῷ· σὺ οἶδας, φησίν, ὅτι κἂν ἔπεσα (ἔπταισα), ἡ καρδία μου οὐκ ἀπέστη σου, τοῦ θεοῦ.

23. δοκίμασόν με] Ὁ πιστὸς ἄνθρωπος, σωθεὶς παρὰ θεοῦ ⟨πρὸς θεὸν⟩ βοᾷ καὶ λέγει· ἐρώτησόν με καὶ μάθε τὰς ὁδούς μου, εἰ καὶ μάλιστα γνωσταί εἰσι παρὰ σοῦ, ὅτι οὐκ ἐξέκλινα δεξιᾷ ἢ ἀριστερᾷ.

24. καὶ ἴδε] Οὐδὲν γὰρ παρὰ τὸν νόμον τὸν τῆς χάριτος πράττει ὁ πιστός· ἔστι δὲ πρὸς ἀλήθειαν ὁ Χριστός. ἀνομίαν γὰρ οὐκ ἐποίησεν, καθὼς γέγραπται· οὐδὲ εὑρέθη δόλος ἐν τῷ στόματι αὐτοῦ.

καὶ ὁδήγησον] Ὁ Χριστὸς ⟨θεὸς⟩ γάρ, σώσας τὸν ἄνθρωπον, αἰωνίως ἠλέησεν, εἰς οὐρανοὺς ἀναγαγὼν αὐτόν.

CXXXIX.

Εἰς τὸ τέλος· τῷ Δαυὶδ ψαλμός] Ὅλος ὁ ψαλμὸς εἰς τὸν Χριστὸν ἐλέχθη. Δαυὶδ δὲ ὡς ἐξ αὐτοῦ τὸ κατὰ σάρκα.

2. ἐξελοῦ με] Αἰνίττεται τὸν Ἰούδα [ἡ προφητεία, ὁ προφήτης] ἐκ προσώπου τοῦ Χριστοῦ [τοῦτο δὲ καὶ πᾶς πιστὸς ἀεὶ λέγειν ὀφείλει].

ἀπὸ ἀνδρός] Τὸν λαὸν τῶν Ἰουδαίων ὡς ἕνα ἄνθρωπον αἰνιττόμενος λέγει.[1]

3. οἵτινες ἐλογίσαντο] Λογισμὸν γὰρ ἄδικον ἐλογίσαντο οἱ Ἰουδαῖοι κατὰ τοῦ Χριστοῦ εἰπόντες· δήσωμεν τὸν δίκαιον, ὅτι δύσχρηστος (δυσάρεστος) ἡμῖν ἐστιν.

[1] V.: Ἐπειδὴ ἅπαντες οἱ Ἰουδαῖοι μίαν βουλὴν εἶχον, ἕνα ἄνθρωπον αἰνιττόμενος ἔτυχεν ὁ προφήτης.

ὅλην τὴν ἡμέραν] *Ἑκάστης γὰρ ἡμέρας παρετάσσοντο, βουλευόμενοι κατὰ τοῦ Χριστοῦ κακά.*

4. *ἠκόνησαν*] *Τὸν ἰὸν τίκτοντες κατὰ τοῦ Χριστοῦ διὰ τῆς γλώττης, ὡς ὄφεις.*

ἰός] *Θάνατον μελετῶντες κατὰ τοῦ Χριστοῦ· ἡ ἀσπὶς γὰρ δάκνουσα θανατοῖ.*

Διάψαλμα· μεταβολὴ τῆς προφητείας.

5. *φύλαξον*] *Τοῦ διαβόλου, νοητῶς (αἰσθητῶς) δὲ τὸν Ἰούδαν λέγει· εὔχεται γὰρ ὡς ἄνθρωπος, ἵνα βεβαιώσῃ τὴν σάρκα.*

ἀπὸ ἀνθρώπων] *Λέγει μὲν ἀπὸ γοήτων καὶ αἱρετικῶν καὶ κακοπίστων ῥυσθῆναι τὸν πιστόν, τὸ δὲ πᾶν περὶ τοῦ λαοῦ τῶν Ἰουδαίων καὶ τοῦ Χριστοῦ ὁ λόγος. αἰνίττεται δέ, ὅτι ἀδικίαν εἰργάσαντο κατὰ τοῦ Χριστοῦ, μᾶλλον δὲ καθ' ἑαυτῶν.*

οἵτινες] *Πολὺς γὰρ ἦν ὁ ζῆλος τῶν Ἰουδαίων κατὰ τοῦ Χριστοῦ καὶ ἐβουλεύοντο παγιδεύειν αὐτόν.*

6. *ἔκρυψαν*] *Ἐξ ὑπερηφανίας γὰρ ἦλθον πρὸς τὸν Ἰησοῦν (κύριον) λέγοντες· ἔξεστι δοῦναι κῆνσον καίσαρι ἢ οὔ; θέλοντες οἱ ἄσοφοι ⟨ὡς σοφοί⟩ ἐπιλαβέσθαι τῆς σοφίας.*

καὶ σχοινία] *Σχοινία λέγονται οἱ λόγοι, δι' ὧν ἤθελον, ὡς ἐδόκουν, παγιδεύειν [τὸν κύριον]· ἴσα γὰρ σχοινίοις (σχοινίων) καὶ οἱ λόγοι πλέκονται ὑπὸ τῶν ἀνθρώπων.*

ἐχόμενα] *Ἔσπευδον γὰρ οἱ Ἰουδαῖοι διαστρέφειν (διαστρέψαι) τὴν ὁδὸν τοῦ Χριστοῦ. ἔλεγον γάρ· εἰ ἦν οὗτος ὁ ἄνθρωπος ἐκ τοῦ θεοῦ, οὐκ ἂν ἔλυε τὸ σάββατον.*

Διάψαλμα· διαστολὴ τοῦ λόγου ἐφ' ἕτερον νόημα.

7. *εἶπα*] *Ὁ υἱὸς πρὸς τὸν πατέρα, ὅταν ἔλεγε· θεέ μου, θεέ μου, [ἵνα τί με ἐγκατέλιπες;].*

ἐνώτισαι] *Ὡς ἄνθρωπος εὔχεται ὁ Χριστός, ἵνα βεβαιώσῃ τὴν ἐνανθρώπησιν.*

8. *κύριε, κύριε*] *Νῦν ὁ ἄνθρωπος εὐχαριστεῖ τῷ θεῷ, δυναμωθεὶς τῇ σωτηρίᾳ τῇ παρὰ τοῦ Χριστοῦ δοθείσῃ αὐτῷ· ἔστι δὲ ὁ σταυρός.*

ἐπεσκίασας] *Ἡνίκα ὁ Χριστὸς ἐν τῷ ᾅδῃ ἐπολέμει τὸν διάβολον, τότε ἐφύλαττε τὴν κεφαλὴν τοῦ ἀνθρώπου ἄτρωτον.*

9. *μὴ παραδῷς με*] *Εἰ καὶ ἐγώ, φησὶν ὁ ἄνθρωπος, ἐν ἐπιθυμίᾳ γέγονα κακῶν, ἀλλὰ αὐτὸς μὴ παραδῷς με τῷ διαβόλῳ. πανταχοῦ γὰρ ἡ γραφὴ τὸν διάβολον ἁμαρτωλὸν καλεῖ.*

διελογίσατο] *Οἱ δαίμονες κατὰ τοῦ ἀνθρώπου λογισάμενοι κακά, ζηλοῦντες τῷ ἀνθρώπῳ· ὁμοίως οἱ Ἰουδαῖοι κατὰ τοῦ Χριστοῦ ἐλογίζοντο κακὰ διαφθονούμενοι.*

10. *ἡ κεφαλή*] *Εἰς κεφαλὴν γὰρ συνεπέθεντο κυριεύσαντες τοῦ ἀνθρώπου οἱ δαίμονες διὰ τῆς ἀπάτης.*

κόπος] *Ὃν ἐλογίσαντο οἱ δαί-*

μονες [διὰ τῆς ἀπάτης] κατὰ τοῦ ἀνθρώπου, ἐν αὐτῷ κατεπόθησαν.

11. πεσοῦνται] Τῷ πυρὶ γὰρ τοῦ φθόνου ἐρριπίσθησαν· ἐκδέχεται γὰρ αὐτοὺς ἡ γέεννα, τὸ πῦρ τὸ αἰώνιον. ὅταν γὰρ καταλάβῃ αὐτοὺς τὰ κακά, ὅσα ἐποίησαν τῷ ἀνθρώπῳ, τότε οὐ μὴ δύνωναι ὑποστῆναι.

12. ἀνὴρ γλωσσώδης] Ὁ διάβολος ὡς διαβάλλων (ἐνδιαβαλὼν) τὸν ἄνθρωπον, καὶ πάντες ὅσοι τοῦτον μιμοῦνται τῇ λοιδορίᾳ καὶ τῷ φθόνῳ.

ἄνδρα ἄδικον] Ὡς τὸν Ἰούδαν, ὡς τοὺς ἄρχοντας τῶν Ἰουδαίων· οὗτοι γὰρ ἄδικοι, ὡς θεῷ ἀνθιστάμενοι· τούτους δὲ πάντας κατέλαβε τὰ κακὰ αὐτῶν.

13. ἔγνων] Τοῦ Χριστοῦ, ὡς πτωχεύσαντος δι' ἡμᾶς (ἡμῶν), καὶ τῶν ἀποστόλων, ὡς πενίαν ἑκούσιον ἑλομένων (ἑλομένους).

14. πλὴν δίκαιοι] Αὐτοὶ γὰρ μόνοι [ὁσίως] ἐξομολογοῦνται ἐν ἀληθείᾳ.

καὶ κατοικήσουσιν] Οἱ εὐθεῖς τῇ καρδίᾳ· εἰσὶ δὲ οἱ ἀπόστολοι, ὡς καθαροὶ καὶ ἀμώμητοι τῇ πίστει.

CXL.

Ψαλμὸς τῷ Δαυίδ] Τῷ Χριστῷ ὁ προφήτης τὸν ψαλμὸν ἀνέθηκεν [χρὴ γινώσκειν, ὅτι ἡ ἑρμηνεία τοῦ ῥμ ψαλμοῦ καὶ τοῦ ῥμα καὶ τοῦ ῥμβ μέρος τι ἐκ τοῦ Εὐσεβίου τοῦ Παμφίλου].[1]

1. κύριε] Φωνὴ τοῦ προφήτου αὕτη ἐκ προσώπου τοῦ ἀνθρώπου τοῦ κατὰ θεόν.

πρόσσχες] Τουτέστιν μὴ παρέργως μου τὴν προσευχὴν δέξῃ, ἀλλὰ πρόσσχες, ὅτι ἀπὸ καρδίας σοι κράζω.

2. κατευθυνθήτω] Εὐωδιάζει γὰρ τῶν ἁγίων ἡ προσευχὴ ἐνώπιον τοῦ θεοῦ. οὕτω δὲ καὶ τοῦ Ἀδὰμ τὸν στεναγμὸν προσεδέξατο ὁ θεός.

ἔπαρσις] Ἐπῆρε γὰρ τὰς χεῖρας ὁ Χριστὸς ἐπὶ τοῦ σταυροῦ, θυσίαν ἑαυτὸν προσφέρων ἐπὶ συντελείᾳ τῶν αἰώνων, ὅ ἐστιν ἑσπέρα. τὴν συντέλειαν [γὰρ] λέγει ἑσπέραν.

3. θοῦ κύριε] Ἐπειδὴ μέγα οἶδε τὸ κατορθοῦν τῆς γλώσσης τὴν φυλακήν, τὸν θεὸν αἰτεῖται ταύτην (ταύτης) τὴν ἐγκράτειαν αὐτῷ χαρίσασθαι.

4. μὴ ἐκκλίνῃς] Τουτέστιν μὴ συγχωρήσῃς παραστῆναι (παρατραπῆναι)[2] *εἰς τὸ ἐναντίον τὴν ἅπαξ ἀσφαλῶς κατασκευασθεῖσάν μου καρδίαν, ἵνα μὴ νοῶ, φησίν, ἐννοίας παρανόμους.*

σὺν ἀνθρώποις] Πάλιν ἐπὶ τὸ πρακτικὸν μεταβαίνει.

---

[1] Quae uncis inclusa sunt, non nisi in V. leguntur.

[2] V. quae praecedunt sic habet: *Τουτέστιν μὴ συγχωρήσῃς, φησὶν ὁ θεός, ἐκκλῖναι τὴν καρδίαν μου εἰς ἃ μὴ δεῖ· ταῦτα δὲ ὁ Ἀδὰμ βοᾷ πρὸς κύριον, ἵνα κτλ.*

καὶ οὐ συνδοιάσω] *Οὐκ ἔσομαι, φησίν, ἅμα τούτοις, ἐὰν μὴ σύ, κύριε, φυλακὴν τῷ στόματί μου θείης.*

5. *παιδεύσει*] *Πᾶσαν μέν, φησίν, παιδείαν ἐδεξάμην τοῦ δικαίου, τὴν δὲ εὐλογίαν καὶ τὴν κολακείαν τῶν ἁμαρτωλῶν μὴ λάβοιμι, δι' ἧς* [*ὥσπερ*] *τὴν κεφαλήν μου καταχρίουσιν.*

ὅτι ἔτι] *Ἱκανὴ αὐτῶν τυγχάνει ἡ κακία, εἰ ἐγενόμην (γενοίμην) αὐτῶν κοινωνός, διασκορπίσαι μου τὴν προσευχὴν καὶ ἴσα (ἴσω) τῶν κακῶν αὐτῶν ἀπολαβεῖν.*

6. *κατεπόθησαν*] *Ἐγγὺς γάρ, φησί, πέτρας γινόμενοι καταποντισθήσονται. σημαίνει δέ, ὡς ἐπεισάκτους (ὑπεισάκτους, ἀδίκους) ὁ Χριστὸς κατακλείσει εἰς τὴν ἄβυσσον.*

ἀκούσονται] *Ἐκβάσει, φησί, τῆς προλεχθείσης κατ' αὐτῶν τιμωρίας πίστιν ἀληθείας καὶ εὐπρεπείας τὰ ἐμὰ λάβοιεν ῥήματα.*

7. *ὡσεὶ πάχος*] *Πάντα, φησί, τὰ γεώδη ἡμῶν διερρήξαμεν, ταπεινοῦντες ἑαυτοὺς διὰ σέ, οὕτως ὡς πᾶσαν δύναμιν ἡμῶν μέχρι ᾅδου κατενεχθῆναι. ὅμοιον δὲ τοῦτο τὸ (τῷ) ἕνεκέν σου θανατούμεθα ὅλην τὴν ἡμέραν.*

8—9. *ἀντὶ τοῦ μὴ ἐκχύσῃ ἐκκένωσις τῆς ἐλπίδος μου, ἧς ἔχω ἐπὶ σέ.*

10. *πεσοῦνται*] *Ἐμπέσοιεν, φησίν, εἰς τὰ ἑαυτῶν δίκτυα οἱ ἁμαρτωλοί.*

κατὰ μόνας] *Τότε, φησί, παροδεύσομαι ἀφόβως καὶ ἀμερίμνως, ὅταν οἱ ἁμαρτωλοὶ τοῖς ἑαυτῶν περιτραπῶσι δικτύοις.*[1]

---

[1] Ad v. 3 et qui sequuntur codex Venetianus atque Ambrosianus alium commentarium praebent, qui auctori Ambrosiani codicis magis placuit, quam textus Vindobonensis, quem spurium censuit.

3. *θοῦ κύριε*] *Παριστάμενος γὰρ ὁ Χριστὸς τῷ Πιλάτῳ ἐσιώπα, διὸ Ἡσαίας· καὶ ὡς ἀμνὸς ἐναντίον τοῦ κείροντος αὐτὸν ἄφωνος.*

4. — *πονηρίας*] *Τουτέστι* (ut supra).

— *ἁμαρτίαις*] *Ἵνα μὴ πρόφασιν κατ' ἐμοῦ εὑρίσκῃ ὁ διάβολος τὴν συγχώρησιν τοῦ θεοῦ.*

— *ἀνομίαν*] *Λέγει τὸν λαὸν τῶν Ἰουδαίων· αὐτοὶ γὰρ κατ' ἀλήθειαν τὴν ἀνομίαν εἰργάσαντο, κατὰ θεοῦ τὰς χεῖρας ἐπάραντες.*

— *ἐκλεκτῶν αὐτῶν*] *Τουτέστιν οὐ μὴ συνεδριάσω μετὰ των δοκούντων εἶναί τι, μὴ πορευομένων δὲ κατὰ θεόν.*

5. — *ἐλέγξει με*] *Παρὰ γὰρ δικαίου παιδεύεσθαι μέγα ἀγαθὸν καὶ σωτήριον, καθὼς λέγει ἡ γραφή· ἀξιοπιστότερα τραύματα φίλου ἢ ἑκούσια φιλήματα ἐχθροῦ.*

— *κεφαλήν μου*] *Οὔτε γὰρ ἐλεημοσύνην παρὰ ἀσεβοῦς δέχεται ὁ θεός, εἰ μὴ πίστις πάρεστιν.*

— *εὐδοκίαις αὐτῶν*] *Ἐν γὰρ ταῖς προσευχαῖς τῶν δικαίων εὐδοκεῖ καὶ ᾄδεται (ἴδεται) ὁ θεός, ὅτι ἐκ πίστεως γίνονται καὶ πόθῳ τῷ κατὰ θεόν.*

6. — *κριταὶ αὐτῶν*] *Ἐκεῖ γὰρ παρὰ τὴν πέτραν, ὅπου ὁ σταυρὸς ὠρθώθη, ἐκεῖ ἐποντίσθησαν οἱ ἄρχοντες Ἰουδαίων δι' ἀπιστίαν.*

— *ἠδυνήθησαν*] *Μαθόντες γὰρ τὰ ῥήματα τοῦ Χριστοῦ οἱ Ἰουδαῖοι, ὅτι ὠφέλιμα καὶ ζωῆς αἰωνίου πρόξενα, ἐκεῖνοι κατεπρίοντο τῷ θυμῷ.*

CXLI.

Συνέσεως ἐν τῷ σπηλαίῳ προσευχόμενον] *Προσευχὴ μέν ἐστι καὶ οὐδὲν ἕτερον τὰ προκείμενα, πλὴν ἀλλὰ δεῖται συνέσεως, ὅπως ἂν ἡμεῖς μάθωμεν, τίνα τρόπον ἐν περιστάσεσιν ὄντες* [*δυνάμεθα*] *περιφεύγειν τὰ πονηρά.*

2. *φωνῇ*] — —

3. *ἐκχεῶ*] *Τὸν περὶ αὐτῆς τῆς ψυχῆς ἀγωνιζόμενος δρόμον, ᾗ* ⟨*εἰ*⟩ *τὰς δεήσεις ἀναφέρω, θλίψεις διαδῦναι εὐχόμενος.*

4. *ἐν τῷ ἐκλείπειν*] — —

ἐν ὁδῷ] [*Ὁ προφήτης ταῦτα λέγει περὶ αὐτοῦ, ὅτι*] *ὡς οὐ δικαίως διώκομαι, ἐπίστασαι, φησί.*

5. *κατενόουν*] *Εἴ τις τὸν ἐν τῷ σπηλαίῳ λογίσαιτο τόπον, εὑρήσει προσηκόντως εἰρημένα* ⟨*τὰ ῥήματα*⟩, [*ἅπερ ὁ προφήτης ἔπαθε διωκόμενος ὑπὸ τοῦ Σαούλ*].

ἀπώλετο] *Οὐ γὰρ ἦν ἀποδιδράσκων ἐκ τοῦ σπηλαίου τῶν ἔμπροσθεν κατεχομένων ὑπὸ τοῦ Σαούλ.*

καὶ οὐκ ἔστιν] *Οὐδείς, φησί, τῆς ἐμῆς (ἐμοῦ) ψυχῆς τὴν σωτηρίαν ἐπιζητεῖ.*

6. *πρὸς σέ*] *Ἐπ' αὐτῷ δεῖ μόνῳ τὰς ἐλπίδας τῆς σωτηρίας ἔχειν.*

7. *πρόσσχες*] —

ῥῦσαί με] *Εἰ καὶ τὸν κλῆρον καὶ τὴν μερίδα ἀπονέμεις ἐν τῇ τῶν ζώντων γῇ, ἀλλὰ κἀνταῦθα τῶν ἐχθρῶν ἀπόφηναι κρείττονα.*

8. *ἐξάγαγε*] *Ταῦτα πάλιν ὡς πρὸς τὸν τοῦ σπηλαίου τόπον φησίν.*

τοῦ ἐξομολογήσασθαι] *Ἐπειδάν, φησί, ταύτης με τῆς θλίψεως καὶ τῆς εἱρκτῆς ἀπολύσειας, εὐχαριστηρίους* [*σοι*] *ἀναπέμψω ᾠδάς.*

ἐμὲ ὑπομενοῦσιν] *Ἐὰν ἐξαγάγῃς με, φησίν, ἐντεῦθεν, ἀμειψάμενός μου τὰς ἀγαθὰς πράξεις, καὶ οἱ λοιποὶ δίκαιοι, ἐμὲ ὑπόδειγμα πρὸ ὀφθαλμῶν ἔχοντες καὶ ἐκ τῶν κατ' ἐμὲ τὰ κατ' αὐτοὺς ἀποταμιευόμενοι, ἀποδώσουσί σοι τὰς αἰτίας καὶ σοὶ προσδραμοῦνται.*[1]

---

7. — *ἐπὶ τῆς γῆς*] *Ἡ λιπαρὰ γὰρ καὶ παχεῖα γῆ ἐν καιρῷ καύματος ῥήγνυται καὶ ποιεῖ χάσματα* [*ἡ γῆ*]· *ἡ γηΐνη πολιτεία ῥήγνυται καὶ σκορπίζεται ἀνατείλαντος τοῦ ἡλίου τῆς δικαιοσύνης. ἔστι δὲ ὁ Χριστός.*

— *τὸν ᾅδην*] *Ἐσκορπίσθησαν γὰρ τὰ ὀστᾶ Ἰουδαίων, τουτέστιν ἡ ἰσχὺς αὐτῶν παρὰ τὸν τάφον τὸν δεσποτικόν· ἐκεῖθεν γὰρ ἀναστὰς ἐσκόρπισεν τοὺς Ἰουδαίους.*

8. — *οἱ ὀφθαλμοί μου*] *Τουτέστιν τοῦ ἀνθρώπου· νόει δὲ τὸν Χριστόν.*

— *ψυχήν μου*] *Ὡς προσευχομένου τοῦ Χριστοῦ πρὸς τὸν πατέρα.*

9. — *συνεστήσαντό μοι*] *Περὶ Ἰουδαίων ὁ λόγος, ὅτι ὡς ἐδόκουν σκάνδαλα ἐπενόουν κατὰ τοῦ Χριστοῦ διαφθονούμενοι.*

10. — *ἁμαρτωλοί*] *Ὡς γὰρ ἐδόκουν ἀμφίβληστρον ἐκτείνειν τῷ Χριστῷ, ἐν αὐτῷ συνελήφθησαν οἱ Ἰουδαῖοι. ἔστι δὲ ὁ σταυρός, ὃν αὐτοὶ ἐτεκτόνευσαν* (*αὐτὸς ἐτεκτόνευε*).

— *παρέλθω*] *Μόνος γὰρ ὁ Χριστὸς ἐτέλεσε τὴν σωτηρίαν, καθὼς λέγει· ληνὸν ἐπάτησα μόνος καὶ οὐδεὶς τῶν ἐθνῶν* [*ἦν*] *μετ' ἐμοῦ.*

[1] Etiam huius psalmi commentarius in Ven. et Ambr. alius legitur, qui in Ambr. textui Vindobonensi praecedit atque sic habet:

CXLII.

Ψαλμὸς τῷ Δαυίδ, ὅτε αὐτὸν ὁ υἱὸς αὐτοῦ κατεδίωκεν] *Καὶ οὗτος ὅμοιον ἔχει τῷ πρὸ αὐτοῦ τὴν ὑπόθεσιν. εὔχεται γὰρ ἀπὸ τῶν διωκόντων ῥυσθῆναι, ὡς δὲ ὁ ἀπόστολος φησί, τυπικῶς* [*δὲ*] *ταῦτα συνέβη τοῖς ἀρχαιοτέροις, ἐγράφη δὲ πρὸς νουθεσίαν ἡμῶν. διδασκόμεθα τούνυν ἐν περιστάσεσιν ἐπὶ μόνον καταφεύγειν τὸν θεόν. ἰστέον δέ, ὡς ἀναφέρεται εἰς τὸ τῆς ἀνθρωπότητος πρόσωπον ἡ προσευχὴ ὑπὸ τοῦ πλεονεκτήσαντος σατανᾶ, οὗ καὶ ῥυσθῆναι εὔχεται διὰ τῆς παρουσίας τοῦ μονογενοῦς.*

1. κύριε] *Εἰσακουσθῆναι, φησίν, ἀξιῶ διὰ τῆς σῆς ἀληθείας* [*ὅμοιον δὲ ὡς εἰ λέγοι· σὺ ἐμοὶ ὑπήκοος τὸν μονογενῆ σου ἀπέστειλας, ὅς ἐστιν ἀλήθεια καὶ δικαιοσύνη*].

2. καὶ μὴ εἰσέλθῃς] *Πόθεν γὰρ ἔσται ὁ ἄνθρωπος καθαρὸς ἐνώπιον τοῦ θεοῦ, γεννητὸς ὀλιγόβιος;*

3. ὅτι κατεδίωξεν] *Ὁ διάβολος,*

Συνέσεως . . .] *Συνέσει γὰρ πολλῇ ὁ Χριστὸς ἔπραξε τὴν σωτηρίαν τοῦ ἀνθρώπου ἐν τῷ εἶναι αὐτὸν ἐν τῷ τάφῳ· αὐτὸς γάρ ἐστι τὸ σπήλαιον.*

2. — *ἐδεήθην*] *Ἐκ προσώπου τοῦ Ἀδὰμ ὁ Χριστὸς βοᾷ ἐν τῷ εἶναι αὐτὸν ἐν τῷ ᾅδῃ. τούτου γὰρ ἕνεκεν κατῆλθεν ὁ Χριστός.*

3. — *δέησίν μου*] *Ὁ Χριστὸς ἐκ προσώπου τοῦ Ἀδὰμ βοᾷ πρὸς τὸν πατέρα. διὰ τοῦτο γὰρ ἦλθεν ζητῆσαι καὶ σῶσαι τὸ ἀπολωλός.*

— *ἀπαγγελῶ*] *Ἔγνωσται μὲν τῷ θεῷ ἡ θλῖψις, ἣν παρέσχον τῷ Ἀδὰμ οἱ δαίμονες, ἀλλ' ὅμως κἀγὼ ἀπαγγελῶ μηκέτι φέρων.*

4. — *τὰς τρίβους μου*] *Σὺ γὰρ ὡς θεὸς ἔγνως, φησὶν ὁ Ἀδάμ, ὅτι οὐχ ἑκὼν ἔπεσα, οὐδὲ κατὰ γνώμην ὠλίσθησα, ἀλλὰ ἄκων, καὶ διὰ τοῦτο ἐκλείπει ἡ ψυχή μου τῇ προσδοκίᾳ τῇ σῇ.*

— *παγίδα μοι*] *Ἐγὼ γὰρ ἐπορευόμην ὡς ἄκακος, φησὶν ὁ Ἀδάμ, οἱ δὲ δαίμονες ἐπαγίδευσάν με δόλῳ καὶ ἔρρηξαν (ἔρριψαν).*

5. — *ἐπιγινώσκων με*] *Δεξιὰ γὴρ καὶ ἀριστερὰ κατενόουν, τίς ἐστιν ὁ σώζων καὶ οὐκ ἦν ὁ βοηθῶν, εἰ μὴ παρεγένου σὺ καὶ ἔσωσας ὡς θεός.*

— *ψυχήν μου*] *Ψυχὴν ἐζήτουν, φησὶν ὁ Ἀδάμ, καὶ οὐδὲ ταύτης ηὐπόρουν, εἰ μὴ ὁ θεὸς λόγος παραγενόμενος σπλαγχνισθεὶς ἔσωσέ με ἐκ τῆς πλάνης.*

6. — *ἐλπίς μου*] *Ἐπὶ σὲ γὰρ λοιπὸν τὸν θεόν μου κατέφυγα κράζων, φησὶν ὁ Ἀδὰμ ἐλπίζων.*

— *ζώντων*] *Κληρονομεῖν γὰρ τὸν παράδεισον πάλιν ἤλπιζεν ὁ Ἀδάμ.*

7. — *σφόδρα*] *Πρόσσχες, φησί, τῇ δεήσει μου, κύριε, ὅτι ἀπὸ πολλῆς θλίψεως καὶ ἀπὸ καρδίας κράζω, καὶ σπεῦσον τοῦ σῶσαί με· πολὺ γὰρ ἐταπείνωσέ με ἡ παρακοή.*

— *ὑπὲρ ἐμέ*] *Ἐκ τῶν δαιμόνων, φησίν, ἐζήτει ῥυσθῆναι ὁ ἄνθρωπος· οὗτοι γὰρ κατεδίωξαν καὶ κατεκράτησαν τὸν ἄνθρωπον διὰ τῆς πλάνης τῶν εἰδώλων.*

8. — *ψυχήν μου*] *Φυλακὴν λέγει τὸν ᾅδην· ἐκεῖ γὰρ κατακέκλειστο ὁ ἄνθρωπος χρόνῳ πολλῷ, ἐξήγαγε δὲ αὐτὸν ἐκεῖθεν ὁ Χριστός, ἡνίκα ἐγεύσατο θανάτου* [*τὸ τριήμερον*].

— *ὀνόματί σου*] *Ἡνίκα γὰρ ἐσώθη ὁ ἄνθρωπος καὶ μετέλαβε παρρησίας, θαρρῶν ἐξομολογεῖται.*

— *ἀνταποδῷς μου*] *Οὔπω γὰρ οἱ δίκαιοι κληρονομοῦσιν, ἕως ὁ πρωτόπλαστος ἄρξηται ἀπολαμβάνειν τὰς ἀμοιβάς, ἀλλὰ τῇ ἐλπίδι ὑπομένουσιν.*

ὡς ἄφρων, κατεδίωξε τὴν τοῦ κυρίου ψυχήν, νομίσας αὐτὸν ψιλὸν ἄνθρωπον εἶναι καὶ θνητόν.

Ἐταπείνωσεν] *Λέγει τὴν ταφὴν καὶ τὸν θάνατον* ⟨*τοῦ Χριστοῦ*⟩.

ἐκάθισέν με] *Λέγει, φησί, ὅτι ἐν τῷ μνήματι ἐτέθη ὁ Χριστός, ὡς οἱ νεκροὶ οἱ ἀπ' αἰῶνος κείμενοι.*

4. *καὶ ἠκηδίασεν*] *Ἐπήγγελλεν (ἐσήμανεν) ὁ προφήτης τὸν καιρόν, ἐν ᾧ εἶπεν ὁ κύριος· περίλυπός ἐστιν ἡ ψυχή μου ἕως θανάτου.*

ἐν ἐμοί] *Περὶ τοῦ καιροῦ λέγει, ὅτε εἶπεν ὁ κύριος· νῦν ἡ ψυχή μου τετάρακται.*

5. *ἐμνήσθην*] *Ὅταν, φησίν, ἐποίουν τὸν ἄνθρωπον, ἔγνων, φησὶν ὁ κύριος, ἐκ τότε, ὅτι δεῖ με δι' αὐτὸν παθεῖν.*

καὶ ἐμελέτησα] *Τῷ ἀνθρώπῳ λέγει ὁ θεός, τουτέστιν οὐδέν με ἔλαθε τῶν ἔργων σου· πάντα γὰρ ἐπίσταμαι ὡς θεός.*

ἐν ποιήμασιν] *Ὁ ἄνθρωπος φησί* [*πρὸς τὸν θεόν*]· *κατενόουν τὰ ἔργα σου τῇ μελέτῃ τοῦ νόμου καὶ κατεπληττόμην.*

6. *διεπέτασα*] *Πρὸς σέ, τουτέστι διὰ σέ, τὸν ἄνθρωπον, φησὶν ὁ Χριστός, ἥπλωσα τὰς χεῖράς μου ἐπὶ τοῦ σταυροῦ.*

ἡ ψυχή μου] [*Ὡς γὰρ κακοῦργος διὰ τὸν ἄνθρωπον ὑπέμενον, φησὶν ὁ κύριος, μὴ ἔχων ποιότητα ἀπὸ τῆς θλίψεως τῆς ἐπὶ τοῦ σταυροῦ*].

Διάψαλμα· ἀνοχὴ τῆς προφητείας εἰς ἕτερον νόημα.

7. *ταχύ*] *Ὡς ἄνθρωπος γὰρ* [*ἐπὶ τοῦ σταυροῦ*] *ἐκ προσώπου τοῦ Ἀδὰμ ἐβόα ὁ Χριστός.*

μὴ ἀποστρέψῃς] *Ἐπόνει γὰρ ὡς ἄνθρωπος, ἵνα δείξῃ, ὅτι ἀληθινὴν σάρκα ἐνεδύσατο ὁ Χριστός (κύριος).*

καὶ ὁμοιωθήσομαι] *Ὥσπερ γὰρ εἷς* [*ἐκ*] *τῶν νεκρῶν ἐτέθη ἐν μνήματι ὁ Χριστός· πᾶν γὰρ μνῆμα ὁ λάκκος ἐστίν.*

8. *ἀκουστόν*] *Σημαίνει (λέγει) τὴν ἀνάστασιν τοῦ κυρίου (Χριστοῦ)· ὄρθρου γὰρ ἐγένετο. ἐν ταύτῃ γὰρ τῇ ὥρᾳ ἀπέλαβεν ὁ ἄνθρωπος τὸ ἔλεος καὶ τὴν παρρησίαν.*

γνώρισόν μοι] *Τότε γὰρ ὑπεδείχθη τῷ ἀνθρώπῳ ἡ ὁδὸς τοῦ εὐαγγελίου, ἡ ἀληθινή, ἡ ἀπλανής. τότε· πότε; ὅταν ἀνέστη ὁ κύριος ἐκ νεκρῶν.*

ὅτι πρὸς σέ] *Οὔτε γὰρ ἔτι ἡ ψυχὴ τοῦ κυριακοῦ σώματος δύναται χωρισθῆναι, ἣν ἀνέλαβεν ὁ θεὸς λόγος.*

9. *ἐξελοῦ*] *Οὐκέτι γὰρ τοῦ ἀνθρώπου κατακυριεύουσιν οἱ δαίμονες, ἀφ' οὗ ὁ ἄνθρωπος ἡνώθη τῇ θεότητι.*

10. *δίδαξον*] *Ἔμαθε γὰρ ὁ ἄνθρωπος* [*διδαχθείς*], *ἀφ' ὧν ἔπαθε, πῶς δεῖ σέβειν τὸν θεὸν καὶ ποιεῖν τὸ αὐτοῦ θέλημα.*

τὸ πνεῦμά σου] *Τὸ πνεῦμα, δηλαδὴ τὸ παρὰ τοῦ πατρὸς καὶ*

τοῦ υἱοῦ διδόμενον, καθίσαν ἐπὶ τὰς κεφαλὰς τῶν ἀποστόλων, αὐτὸ ὡδήγησε τὸν ἄνθρωπον ἐπὶ τὴν γῆν τὴν ἀληθινήν.[1]

11. ἕνεκα] *Ἐν γὰρ τῷ ὀνόματι κυρίου ζῇ λοιπὸν ὁ ἄνθρωπος.*

ἐξάξεις] *Θλῖψις γὰρ ὁ παρὼν αἰὼν τοῖς δικαίοις, ἀνάπαυσις δὲ ὁ μέλλων.*

12. καὶ ἐν τῷ ἐλέει] *Τοὺς δαίμονας, τοὺς ἀπατήσαντάς με, φησὶν ὁ ἄνθρωπος, οἵ καὶ τὴν ἔχθραν μοι μεσιτεύσαντες.*

καὶ ἀπολεῖς] *Πάντας γὰρ τοὺς ἐχθροὺς τοῦ ἀνθρώπου [τοὺς αἰσθητοὺς καὶ τοὺς νοητούς], οἵτινές εἰσιν οἱ δαίμονες, σαρκωθεὶς ὁ θεὸς λόγος ἐξαπώλεσε καὶ δοῦλος θεοῦ ἐγένετο ὁ ἄνθρωπος.*[2]

CXLIII.

Τῷ Δαυὶδ πρὸς τὸν Γολιάθ] *Πρὸς τὸν Γολιάθ, ὅ ἐστιν ὁ διάβολος. Τῷ Δαυὶδ ἐν τῷ Χριστῷ ἡ προφητεία ἐλέχθη περὶ τῆς νίκης, ἧς ἐνίκησε τὸν διάβολον, περὶ ἧς αὐτὸς φησί· θαρσεῖτε, ἐγὼ νενίκηκα τὸν κόσμον.*

1. εὐλογητός] *Φωνὴ τοῦ προφήτου αὕτη εὐχαριστίας πλήρης.*

ὁ διδάσκων] *Οὔπω γὰρ ἦν δεδιδαγμένος πολεμεῖν ὁ Δαυίδ, ἡνίκα τὸν ἀλλόφυλον ἐθανάτωσεν, ἀλλ' ἦν ὑπὸ θεοῦ δυναμούμενος. νόει δὲ διὰ πάντων τὸν Χριστόν.*

τοὺς δακτύλους] *Διὰ γὰρ τῶν δακτύλων καὶ τῆς σφενδόνης ἐθανάτωσεν ὁ Δαυὶδ τὸν Γολιάθ· τύπος δὲ ἦν τοῦ Χριστοῦ τὸ τελούμενον.*

2. ἔλεός μου] *Νέος γὰρ ὢν κομιδῇ ὁ Δαυὶδ τὸν Γίγαντα ἐθανάτωσεν, ἐλέει θεοῦ δυνατωθεὶς καὶ ῥυσθεὶς ἀπὸ δυναστείας Γίγαντος. προεμήνυσε δὲ τὸν Χριστόν, ὅτι κατεπολέμησε τὸν διάβολον ἐν τῷ σταυρῷ.*

ὑπερασπιστής] *Ἐλπίδα γὰρ θεοῦ εἰδώς, ὅτι ὑπερασπίζει αὐτοῦ. ἔλεγε γὰρ τῷ ἐχθρῷ· σὺ μὲν ἔρχῃ ἐν*

---

[1] V.: *Τὸ πνεῦμα, τὸ ἐκ τοῦ πατρὸς ἐκπορευόμενον, τὸ σὺν πατρὶ καὶ υἱῷ συμπροσκυνούμενον καὶ συνδοξαζόμενον, καθίσαν ἐπὶ τὰς κεφαλὰς τῶν ἀποστόλων· αὐτὸ ὡδήγησε τὸν ἄνθρωπον ἐπὶ τὴν γῆν τὴν ἀληθινήν.*

[2] Huius psalmi initium tantum, duo priores versiculi, duplicem praebet commentarium in Ambr. (et Ven.):

Ἡ προφητεία περὶ τοῦ Χριστοῦ, ὅτε αὐτὸν οἱ Ἰουδαῖοι κατεδίωκον· περὶ ὧν υἱοὺς ἐγέννησα καὶ ὕψωσα, αὐτοὶ δέ με ἠθέτησαν.

1 — προσευχῆς μου] *Ὁ Χριστὸς ἐκ προσώπου τοῦ Ἀδάμ, ὡς ἄνθρωπος, προσεύχεται τῷ πατρί, ἵνα δείξῃ τῷ ἀνθρώπῳ δίχα εὐχῆς μηδὲν πράττειν.*

— ἀληθείᾳ σου] *Ἐπιμένει τῇ προσευχῇ τύπος γινόμενος τῷ ἀνθρώπῳ, ὅπως μέλλει ἐν ἀληθείᾳ καὶ καρδίᾳ προσεύχεσθαι.*

— δικαιοσύνη σου] *Δίκαιος γὰρ ὢν ὁ θεὸς δικαιοῦν τὸν Ἀδὰμ ἐπαγγέλλεται, διὸ κράζει· ἐπάκουσόν μου.*

2 — τοῦ δούλου σου] *Μὴ συνάρῃς, φησὶν ὁ ἄνθρωπος [τῷ θεῷ], μετ' ἐμοῦ κριθῆναι. οὐ γὰρ ἱκανεῖ (ἱκανὸς) ὁ ἄνθρωπος μετὰ θεοῦ δικάζεσθαι, ὁ κατάχρεος μετὰ τοῦ ἀχράντου.*

ῥομφαίᾳ καὶ ἅρματι, ἐγὼ δὲ ἐν ὀνόματι κυρίου.

ὁ ὑποτάσσων] Ἤδει γάρ, ὅτι βασιλεύσει τοῦ Ἰσραὴλ ὁ Δαυίδ, ὅ ἐστιν ὁ Χριστός, τοῦ πιστοῦ λαοῦ, τουτέστιν τοῦ Ἰσραήλ· εἶδος γὰρ θεοῦ Ἰσραὴλ ἑρμηνεύεται.

3. κύριε] Τουτέστιν τί ἐστιν ἄνθρωπος, ὅτι ἀνέλαβες αὐτόν, καὶ υἱὸν γηγενοῦς ὄντα ἐποίησας υἱὸν θεοῦ διὰ πολλὴν ἀγαθότητα;

4. ἄνθρωπος] Εἰ μὴ γάρ, ὡς θεὸς εὐπαθής (συμπαθής), ἔσωσας, ἐν πολλῇ ματαιότητι ἦν ὁ ἄνθρωπος.

αἱ ἡμέραι] Ὡς γὰρ σκιὰ νῦν ἐστι καὶ νῦν οὐκ ἔστι, ἀλλὰ ἀφανής ἐστιν, οὕτως ἐστὶ καὶ ὁ ἄνθρωπος.

5. κύριε, κλῖνον] Σημαίνει τὴν παρουσίαν τοῦ Χριστοῦ, ὅτι ἔμελλε κλίνειν τὸν οὐρανὸν καὶ καταβαίνειν διὰ τὸν ἄνθρωπον ἐπὶ τῆς γῆς.

ἅψαι] Τῶν δαιμόνων· αὐτοὺς γὰρ ἡ γραφὴ ὄρη καλεῖ, τουτέστιν ἅψαι τούτων τῇ ὀργῇ σου καὶ σκορπισθήσονται ὡς καπνός.

6. ἄστραψον] Τὴν ἀστραπὴν λέγει τῆς χάριτος· ἐκείνης γὰρ φανείσης οἱ δαίμονες ἐσκορπίσθησαν.

ἐξαπόστειλον] Λέγει τοὺς ἀποστόλους, οἵτινες (οὗτοι γὰρ) ὡς βέλη διαδραμόντες πᾶσαν τὴν οἰκουμένην συνετάραξαν ⟨αὐτήν⟩.

7. —] Λέγει τὸν Χριστόν, ὡς δεξιὰν τοῦ πατρός.

ἐξελοῦ με] Λέγει τὰ ῥεύματα τῆς ἁμαρτίας, ὡς πολλὰ καὶ πολλαχοῦ. ὕδατα δὲ αὐτὰ καλεῖ ὡς ἀνυπόστατα.

ἐκ χειρός] Ὡς διὰ χειρὸς τῶν δαιμόνων σκευασθεῖσα ἡ ἁμαρτία· αὐτοὶ γὰρ κατ' ἀλήθειαν υἱοὶ ἀλλότριοι.

8. ὧν τὸ στόμα] Τὸ τῶν Ἰουδαίων στόμα ἐλάλησε μάταια κατὰ Χριστοῦ, ὡς ὑπὸ τῶν δαιμόνων σκευασθέντα (κινηθέντα).

καὶ ἡ δεξιά] Κατὰ γὰρ θεοῦ αὐτὴν (αὐτοὺς) ἐξέτειναν.

9. ὁ θεός] Ὁ λαὸς ὁ ἐξ ἐθνῶν τὴν μυστικὴν ᾠδήν, ἣν οἱ πιστοὶ ᾄδουσιν.

ἐν ψαλτηρίῳ] Δεκάχορδον λέγει τοὺς δέκα λίθους τοῦ νόμου, οἷς ὡς χορδαῖς τουτέστιν τοῖς νεύροις ἱστουργεῖται τὸ πνευματικὸν ψαλτήριον τῶν πιστῶν.

10. τῷ διδόντι] Ὁ Χριστός· αὐτὸς γὰρ παρέχει κράτος καὶ νίκην τοῖς βασιλεῦσι τοῖς ἐπὶ γῆς.

τῷ λυτρουμένῳ] Ἐρρύσατο γὰρ αὐτὸν ὁ θεὸς ἀπὸ (ἐκ τῆς) ῥομφαίας τοῦ Γολιάθ· πονηρὰ γὰρ ὡς δυνατοῦ.

11. ῥῦσαί με] Περὶ τοῦ Χριστοῦ λέγει, ὅτι[1] οἱ Ἰουδαῖοι, ὡς ἀπαλλοτριωθέντες ἀπὸ τοῦ θεοῦ, ἠγονίζοντο κατὰ τοῦ κυρίου (Χριστοῦ) διαφθονούμενοι.

ὧν τὸ στόμα] Ὅταν κατὰ τοῦ Χριστοῦ οἱ Ἰουδαῖοι ἐμελέτων τὸν θάνατον.

---

[1] V. praemittit haec: *Λέγει περὶ τοῦ Δαυίδ, ἐκ χειρὸς τῶν ἀλλοφύλων. αἰνίττεται καὶ περὶ τοῦ Χριστοῦ, ὅτι κτλ.*

καὶ ἡ δεξιά] Αὐτῶν. τίνων; τῶν τὰ ἀργύρια δωσάντων, [ὡσαύτως] καὶ τῶν λαβόντων αὐτὰ καὶ συκοφαντησάντων τὴν ἀνάστασιν τοῦ Χριστοῦ ἀδίκως.

12. ὧν οἱ υἱοί] Λέγει τοὺς παῖδας τῶν Ἰουδαίων, οἵτινες ἐν τῷ νεωτερισμῷ αὐτῶν, τουτέστιν ἐν τῇ ἀνομίᾳ αὐτῶν φλεγμαίνονται (φλεγμαινόντων) αὐτῶν τῷ θυμῷ. λέγει δὲ καὶ τὴν εὐθηνίαν αὐτῶν.

αἱ θυγατέρες] Λέγει μὲν τὰς συναγωγὰς τῶν Ἰουδαίων, αἰνίττεται δὲ καὶ τὰ τέκνα αὐτῶν. ἐκοσμοῦντο γὰρ πρὸς ἀπάτην αὐτῶν. ἔχαιρον γὰρ ἀεὶ τῇ πορνείᾳ, ἦσαν δὲ ὡς ναὸς ἔρημος, (κεχασμημένος) μὴ ἔχων τὸν κατοικοῦντα.

13. τὰ ταμεῖα] Αἰνίττεται τὸν πλοῦτον τῶν ἀπαρχῶν, ἐν ᾧ ἐτρύφων ἀχαρίστως (ἀχαριστεύοντες) καθ' ἑκάστην. οὐ γὰρ ἐνόησαν, τίς ὁ παρέχων.

τὰ πρόβατα] Ἦσαν γὰρ ἐν εὐθηνίᾳ πολλῇ, ὡς θεοῦ λαός, ἀλλ' οὐ συνῆκαν. πρόβατα δὲ καλεῖ αὐτούς, διότι παρασυνεβλήθησαν τοῖς κτήνεσιν.

14. οἱ βόες] Οὔτε γὰρ ἠπόρει ἐν αὐτοῖς κτῆνος, ὡς βόες δὲ πίονες, τουτέστιν κεχορτασμένοι, ἀτάκτως σκιρτήσαντες, τὸν ζυγὸν τοῦ Χριστοῦ ἀπέρριψαν ἀφ' ἑαυτῶν.

οὐκ ἔστιν] Ἦσαν γὰρ πανταχόθεν ἠσφαλισμένοι τῷ νόμῳ καὶ οὐκ ἦν ἐν αὐτοῖς διέξοδος ἀπωλείας, ἀλλ' οὐκ ἐνέμειναν διὰ τὴν σκληροκαρδίαν αὐτῶν.

οὐδὲ κραυγή] Πανταχόθεν γὰρ ἦσαν εὐπορούμενοι (εὐπαθούμενοι) καὶ οὔτε οὐαὶ οὔτε κοπετὸς ἦν ἐν αὐτοῖς, ἀλλὰ πάντων (πάντοθεν) ὁμοῦ ἐξέπεσαν διὰ τὴν ἀνομίαν αὐτῶν.

15. ἐμακάρισαν] Παρὰ πάντων γὰρ τῶν ἐθνῶν ἐμακαρίζετο ὁ λαὸς τῶν Ἑβραίων, ὡς εὐθηνοῦντες, ἀλλ' ἦν αὐτοῖς ἀναίσθητος ἡ καρδία.

μακάριος] Ἠνίξατο ἡ προφητεία τὸν λαὸν τὸν πιστόν, τὸν ἐξ ἐθνῶν· οὗτος γὰρ ἐμμείνας τῷ θεῷ ⟨τῇ πίστει τοῦ θεοῦ⟩ ἐπλούτει χάριτι.

CXLIV.

Αἴνεσις (αἶνος ᾠδῆς) τοῦ Δαυίδ] Εὐχαριστία τῷ Χριστῷ, ὑπὸ τοῦ λαοῦ τοῦ ἐξ ἐθνῶν προσφερομένη, ἐφ' οἷς ἠλεήθησαν ὑπ' αὐτοῦ.

1. ὑψώσω σε] Ὁ λαὸς ὁ πιστὸς κράζει, διδαχθεὶς τὰ μεγαλεῖα τοῦ θεοῦ καὶ σωθεὶς ὑπὸ θεοῦ.

καὶ εὐλογήσω] Εὐλογοῦντες γὰρ οἱ πιστοὶ τὸν θεὸν οὐ παύονται.

2. καθ' ἑκάστην] Οὐ γὰρ ἡμέραν εὐλογοῦσιν [οἱ πιστοὶ] τὸν θεόν, ἀλλὰ καθ' ἑκάστην ἡμέραν.

καὶ αἰνέσω] Οὐ μόνον γὰρ εἰς τὸν νῦν αἰῶνα οἱ πιστοὶ αἰνοῦντες

τὸν θεὸν οὐ παύονται, ἀλλὰ καὶ ἐν τῷ μέλλοντι αἰῶνι.

3. μέγας] *Καὶ ἐν τῷ οὐρανῷ καὶ ἐν τῇ γῇ μέγας.*

καὶ τῆς μεγαλωσύνης] *Τίς γὰρ ἐξαριθμήσει μέγεθος θεοῦ ἢ τίς ἀρχὴν αὐτοῦ ἢ τέλος καταλάβῃ;*

4. γενεά] *Πάντες γὰρ οἱ ἀπὸ τοῦ αἰῶνος καὶ ἕως τοῦ αἰῶνος γεννώμενοι τὰ ἔργα τοῦ θεοῦ θαυμάζοντες οὐ παύονται.*

καὶ τὴν δύναμιν] *Ἀλλήλοις παραδιδόντες (μεταπαραδιδόντες) τῇ πίστει τὰ μεγαλεῖα τοῦ θεοῦ καὶ τὴν δόξαν αὐτοῦ.*

5. καὶ τὴν μεγαλοπρέπειαν] *Ὅσοι κατηξιώθησαν τῆς δόξης καὶ τῆς μεγαλοπρεπείας (ἀναστάσεως) τοῦ Χριστοῦ, λαλοῦντες τὰ μεγαλεῖα τοῦ θεοῦ οὐ παύονται.*

καὶ τὰ θαυμάσια] *Ἃ ἐποίησας διὰ τὸν ἄνθρωπον.*

6. καὶ τὴν δύναμιν] *Τῶν σημείων καὶ τῶν τεράτων, [ὧν] οἱ πιστοὶ ἠξιώθησαν· ταῦτα ὡς φοβερὰ καὶ ἔνδοξα μελετῶσιν ἀπαύστως, εἰσὶ δὲ οἱ ἀπόστολοι.*

καὶ τὴν μεγαλωσύνην] *Ὡς θεοῦ, δηλονότι.*

καὶ τὴν δυναστείαν] *Ἄδοντες καὶ ψάλλοντες αὐτὴν διὰ παντὸς οἱ δίκαιοι οὐ καταπαύσουσιν.*[1]

7. μνήμην] *Τίς γὰρ λήθῃ παραδοῦναι δύναται τῶν πιστῶν τὸ πλῆθος*[2] *τῆς χρηστότητος τοῦ θεοῦ, ἧς ἐποίησεν εἰς τὸν ἄνθρωπον;*

καὶ τῇ δικαιοσύνῃ] *Οἱ ἅγιοι τότε τῇ δικαιοσύνῃ τοῦ θεοῦ ἀγαλλιάσονται, ἀπολαμβάνοντες τὸν μισθόν.*[3]

8. οἰκτίρμων] *Ὁ προφήτης τῷ πνεύματι, προθεωρήσας τὰ ἐλέη [καὶ τοὺς οἰκτιρμοὺς] τοῦ θεοῦ δοξάζει τὸν θεόν.*

9. χρηστός] *Τοῖς ἁγίοις λέγει, οἵτινες τῇ ὑπομονῇ κατεκόσμησαν τοὺς ἑαυτῶν βίους.*

καὶ οἱ οἰκτιρμοί] *Ἐπὶ πᾶσαν τὴν κτίσιν πάντα, ὅσα ἐποίησε, τοῖς οἰκτιρμοῖς τοῦ θεοῦ σώζονται (σώζεται).*

10. ἐξομολογησάσθωσαν] *Λέγει τὸν ἄνθρωπον, ὡς ἔργον θεοῦ ὑπάρχοντα· χερσὶ γὰρ θεοῦ ἐπλάσθη ὁ ἄνθρωπος, ὥστε χρὴ ἐξομολογήσασθαι (ἐξομολογεῖσθαι) αὐτὸν τῷ θεῷ.*

καὶ οἱ ὅσιοι] *Οἱ ἀπόστολοι· πρὸς ἀλήθειαν ⟨γὰρ⟩ ὅσιοι.*

11. δόξαν] *Αὐτοὶ γὰρ ἐκήρυξαν τὴν δόξαν τοῦ θεοῦ καὶ τὴν βασιλείαν αὐτοῦ τῷ κόσμῳ.*

καὶ τὴν δυναστείαν] *Ἐδίδαξαν γὰρ οἱ ἀπόστολοι τὰ ἔθνη [τὴν δύναμιν τοῦ θεοῦ], βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄνομα τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος.*

---

[1] In versione slavica hic versiculus non occurrit.

[2] Codd. *τοῦ πλήθους.*

[3] V.: *Οἱ ἅγιοι τότε λαβόντες τὴν δικαιοσύνην τοῦ θεοῦ καὶ ἐλεηθέντες ἀγαλλιῶνται αἰωνίως.*

12. τοῦ γνωρίσαι] Τοῦ διδάξαι τοὺς υἱοὺς τῶν ἀνθρώπων τὸ μυστήριον τῆς ἐνανθρωπήσεως.

καὶ τὴν δόξαν] Οἱ ἀπόστολοι γὰρ τὴν δόξαν τῆς βασιλείας τοῦ Χριστοῦ ἐφανέρωσαν τοῖς ἔθνεσι.

13. ἡ βασιλεία] Ἡ γὰρ βασιλεία τοῦ Χριστοῦ (Θεοῦ) εἰς ἀτελευτήτους καὶ μηδέποτε λήγοντας αἰῶνας.

καὶ ἡ δεσποτεία] Καθ' ἑκάστην γὰρ γενεὰν τῶν προγεγονότων καὶ γινομένων (γεγενημένων) δεσπότης ὑπάρχει ὡς θεός.

14. πιστός] Ἀψευδὴς γὰρ ὁ θεὸς ἐν πᾶσι.

καὶ ὅσιος] Πάντα γὰρ [τὰ ἔργα] τοῦ κυρίου λαμπρὰ καὶ ἐπιφανῆ καὶ ἀνελλιπῆ, ὡς παρὰ θεοῦ γινόμενα ⟨ἀσφαλίζει ὁ θεὸς πάντας⟩· οὔτε γὰρ βούλεται θάνατον ἁμαρτωλῶν, ἀλλὰ τὴν μετάνοιαν, ὥσπερ καὶ τὸν λαὸν τὸν ἐξ ἐθνῶν ἀνέστησε ⟨καὶ κατορθοῖ πάντας⟩.

ὑποστηρίζει] Ὅσοι γὰρ τῇ ἀσεβείᾳ ἦσαν πεπτωκότες, τῇ πίστει ὠρθώθησαν ἐν τῇ παρουσίᾳ τοῦ Χριστοῦ (κυρίου).

15. οἱ ὀφθαλμοί] Εἴτε τῶν ἀνθρώπων εἴτε κτηνῶν· οἱ ὀφθαλμοὶ πάντων εἰς θεὸν ἀποβλέπουσι.

καὶ σὺ δίδως] Πᾶσι γὰρ ὁ θεὸς δίδωσι τροφὴν καὶ ζωὴν ἐν καιρῷ τῷ ἰδίῳ ἀφθόνως.

16. ἀνοίγεις] Ὅταν γὰρ ὁ θεὸς ἀνοίξῃ τὰ σπλάγχνα αὐτοῦ, ὅ ἐστιν χεὶρ κραταιά, πάντα τὰ κινούμενα ⟨κρατούμενα⟩ χορτάζονται (ἐμπίπλαται) τῆς ζωῆς.

17. δίκαιος] Πᾶσαι γὰρ αἱ ὁδοὶ κυρίου (τοῦ θεοῦ) ἔλεος καὶ ἀλήθεια καὶ δικαιοσύνη τοῖς ἐπιζητοῦσιν αὐτάς.

καὶ ὅσιος] Ὡς θεὸς ἄμεμπτος καὶ ἀναμάρτητος.

18. ἐγγύς] Πᾶς γάρ, ὃς ἂν ἐπικαλέσηται τὸ ὄνομα κυρίου, σωθήσεται.

πᾶσι] Οὔτε γὰρ τῶν ἐν ὑποκρίσει καὶ δόλῳ ἀκούει ὁ θεός, ἀλλὰ τῶν ἐν ἀληθινῇ καρδίᾳ.

19. θέλημα] Ἀεὶ γὰρ τοὺς φοβουμένους αὐτὸν ὁ θεὸς προσίεται καὶ πληροῖ αὐτῶν τὰ θελήματα.

καὶ τῆς δεήσεως] Τῶν ἁγίων, οὓς (ὧν) αὐτὸς ἀγαπᾷ, δέχεται τὰς δεήσεις καὶ σώζει ἀπὸ παντὸς κακοῦ.

20. φυλάσσει] Ὅσοι γὰρ ἀγαπῶσι τὸν θεόν, ἀγαπῶνται ὑπ' αὐτοῦ καὶ αὐτὸς φυλάσσει αὐτοὺς ἀπὸ παντὸς κακοῦ.

καὶ πάντας τοὺς ἁμαρτωλούς] Τοὺς δαίμονας καὶ πάντας τοὺς ποιοῦντας τὰ ἄτοπα· οὗτοι γὰρ οὐ μενοῦσιν.

21. αἴνεσιν] Τὸ τῶν δικαίων στόμα δῆλον τῶν [ἀεὶ] ὑμνούντων [αὐτὸν] ἐν ἀληθείᾳ.

καὶ εὐλογείτω] Ἐπὶ πᾶσιν γάρ, οἷς ἐποίησε τῷ γένει τῶν ἀνθρώπων, δοὺς (διδοὺς) πνοὴν καὶ ζωὴν

πᾶσι καὶ ἀνατροφήν, σπουδῇ, φησί, πάντες εὐλογείτωσαν τὸν θεόν, ὡς ποιητὴν καὶ βασιλέα πάντων.

εἰς τὸν αἰῶνα] Ἐν τούτῳ δηλαδὴ τῷ αἰῶνι καὶ ἐν τῷ μέλλοντι [αἰῶνι].

CXLV.

Ἀλληλούια· Ἀγγαίου καὶ Ζαχαρίου] Αἶνος ἅγιος τῆς ἑορτῆς τοῦ πάσχα, τῆς δόξης τῆς ἀκαταλύτου. Ἀγγαῖος γὰρ ἑρμηνεύεται ἑορτή, Ζαχαρίας δὲ μνήμη, Ἰαὼ δέ ἐστιν ἀκατάλυτον. διὰ τοῦτο ὁ προφήτης τοῦτον ἐλάλησε τὸν ψαλμόν.

1. αἴνει] Παρακελεύεται τῇ ψυχῇ ἑνότητα τριάδος ὁμολογεῖν ἐν τῇ ζωῇ αὐτῆς.

2. ψαλῶ τῷ θεῷ] Τουτέστιν ἕως εἰμὶ ἐν τῷ σώματι, οὐ καταπαύσομαι τοῦ ψάλλειν. οὕτως γὰρ οἱ πιστοὶ ποιοῦσιν.

3. μὴ πεποίθατε] Τὸ γὰρ ἐπὶ ἄνθρωπον ἐλπίζειν μάταιον καὶ ἐπιβλαβὲς καὶ ἀνάσφαλον· οὐκ ἔστι γὰρ ἐν τῷ ἀνθρώπῳ σωτηρίαν παρασχεῖν (σωτηρία, ἣν παράσχῃ), θνητὸς ὤν (γάρ).

4. ἐξελεύσεται] Ἔστι γὰρ ὁ ἄνθρωπος ὑπὸ ἐξουσίαν ⟨ἀγαθότητα⟩, ὅταν δὲ λάβῃ ὁ δεδωκὼς τὸ πνεῦμα τῷ ἀνθρώπῳ ἀπ' αὐτοῦ, ὁ πηλὸς πρὸς τὸ συγγενὲς ἀπέρχεται, καθὼς εἶπε· γῆ εἶ καὶ εἰς γῆν ἀπελεύσῃ.

ἐν ἐκείνῃ τῇ ἡμέρᾳ] Ἐν ἐκείνῃ γὰρ τῇ ἡμέρᾳ, ἐν ᾗ χωρίζεται ἡ ψυχὴ τοῦ σώματος, πᾶσα ἐνθύμησις τοῦ ἀνθρώπου πέπαυται καὶ οὐ μέμνηται λοιπὸν οὔτε οἴκου οὔτε συγγενείας. νόει δὲ καὶ τὴν ἡμέραν τῆς κρίσεως.

5. μακάριος] Ἀληθῶς μακάριος ἄνθρωπος ἐκεῖνος, οὗ ὁ Χριστὸς ἀντιλαμβάνεται τότε· Ἰακὼβ γὰρ νοεῖται ὁ Χριστός.

ἡ ἐλπίς] Οἱ γὰρ ἐλπίζοντες ἐπὶ κύριον, τούτων ἡ ζωὴ ἀσφαλὴς καὶ ἀψευδής.

6. τὸν ποιήσαντα] Τούτου γὰρ ἡ ἰσχὺς μεγάλη· τούτου ἡ σοφία ἀνεξερεύνητος· τούτου ἡ βοήθεια ἀσφαλής, ἀψευδὴς ὡς θεοῦ.

τὴν θάλασσαν] Τούτου γὰρ ὁ λόγος βέβαιος καὶ ἡ ῥῆσις διαμένουσα καὶ ἐπαγγελία ἀψευδής· θεοῦ γὰρ πᾶς ὁ λόγος ἀλήθεια καὶ δικαιοσύνη.

7. ποιοῦντα] Ὁ θεὸς γὰρ ἀληθὴς καὶ δίκαιος κριτὴς οὐ παροράᾳ τοὺς ἀδικουμένους.

διδόντα] Καὶ τὴν αἰσθητὴν τροφὴν παρέχει ὡς θεὸς καὶ τὴν νοητήν, ὅ ἐστι τὰ μυστήρια τῶν πιστῶν, τὸ σῶμα καὶ τὸ αἷμα αὐτοῦ [τὸ τίμιον].

κύριος λύει] Τοὺς πεπεδημένους λέγει τῇ ἁμαρτίᾳ.

8. κύριος ἀνορθοῖ] Οὓς ἔρρηξεν ἡ ἁμαρτία καὶ ἡ ἀπιστία, τούτους ἀνέστησε διὰ τῆς πίστεως (τῇ πίστει).

κύριος σοφοῖ] *Τυφλὰ γὰρ ἦσαν τὰ ἔθνη [τότε], μὴ γνόντα τὸν θεόν, ἐφωτίσθησαν δὲ τῇ σοφίᾳ τοῦ ἁγίου πνεύματος.*

κύριος ἀγαπᾷ] *Λέγει τοὺς ἀποστόλους· αὐτοὶ γὰρ πρὸς ἀλήθειαν δίκαιοι. καὶ πάντας τοὺς ἐργαζομένους τὴν δικαιοσύνην.*

9. *κύριος φυλάσσει*] *Τὰ ἔθνη τὰ πιστεύσαντα· ταῦτα (οὗτοι) γὰρ προσεληλύθασι τῷ θεῷ καὶ φυλάσσονται [ὑπ' αὐτοῦ] τῇ πίστει.*

ὀρφανόν] *Τοὺς γὰρ ἀπορφανισθέντας ἀπὸ θεοῦ, ὅ ἐστι τὰ ἔθνη, τούτους προσελάβετο [τῇ χάριτι] καὶ τὴν ἐκκλησίαν χηρεύουσαν ἀπὸ θεοῦ (Χριστοῦ) ἐνυμφεύσατο τῇ χάριτι.*

καὶ ὁδόν] *Τῶν δαιμόνων· οὗτοι γὰρ ἁμαρτωλοί. σωθέντων δὲ τῶν ἐθνῶν, οὗτοι ἠφανίσθησαν· αὐτοὶ γὰρ ἐφάνταζον τὰ ἔθνη.*

10. *βασιλεύσει*] *Ἐβασίλευσε γὰρ (μὲν) πρὸ τῶν αἰώνων· ἐβασίλευσε δὲ καὶ τῇ σαρκὶ αἰωνίως.*

ὁ θεός σου] *Τὸ πνεῦμα τὸ ἅγιον εὐαγγελίζεται τὴν ἐκκλησίαν.*

CXLVI.

Ἀλληλούια· Ἀγγαίου καὶ Ζαχαρίου] *Ὕμνος ἀγγελικὸς ἑορτῆς ἁγίας καὶ μνήμης δόξης ἁγίας. Ἀγγαῖος γὰρ ἑρμηνεύεται ἑορτή, Ζαχαρίας δὲ μνήμη.*

1. *αἰνεῖτε*] *Ἕνα αἰνεῖτε (νοεῖτε) τὸν θεὸν τὴν τριάδα· ἀγαθὸν γὰρ τὸ οὕτως νοεῖν καὶ ψάλλειν.*

τῷ θεῷ] *Ἥδεται γὰρ ὁ θεὸς ἐπὶ τοῖς νοοῦσιν οὕτως ἕνα θεὸν τὴν τριάδα (τῇ τριάδι).*

2. *οἰκοδομῶν*] *Τὴν ἐκκλησίαν λέγει· ἡτοίμαζε γὰρ αὐτὴν [πρὸ αἰῶνος] τῷ λαῷ τῷ πιστῷ. καὶ διδάξει σε τὰ ἑπόμενα τοῦ ψαλμοῦ.*

καὶ τὰς διασποράς] *Διεσκορπισμένον γὰρ τὸν λαὸν τῶν ἐθνῶν συνῆξε ἐν τῇ ἐκκλησίᾳ.*

3. *ὁ ἰώμενος*] *Ἥδεται γὰρ ὁ θεὸς τοῖς ταπεινοῖς τῇ καρδίᾳ καὶ τούτους ἰᾶται τῇ χάριτι.*

καὶ δεσμεύων] *Ὅσα γὰρ συνέτριψε ὁ διάβολος τῇ ἁμαρτίᾳ τῶν ἀνθρώπων, ταῦτα κατέδησε καὶ ἔσφιγξε διὰ τοῦ βαπτίσματος ὁ Χριστός.*

4. *ὁ ἀριθμῶν*] *Καὶ γὰρ τὰ αἰσθητὰ ἄστρα ἠρίθμηνται παρ' αὐτῷ, πλὴν νόει τοὺς ἁγίους, οἵτινές εἰσιν ὡς φωστῆρες ἐν κόσμῳ· ἀριθμῷ γὰρ τούτους ἔχει ὁ θεός.*

παὶ πᾶσιν] *Πάντας γὰρ τοὺς ἁγίους ἐπ' ὀνόματι καλεῖ [ὁ θεός].*

5. *μέγας*] *Ὡς τοιαῦτα καὶ τοσαῦτα [καὶ τηλικαῦτα] κατασκευάσας θαυμάσια ἀληθῶς μέγας.*

καὶ τῆς συνέσεως] *Τίς γὰρ σύνεσιν ἢ (καὶ) νοῦν ἐξαριθμήσει θεοῦ ἢ ἐνθυμήσεται ὅλως.*

6. *ἀναλαμβάνων*] *Περὶ τῶν ἀποστόλων ὁ λόγος· αὐτοὺς γὰρ ἐξελέξατο ὁ κύριος.*

ταπεινῶν] *Ὅσοι τῇ διδαχῇ τῶν ἀποστόλων ἠπείθησαν, οὗτοι εἰς τὸ γήϊνον φρόνημα ἐταπεινώθησαν.*

7. *ἐξάρξατε*] *Ἄρξασθε τουτέστιν ἐξομολογεῖσθε.*[1]

ψάλατε] *Τουτέστιν ἀπὸ καρδίας ψάλλετε (ψάλατε)· κιθάρα γὰρ ἡ καρδία, ὡς ἐκεῖθεν τοὺς φθόγγους τὸ στόμα δεχόμενον.*

8. *τῷ περιβάλλοντι*] *Τὸν Χριστὸν οἱ ἀπόστολοι περιέχοντες, τὸν ὑετὸν βαστάζοντες τῶν χαρισμάτων.*

τῷ ἑτοιμάζοντι] *Ὡς γὰρ ὑετὸς τὴν γῆν πιαίνει, οὕτως ἡ χάρις διὰ τῶν ἀποστόλων ἐπίαινε τὸν ἄνθρωπον· γῆ γὰρ ἄνθρωπος.*

τῷ ἐξανατέλλοντι] *Ἐν γὰρ τοῖς προφήταις, ὡς ἐν ὄρεσι χόρτον, τὰς σκιὰς τοῦ μυστηρίου ἀνέτειλεν, ἐν αἷς ὁ ἄνθρωπος τῇ ἐλπίδι καὶ τῇ προσδοκίᾳ τῶν μελλόντων ἐτρέφετο.*

καὶ χλόην] *Δοῦλα γὰρ τῷ ἀνθρώπῳ τὰ κτήνη· δίδωσι δὲ ὁ θεὸς καὶ τούτοις τὴν τροφήν. λέγει δὲ χλόην τὸ βάπτισμα καὶ δοῦλον τὸν ἄνθρωπον.*

9. *καὶ διδόντι*] *Ὡς γὰρ κτήνη ἦσαν οἱ ἄνθρωποι, μήπω ἔχοντες τὴν σφραγῖδα τοῦ Χριστοῦ· πιστεύσασι δὲ ἔδωκεν αὐτοῖς τροφὴν τὸ σῶμα καὶ τὸ αἷμα.*

καὶ τοῖς νοσσοῖς] *Οἱ γὰρ πατέρες τῶν πιστευσάντων ἐθνῶν ὑπαροὶ τῇ ἀσεβείᾳ ἐτύγχανον· ἀκάθαρτον γὰρ ὁ νόμος καλεῖ τὸν κόρακα· τροφὴν δὲ ἔδωκεν τούτοις ἑαυτὸν ὁ Χριστός.*

10. *οὐκ ἐν τῇ δυναστείᾳ*] *Εὔδρομον γὰρ τὸ ζῶον, ἀλλὰ γέγραπται· οὐδὲ τοῦ θέλοντος οὐδὲ τοῦ τρέχοντος.*[2]

οὐδὲ ἐν ταῖς κνήμαις] *Οὔτε γὰρ δυναστεία σώματος οὔτε [ἡ] ἰσχὺς ποιεῖ τὸ θέλημα τοῦ θεοῦ, ἀλλὰ ταπεινὴ καρδία.*

11. *εὐδοκεῖ*] *Μόνοι γὰρ οἱ ἅγιοι δυνατοὶ παρὰ τῷ θεῷ· αὐτοὶ γὰρ πρὸς ἀλήθειαν τῷ θεῷ δουλεύουσι (τῷ φόβῳ τοῦ θεοῦ δουλεύουσι).*

καὶ ἐν πᾶσιν] *Αὐτοὺς γὰρ μόνους ὁρίζεται φίλους ὁ θεός.*[3]

CXLVII.

Ἀλληλούια· Ἀγγαίου καὶ Ζαχαρίου] *Δόξης ἀκαταλύτου μνήμη· ὁ γὰρ Ζαχαρίας μνήμη ἑρμηνεύεται, τὸ δὲ Ἰαὼ δόξα ἀκατάλυτος ⟨καὶ ὁ Ἀγγαῖος δόξα ἀκατάλυτος⟩.*

1. *ἐπαίνει*] *Λέγει τὴν Ἰερουσαλὴμ ὁ κύριος καὶ τὴν Σιὼν αἰνεῖν καὶ δοξάζειν τὸν κύριον διὰ τὰ μυστήρια τὰ πραχθέντα ἐν αὐταῖς. νόει δὲ τὴν ἐκκλησίαν· καὶ Ἰε-*

---

[1] V.: *Οὐκ ἔστιν ἁμαρτία νικήσασα . . . τοῦ κυρίου, διὸ λέγει· ἐξάρξατε, τουτέστιν ἐξομολογεῖσθε.* Haec non nisi in V. leguntur, in Ven. et A. absunt.

[2] V. haec verba praemittit, quae non plane legi possunt: *Ἵππος ἑτοιμάζεται εἰς ἡμέραν . . . δε κυρίου ἡ βοήθεια. εὔδρομον κτλ.*

[3] V. incipit sic: *Οἱ γὰρ ἅγιοι μόνοι ἔχουσι τὴν ἐλπίδα ἐπὶ κύριον ἀεί. αὐτοὺς γὰρ κτλ.*

ρουσαλὴμ [γὰρ] καὶ Σιὼν αὕτη ἐστίν.

2. ὅτι ἐνίσχυσεν] Ἐνίσχυσε γὰρ αὐτούς, μὴ σαλεύσας αὐτούς, ἀλλὰ κεκλεισμένων τῶν θυρῶν εἰσελθὼν ἐν αὐτῇ, ἵνα δείξῃ τὸ ἀκραιφνὲς τῆς θεότητος.

εὐλόγησεν] Τοὺς ἀποστόλους [λέγει], εἰπὼν αὐτοῖς· εἰρήνη ὑμῖν.

3. ὁ τιθείς] Ὅρους γὰρ εἰρήνης ἀπέθετο ὁ θεὸς ἐν τῇ Σιών, εἰπὼν τοῖς ἀποστόλοις· εἰρήνη ὑμῖν. νόει δὲ τὴν ἐκκλησίαν, ἐν ᾗ εἰρήνη καθ' ἑκάστην προσφωνεῖται (καθεκάστην γὰρ ἐν εἰρήνῃ προσφωνεῖται).

καὶ στέαρ] Λέγει τὸν ἄρτον τὸν μυστικόν.

4. ὁ ἀποστέλλων] Λέγει τὸν Χριστόν, ἐλθόντα ἐπὶ τῆς γῆς. λέγει δὲ καὶ τὸ εὐαγγέλιον, τὸ ἀποσταλὲν διὰ τῶν ἀποστόλων πάσῃ τῇ γῇ.

ἕως τάχους] Ἐν τάχει γὰρ διέδραμε ὁ λόγος τοῦ εὐαγγελίου διὰ πᾶσαν τὴν γῆν.

5. τοῦ διδόντος] Τὸν λευκασμὸν λέγει τοῦ βαπτίσματος καὶ τὸν λόγον τοῦ εὐαγγελίου, ὅτι ἐν πολλῇ ἡσυχίᾳ καὶ κατὰ πλάτος ἐπλήρωσε τὴν γῆν.

ὁμίχλην] Ἐν τῇ νεφέλῃ (ὁμίχλῃ) ὁρᾶν οὐκ ἔστιν, τὸ σκότος γὰρ ἀποτελεῖ. λέγει δὲ τὸ δυσθεώρητον καὶ ἀκατάληπτον μυστήριον τῆς σαρκώσεως αὐτοῦ.

6. βάλλοντος] Πηγνυμένων γὰρ τῶν ὑδάτων δίκην ἄρτων ἀποτελοῦνται. αἰνίττεται δὲ τὸν μυστικὸν ἄρτον, τὸν διὰ τοῦ βαπτίσματος πηγνύμενον καὶ στερροποιούμενον.

κατὰ πρόσωπον] Ψῦχος λέγει τὸ ὀξὺ καὶ στυπτικὸν τῶν ἀρετῶν· δυσφόρως γὰρ οἱ ἄφρονες (ἅγιοι, εὔφρονες) ὑποφέρουσι τὰς ἀρετάς.

7. ἀποστελεῖ] Ἐλθὼν γὰρ ὁ Χριστός, ὅ ἐστιν ὁ λόγος, ἀπὸ τοῦ πατρὸς ἀποσταλείς, ἔτηξε τὸ δυσχερὲς καὶ ἀπεσκληρυμμένον τοῦ γράμματος.

πνεύσει] Θερμαινόμενον γὰρ τὸ γράμμα τὸ περὶ τοῦ πνεύματος, τὸ ὑδαρὲς καὶ ἀνυπόστατον τοῦ γράμματος ἐκρυΐσκεται.

8. ἀπαγγέλλων] Τὸν εὐαγγελικὸν λόγον τῷ νοητῷ Ἰακώβ. Ἰακὼβ γάρ ἐστιν ὁ πιστὸς λαός.

δικαιώματα] Τῷ νοητῷ Ἰσραήλ, ὅ ἐστι τὰ μυστικὰ δικαιώματα.

9. οὐκ ἐποίησεν] Ὡς τῷ πιστῷ λαῷ τῷ ἐξ ἐθνῶν· οὐ γὰρ ἐδιδάχθησαν τὰ ἔθνη, οἷον ὁ πιστὸς λαὸς παρέλαβεν.

CXLVIII.

Ἀλληλούια· Ἀγγαίου καὶ Ζαχαρίου] Ἀγγαῖος γὰρ καὶ Ζαχαρίας ἐκληρώθησαν τὸν ὕμνον τοῦτον ψάλλειν τότε.

1. Αἰνεῖτε] Τὰς τῶν οὐρανῶν δυνάμεις τὸ πνεῦμα τὸ ἅγιον παρακελεύεται ὑμνεῖν τὴν ἑνότητα μίαν τῆς τριάδος.

αἰνεῖτε] *Τὰ τάγματα, [φησί], τῶν οὐρανῶν, καὶ αὐτὰ ἐν ἑνότητι μιᾷ (ἑνότητα μίαν) τῆς τριάδος κηρυττέτωσαν (κηρύττουσιν).*

2. *αἰνεῖτε*] *Καὶ αὐτοὶ γὰρ ἕνα θεὸν τὴν τριάδα ὀνομάζουσιν.*

αἰνεῖτε] *Λέγει τὰς ἐν οὐρανοῖς δυνάμεις· καὶ αὗται γὰρ μίαν δύναμιν τὴν τριάδα δοξάζουσιν.*

3. *αἰνεῖτε*] *Καὶ αὐτὰ γὰρ τῷ δρόμῳ τὸν αἶνον ἀποτελοῦσιν.*

αἰνεῖτε] *Τῇ διακονίᾳ γὰρ καὶ αὐτὰ αἴνεσιν τῇ τριάδι προσφέρουσι.*

4. *αἰνεῖτε*] *Λέγει*[1] *τοὺς οὐρανοὺς αὐτοὺς καὶ τὰς δυνάμεις, τὰς ἐν αὐτοῖς τῆς τριάδος τὴν ἑνότητα δοξάζοντας.*

καὶ τὸ ὕδωρ] *Εἰσὶ μὲν καὶ αἰσθητὰ ὕδατα καθαρά· νόει δὲ καὶ τὰς πηγὰς τῶν χαρισμάτων τοῦ Χριστοῦ.*

5. *αἰνεσάτωσαν — ἐγενήθησαν*] *Λόγῳ τουτέστι ἐγενήθησαν.*[2]

αὐτὸς ἐνετείλατο] *Ἠθέλησε γὰρ καὶ ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι παρήχθησαν.*

6. *ἔστησεν*] *Αὐτά. τίνα; τὰ χαρίσματα ὁ Χριστὸς ἔστησε καὶ εἰς τὸν παρόντα καὶ εἰς τὸν μέλλοντα αἰῶνα.*

πρόσταγμα] *Λόγον γὰρ θεοῦ παραβῆναι οὐ δύνανται.*

7. *αἰνεῖτε*] *Καὶ γὰρ ἡ γῆ καὶ πάντα τὰ ἐν αὐτῇ ἑνότητα θεοῦ καὶ νοοῦσι καὶ προσκυνοῦσι.*

δράκοντες] *Οὔτε γὰρ οἱ ἄβυσσοι, ὡς ἀκατάληπτοι, οὔτε οἱ δράκοντες οἱ μεγάλοι, καὶ αὐτοὶ ὡς ἀθεώρητοι, ἀλλὰ γὰρ (ὅμως) τῷ θεῷ ὑπετάγησαν τῷ φόβῳ.*

8. *πῦρ, χάλαζα*] *Πέντε γὰρ ἔργα εἰσὶ τοῦ θεοῦ· ταῦτα ἰσοδύναμα καὶ ἴσα τῇ ἐνεργείᾳ, ἐν τάχει (ἐνταῦθα) δουλεύοντα τῇ κελεύσει τοῦ θεοῦ [καὶ] δοξάζοντα.*

τὰ ποιοῦντα] *Ὡς τῇ ὀργῇ τοῦ θεοῦ δουλεύοντα.*

9. *τὰ ὄρη*] *Καὶ τὰ αἰσθητὰ ὄρη καὶ οἱ βουνοί, ὡς λογικὰ ὑπάρχοντα, παρὰ τῷ θεῷ ὑπετάγησαν· πλὴν νόει ὄρη τοὺς προφήτας, βουνοὺς δὲ τοὺς ἀποστόλους.*

ξύλα] *Ξύλα λέγει τῶν ἁγίων τὰ σώματα, τὰ καρποφοροῦντα τὸν καρπὸν τοῦ πνεύματος τοῦ ἁγίου· κέδρους δὲ τοὺς ὑψηλοὺς τῷ βίῳ, ὅσοι ἐπὶ γῆς τὸν βίον οὐράνιον ἐκτήσαντο.*

10. *τὰ θηρία*] *Καὶ οἱ θηριώδεις τῷ τρόπῳ καὶ οἱ κτηνώδεις τῷ λόγῳ, πάντες τῷ φόβῳ τοῦ θεοῦ (κυρίου) κατέχονται· νόει δὲ τὰ*

---

[1] V. praemittit haec: *Ἡ μὲν γὰρ βίβλος τῆς γενέσεως δύο οὐρανοὺς λέγει, ὁ δὲ ἅγιος Παῦλος τρίτον οὐρανὸν εἶδεν, ὁ δὲ προφήτης Δαυὶδ καὶ τέταρτον λέγει, καθὼς φησίν. ἰστέον δέ, ὅτι καθάπερ ἡ φύσις τῶν ἀνθρώπων καὶ εἷς ἄνθρωπος λέγεται καὶ πάλιν πολλοὶ ἄνθρωποι, οὕτως καὶ ἡ τῶν οὐρανῶν φύσις καὶ εἷς οὐρανὸς καὶ πολλοὶ οὐρανοὶ ἐν τῇ θείᾳ γραφῇ λέγεται. αἰνίττεται δὲ καὶ τοὺς ἀποστόλους, ὡς οὐράνιον φρόνημα ἔχοντας. λέγει δὲ καὶ κτλ.*

[2] Slav. versio unius codicis postulat haec graeca verba: *Λόγῳ γὰρ τὰ πάντα ἐθεμελίωσε.*

ἔθνη. τοιαῦτα γὰρ ὑπῆρχον πρὸ Χριστοῦ.

ἑρπετά] Οὐδὲν γὰρ τῶν κτισμάτων ἀργὸν πρὸς δοξολογίαν· πάντα γὰρ δοῦλα τοῦ θεοῦ.

11. βασιλεῖς] Καὶ οἱ βασιλεῖς καὶ οἱ βασιλευόμενοι δεῦτε πάντες εἰς προσκύνησιν τοῦ θεοῦ (τῷ θεῷ), φησίν.

ἄρχοντες] Ἄρχοντες καὶ οἱ ἀρχόμενοι καὶ πάντες οἱ κρίνοντες τὴν γῆίνην πολιτείαν μεταβλήθητε, φησίν, εἰς τὸ οὐράνιον φρόνημα.

12. νεανίσκοι] Καὶ οἱ τέλειοι, φησί, τῇ ἡλικίᾳ [καὶ οἱ ἐν παιδίοις ὄντες τῇ ἡλικίᾳ] ἀδιστάκτως προσέρχεσθε τῷ θεῷ.

πρεσβῦται] Καὶ οἱ ἐν πολιᾷ καὶ οἱ ἐν ἰσχύι σπεύδετε πρὸς τὴν δοξολογίαν θεοῦ.[1]

13. αἰνεσάτωσαν] Ὁμοῦ πάντες, φησί, καὶ ἐπουράνια καὶ ἐπίγεια καὶ πᾶν γένος ἀνθρώπων καὶ κτηνῶν καὶ πετεινῶν, δοξολογοῦντες τὸν θεὸν μὴ καταπαύσησθε.

ὅτι ὑψώθη] Αὐτοῦ γὰρ τὸ ὄνομα ὑπὲρ πᾶν ὄνομα καὶ ἐν οὐρανοῖς καὶ ἐπὶ γῆς μέγα καὶ ὑψηλόν.

ἡ ἐξομολόγησις] Ἐπὶ γῆς γὰρ ἐξομολογοῦνται οἱ πιστοὶ καὶ ἐν οὐρανοῖς δέχονται ⟨δέξονται⟩.

14. καὶ ὑψώσει] Αὐτοῦ. τίνος; τοῦ πιστοῦ λαοῦ τοῦ ἐξ ἐθνῶν ὑψώσει τὴν ἰσχύν· κέρας γὰρ νοεῖται ἡ ἰσχύς.

ὕμνος] Ὁ ἔπαινος τουτέστιν [ἀπὸ τοῦ θεοῦ] πᾶσι τοῖς ἁγίοις δέδοται τότε.

τοῖς υἱοῖς] Τῷ νέῳ λαῷ τῷ ἐξ ἐθνῶν, ὡς υἱοῖς γενομένοις τοῦ θεοῦ· οὗτος γὰρ ὁ λαὸς ἐγγὺς τοῦ θεοῦ ἐγένετο καὶ ὑπάρχει.

CXLIX.

Ἀλληλούια] Ὕμνος ἐπινίκιος ἀγγέλων.

1. ᾄσατε] Τοῖς πιστοῖς ἐντέλλεται ᾄδειν τὸ ᾆσμα τὸ μυστικόν, ὅ ἐστι νέον.

ἡ αἴνεσις] Ἐκεῖ γὰρ ἑνοῦται ὁ λαὸς τῇ πίστει ἐν τῇ ἐκκλησίᾳ.

2. εὐφρανθήτω] Ὁ λαὸς ὁ πιστός, ὁ ἐξ ἐθνῶν, ἐν τῷ Χριστῷ.

καὶ υἱοί] Τὰ τῆς ἐκκλησίας τέκνα ἐν τῷ Χριστῷ.

3. αἰνεσάτωσαν] Χοροί· ἑστῶτες γὰρ (χοροστατοῦντες) ἐν ψαλμοῖς καὶ ὕμνοις δοξάζουσι τὰ τέκνα τῆς ἐκκλησίας τὸν Χριστόν.

ἐν τυμπάνῳ] Τύμπανόν ἐστιν (ὑπάρχει) ὁ ἄνθρωπος, ὅθεν ἡ φωνὴ τίκτεται, καὶ ψαλτήριον ἡ γλῶσσα, ἐν ᾗ ὑμνοῦσιν οἱ πιστοί.

4. ὅτι εὐδοκεῖ] Ἐν τῷ λαῷ τῷ πιστῷ· ἐν αὐτῷ γάρ ἐστι τὸ θέλημα τοῦ θεοῦ.

---

[1] V. in hoc versiculo non nihil differt a Ven., sed non omnia verba legi possunt, incipit quidem sic: πᾶσα ἡλικία, ἄνδρες τε . . ., deinde sequitur καὶ οἱ ἐν πολιᾷ κτλ.

καὶ ὑψώσει] Μακάριοι γὰρ οἱ πραεῖς, αὐτὸς ὁ κύριος εἶπεν· καὶ τί τούτου τοῦ ὕψους ἀνώτερον;

5. καυχήσονται] Τότε ⟨πότε; τότε⟩, ὅταν ἀπολαμβάνουσι τὸν μισθὸν αὐτῶν ἐν δόξῃ· καύχημα γὰρ αἰώνιον ἔσται αὐτοῖς.

καὶ ἀγαλλιάσονται] Ἀπολαμβάνοντες τὰς μονὰς τότε [οἱ ἅγιοι] ἐν ἀγαλλιάσει ἔσονται ⟨εὐφραινόμενοι⟩ αἰωνίως.

6. αἱ ὑψώσεις] Οὐκ ἐπαύσατο γὰρ τούτων ὁ λάρυγξ διηνεκῶς ὑψῶν (ὑμνῶν) τὸν θεόν.

καὶ ῥομφαῖαι] Τὰς δυνάμεις λέγει, ἃς παρὰ τοῦ θεοῦ ἔχουσιν οἱ ἅγιοι· δίστομοι δὲ ὡς πανταχόθεν ἀστράπτουσαι.

7. τοῦ ποιῆσαι] Κρίνειν γὰρ μέλλουσιν οἱ ἅγιοι τὸν κόσμον, οὐχὶ δὲ κρίνεσθαι σὺν τῷ κόσμῳ.

8. τοῦ δῆσαι] Οἱ μὴ γὰρ καλῶς βασιλεύσαντες ἐν δικαιοσύνῃ δεσμοῦνται τότε καὶ ῥίπτονται εἰς τὴν γέενναν.

καὶ τοὺς ἐνδόξους] Καὶ τοὺς ἐνδόξους τῶν βασιλέων, εἰ μὴ τῷ φόβῳ τοῦ θεοῦ ἐδούλευσαν, καὶ οὗτοι δεσμοῦνται μάστιξι πονηραῖς καὶ ἰσχυραῖς ὑπὲρ σίδηρον, τουτέστιν αἰωνίως.

9. τοῦ ποιῆσαι] Καθὼς ἀναγέγραπται ἑκάστου τὰ ἔργα, οὕτως τὸ κρῖμα ἑκάστου ἐκφέρεται.

δόξα] Τοῦ κρίνειν μετὰ θεοῦ καὶ μὴ κρίνεσθαι.

CL.

Ἀλληλούια] Ὕμνος δυνάμεων.

1. αἰνεῖτε τὸν θεόν] Ἕνα νοεῖτε τὸν θεὸν τὴν τριάδα οἱ ἅγιοι.

αἰνεῖτε αὐτόν] Ἕνα γὰρ θεὸν τὴν τριάδα προσκυνοῦσι αἱ τῶν οὐρανίων δυνάμεις.

2. — — ἐπὶ ταῖς δυναστείαις] Πᾶσα γὰρ ἡ δύναμις τῶν ἁγίων ἀπὸ θεοῦ δέδοται αὐτοῖς.

— — κατὰ τὸ πλῆθος] Κατὰ τὴν μεγαλωσύνην τοῦ θεοῦ (αὐτοῦ), οὕτως δοξάζετε τὸν θεὸν ὑμνοῦντες.

3. — — ἐν ἤχῳ] Τουτέστιν σάλπιγγος ὑψηλότερον ἠχήσατε, ὑμνοῦντες τὸν θεόν.

— — ἐν ψαλτηρίῳ] Ψαλτήριον ὁ νοῦς καὶ κιθάρα ἡ γλῶσσα· ἐν τούτοις ὁ ἄνθρωπος δοξάζει τὸν θεόν.

4. — — ἐν τυμπάνῳ] Τουτέστιν μεγάλῃ φωνῇ· τύμπανον γὰρ ἡ φωνή, χορὸς δὲ ἡ συνηγμένη διάνοια.

— — ἐν χορδαῖς] Ταῖς χερσὶ ἐπηρμέναις· χορδαὶ γὰρ οἱ δάκτυλοι, ὄργανον δὲ ὁ λάρυγξ.

5. — — ἐν κυμβάλοις] Τουτέστιν τύπτοντες τὰ στήθη· κύμβαλον γάρ ἐστι ὁ θώραξ τοῦ ἀνθρώπου· καὶ ὡς ἐκεῖνα, τὰ χαλκᾶ.

— — —] Μετὰ κλαυθμοῦ καὶ φωνῆς μεγάλης τύπτοντες τὰ στήθη ὑμνεῖτε θεόν.

6. πᾶσα πνοή] Πᾶσα ἡ κτίσις, τουτέστιν καὶ τὰ ἐπ' αὐτῇ κινούμενα καὶ πνοὴν ἔχοντα ζωῆς ἀκαταπαύστως καὶ διηνεκῶς ὑμνοῦσι τὸν κύριον· πάντα γὰρ τὰ κινούμενα λογικὰ ὑπάρχει (τυγχάνουσι) παρὰ τῷ θεῷ.

Odae-Cantica.

(Ad fidem codicis Marciani 535 et Ambrosiani.)

I.

Ὠδὴ [Μαρίας, ἀδελφῆς] Μωυσέως ἐν τῇ ἐξόδῳ.

1. ᾄσωμεν] Ἄσωμεν τουτέστι τὸ ᾆσμα τὸ μυστικόν· ἐδοξάσθη γὰρ ἐν οὐρανῷ καὶ ἐπὶ γῆς ὁ Χριστός, ἀναστὰς ἐκ νεκρῶν καὶ καταργήσας τὸν θάνατον.

ἵππον] Τὸν διάβολον καὶ τὴν ἐν αὐτῷ καθημένην ἁμαρτίαν ἐν τῇ θαλάσσῃ τοῦ βαπτίσματος.

2. βοηθός] Τῷ πιστῷ ⟨ἀνθρώπῳ⟩, τῷ διὰ τοῦ βαπτίσματος ἀναγεννηθέντι.

οὗτος θεός] Λέγει ὁ ἀναγεννηθεὶς δι' ὕδατος καὶ πνεύματος.

θεὸς τοῦ πατρός] Πατέρα γὰρ ἐπιγράφεται (ἐγγράφεται) τὸν θεὸν ὁ πιστὸς ἄνθρωπος.

3. κύριος συντρίβων] Τὸν πόλεμον λέγει τὸν ἐν τῷ ἅδῃ, συντρίψας [αὐτόν], ὄνομα δὲ αὐτοῦ θεός.

4. ἅρματα] Λέγει Φαραὼ τὸν διάβολον· ἅρματα δὲ τοῦ διαβόλου ἡ ἁμαρτία, ἡ λήθη, ἡ πλάνη καὶ τὰ τούτοις ἀκόλουθα· ταῦτα δὲ ἔρριψεν ἐν τῷ βαπτίσματι.

ἐπιλέκτους] Τὸ ψεῦδος, ἡ πορνεία, ἡ κλοπή, ταῦτά εἰσιν οἱ τριστάται τοῦ διαβόλου. λέγει δὲ καὶ τοὺς δαίμονας.

κατεπόντισεν] [Κατεπόντισεν τουτέστιν] ἐν τῇ θαλάσσῃ τοῦ αἵματος τοῦ ἐξελθόντος ἐκ τῆς πλευρᾶς τοῦ Χριστοῦ· πάσης γὰρ θαλάσσης μεῖζον καὶ ἰσχυρότερον. ἐκεῖ δὲ κατεποντίσθησαν οἱ δαίμονες καὶ παρεσύρησαν [ὡς] ἐν ποταμῷ.

5. πόντῳ] Κατεποντίσθησαν γὰρ ἐν τῷ ὕδατι τοῦ βαπτίσματος οἱ δαίμονες.

κατέδυσαν] Ὡς σκληροὶ ἀνήλατοι κατέδυσαν ἐν τῷ βυθῷ τοῦ βαπτίσματος.

6. ἡ δεξιά σου] Ἐν αὐτῇ γὰρ τὸν οὐρανὸν ἐξέτεινε καὶ τὴν γῆν ἐθεμελίωσεν.

ἡ δεξιά σου χείρ] Τοὺς δαίμονας· αὐτοὶ γὰρ πρὸς ἀλήθειαν ἐχθροὶ τοῦ ἀνθρώπου. λέγει δὲ καὶ τοὺς Αἰγυπτίους.

7. καὶ τῷ πλήθει] Τοὺς ἐχθροὺς τοῦ σταυροῦ, ὡς τότε τοὺς Αἰγυπτίους ἐχθροὺς τοῦ Ἰσραήλ.

ἀπέστειλας] Ἡ γὰρ ὀργὴ τοῦ θεοῦ ὡς πῦρ φλέγει καὶ ἀναλίσκει· κατέστρωσε δὲ τότε τοὺς Αἰγυπτίους ⟨ἐπὶ τῶν Ἰσραηλιτῶν⟩, ἐπὶ δὲ τῶν πιστῶν τοὺς δαίμονας.

8. καὶ διὰ πνεύματος] Σχίσας τὸ ὕδωρ· τύπος δὲ ἦν τοῦ βαπτίσματος.

ἐπάγη] Τότε τῆς θαλάσσης δεξιᾷ καὶ ἀριστερᾷ παρερχομένου τοῦ λαοῦ· τὸ δ' αὐτὸ καὶ τῷ βαπτιζομένῳ ἀνθρώπῳ ἔνθεν καὶ ἔνθεν γινόμενα τὰ ὕδατα.

ἐπάγη τὰ κύματα] Τὰ κύματα τῆς ἁμαρτίας ἐν μέσῳ τοῦ βαπτίσματος τουτέστιν ἐξηράνθησαν.

9. εἶπεν] Ὁ Φαραὼ τὸν Ἰσραήλ, καὶ ἀπώλετο ἐν τῇ θαλάσσῃ. ἀλλὰ καὶ ὁ διάβολος καταδιώκει τὸν ἄνθρωπον ἕως τοῦ βαπτίσματος κἀκεῖ πίπτει πτῶμα ἐξαίσιον.

μεριῶ] Ὥσπερ γὰρ σκῦλα διεμέρισαν τὸν ἄνθρωπον οἱ δαίμονες καὶ κατέπιον αὐτόν· ἀλλ' ἥμεσαν αὐτὸν ἄκοντες.

ἀνελῶ] Ἤλλαξαν γὰρ τὸν ἄνθρωπον ὡς ἐν μαχαίρῃ.

10. ἀπέστειλας] Τοὺς δαίμονας ἐκάλυψε τὸ βάπτισμα ⟨τουτέστιν κατεπόντισεν⟩.

ἔδυσαν] Ἡ ἁμαρτία καὶ ὁ θάνατος· μολύβδου γὰρ βαρυτέρα ἡ ἁμαρτία. ἔδυσαν δὲ ἐν τῷ ὕδατι τοῦ βαπτίσματος σφοδρῶς καὶ δυνατῶς.

11. τίς ὅμοιός σοι] Οὔτε γὰρ δυνάμει οὔτε δόξῃ ἐξισοῦταί τις τῷ θεῷ, μάλιστα τῶν κτισμάτων τι.

δεδοξασμένος] Ὁ Χριστὸς γάρ, δοξασθεὶς ἐν οὐρανῷ καὶ ἐπὶ γῆς, ἐθαυματούργησεν θεϊκῇ δυνάμει.

12. ἐξέτεινας] Ὑποβρύχιοι γὰρ ἐγένοντο.

13. ὡδήγησας] Τὸν πιστὸν λαὸν ἐλυτρώσατο ἀπὸ τῆς πλάνης τῶν εἰδώλων.

παρεκάλεσας] Εἰσήγαγεν εἰς τὴν ἐκκλησίαν κἀκεῖ ἀνέπαυσε τὸν λαὸν τὸν πιστόν.

14. ἤκουσαν] Τὰ (αἱ) τῶν δαιμόνων φῦλα (φυλαὶ) ἀκούσαντα, ὅτι τὰ ἔθνη ἐσώθησαν, παρεπικράνθησαν ⟨σφόδρως παρωξύνθησαν⟩.

ὠδῖνες] Ἀκούσαντα γὰρ τὰ ἔθνη τὰ ἀλλόφυλα, οἵ εἰσιν οἱ δαίμονες, ὅτι ἐσώθη ὁ λαὸς [ὁ πιστὸς] ὁ ἐξ ἐθνῶν, φόβῳ πολλῷ συνεσχέθησαν καὶ τρόμῳ.

15. τότε ἔσπευσαν] Οἱ γήϊνοι ἄρχοντες· Ἐδὼμ γάρ γήϊνος ἑρμηνεύεται· εἰσὶ δὲ οἱ δαίμονες, ὡς εἰς γῆν ῥιφέντες.

ἔλαβεν] Οἱ ἐκ πατέρων ἄρχοντες. Μωαβῖται γὰρ ἐκ πατρὸς ἑρμηνεύονται. ἦσαν γὰρ οἱ πατέρες τῶν ἐθνῶν κρατούμενοι ὑπὸ τῶν δαιμόνων.

ἐτάκησαν] Τῷ φόβῳ καὶ τῷ ζήλῳ.

16. ἐπιπέσοι] Ὁ τῆς παρουσίας τοῦ Χριστοῦ φόβος.

μεγέθει] Τουτέστιν ἐγένοντο ἀναίσθητοι οἱ δαίμονες, ἐνεργεῖν μηκέτι δυνάμενοι.

ἕως ἂν παρέλθῃ] Ὁ πιστὸς λαός,

ὥστε μηκέτι παρενοχλεῖσθαι ὑπὸ τῶν δαιμόνων.

17. εἰσαγαγών] Εἰς τὸ ὄρος τουτέστι κληρονομίας τοῦ Γολγοθᾶ διὰ τοῦ σταυροῦ τὸν λαὸν τὸν ἐξ ἐθνῶν.

εἰς ἕτοιμον] Τὴν ἀνάστασιν λέγει· ἐκεῖ γὰρ τὸν πιστὸν εἰσήγαγεν καὶ ἀνέπαυσεν.

ἁγίασμα] Τὴν τράπεζαν λέγει τὴν μυστικήν.

18. κύριε] Ἐβασίλευε (Ἐβασίλευσε) γὰρ πρὸ τῶν αἰώνων, καὶ (ἐν) τῇ σαρκὶ δὲ πάλιν ἐβασίλευσεν εἰς τοὺς αἰῶνας.

19. ὅτι εἰσῆλθεν] Ἵππος ἡ πλάνη, Φαραὼ ὁ διάβολος, ἅρματα ἡ πλεονεξία, ἡ ἀσέβεια, ἡ ὑπόκρισις, ἡ λήθη, ἀναβάτης ἡ ἁμαρτία· οὗτοι πάντες ἐπνίγησαν ἐν τῷ βαπτίσματι.

καὶ ἐπήγαγεν] Τῆς νοητῆς θαλάσσης τοῦ βαπτίσματος.

οἱ δὲ υἱοί] Τότε ὁ λαὸς τῶν Ἑβραίων διὰ τῆς ἐρυθρᾶς θαλάσσης, νῦν δὲ ὁ λαὸς ὁ πιστὸς διὰ τοῦ βαπτίσματος.

II.

Ὠδὴ καὶ αὕτη Μωυσέως] Σημαίνει δὲ καὶ αὕτη τὴν ἔκπτωσιν τῶν Ἰουδαίων καὶ τὴν ἀγαθότητα τοῦ θεοῦ, ἣν παρέσχεν αὐτοῖς καὶ τὴν εἰσαγωγὴν τῶν ἐθνῶν.

1. πρόσεχε] Ἐπεὶ μέγα ἦν τὸ παράπτωμα Ἰουδαίων καὶ ἐν ἀνθρώποις μάρτυρες πρὸς τὴν ἁμαρτίαν οὐκ εὑρίσκοντο, τὸν οὐρανὸν καὶ τὴν γῆν, τὰ μεγάλα στοιχεῖα, μαρτύρεται ὁ θεὸς διὰ τοῦ προφήτου.

2. προσδοκάσθω] Πολὺς γὰρ καὶ ἐπωφελὴς [ὡς ὑετὸς] ὁ λόγος τοῦ θεοῦ κατερχόμενος.

καὶ καταβήτω] Μετὰ πραΰτητος καὶ ἡσυχίας τουτέστιν.

ὡσεὶ ὄμβρος] Οὐ γὰρ πλήσσει, ἀλλὰ ὠφελεῖ τὰ ῥήματα τοῦ θεοῦ.

3. ὅτι ὄνομα] Οὔτε γὰρ ἑτέρου θεοῦ ὄνομα εἰσφέρω.

δότε] Δότε δόξαν τουτέστιν [καὶ] σύνετε τὰ λεγόμενα.

4. θεός] Θεὸς γὰρ οὐ ψεύδεταί ποτε οὔτε ψευδῆ εἰργάσατο.

καὶ πᾶσαι] Οὔτε γὰρ ἄκριτόν τι [παρὰ θεῷ] ἢ ἀτελές.

θεὸς πιστός] Τί γὰρ ἄδικον παρὰ θεῷ ἐγένετό ποτε πρὸς ὑμᾶς, ὦ Ἰουδαῖοι;

δίκαιος] Πάντοτε γὰρ δικαίως καὶ ὁσίως εὐεργετούμενοι οἱ Ἰουδαῖοι οὐκ ἐνέμειναν.

5. ἡμάρτοσαν] Αὐτῷ. ⟨τίνι γάρ⟩, φησί, ἥμαρτον τέκνα μεμωμημένα;

γενεά] Τὴν τῶν Ἰουδαίων λέγει, ὅτι ἀεὶ εὐεργετούμενοι διεστρέφοντο τῇ πονηρίᾳ.

6. ταῦτα] Τοιαῦτα, φησίν, ἀπεδώκατε τῷ θεῷ, ὁποῖα ἐδέξασθε παρ' αὐτοῦ.

λαός] Μέμφεται ὁ θεὸς τὸν λαὸν

τῶν Ἰουδαίων, ὡς παραφρονήσαντα εἰς θεόν.

οὐκ αὐτός] Οὐχὶ σὲ ⟨ὑμᾶς⟩ ὁ θεὸς ἐξελέξατο ἀπὸ πάντων τῶν ἐθνῶν, οὐδὲ ἠθέτησας τὸν θεόν ⟨αὐτόν⟩;

καὶ ἐποίησεν] Καὶ ἐπλάσθης γὰρ παρὰ θεοῦ καὶ ἐκτίσθης καὶ οὐδὲ οὕτως ὑπετάγης τῷ θεῷ.

7. μνήσθητε] Μνήσθητε, φησίν, ὅτι ἀπ' ἀρχῆς κτίσεως ὅσα ἐποίησεν ὁ θεὸς τοῖς πατράσιν ὑμῶν καὶ ὑμῖν, καὶ ἐπὶ πᾶσιν ἠθετήσατε.

σύνετε] Ἐνθυμήθητε, φησίν, ὅσα κατὰ γενεὰν καὶ γενεὰν ἐποίησεν εἰς ὑμᾶς ὁ θεός.

ἐπερώτησον] Τουτέστιν ἐπίγνωθι ⟨ἐπίγνωτε⟩ καὶ μάθετε, ὅσα ἐπὶ τῶν πατέρων ὑμῶν ἐποίησεν ὁ θεός, καὶ οὐ κατενύγητε ταῖς καρδίαις ὑμῶν.

τοὺς πρεσβυτέρους] Τουτέστι μάθετε τοὺς προβεβηκότας.

8. ὅτε διεμέριζεν] Ὅτε διΐστησι καὶ ἐκληροδότει ταῖς φυλαῖς τὴν γῆν, οὐδὲ ταῦτα ὑμᾶς κατανύττει;

οὓς διέσπειρεν] Ὅπως ἐκ τοῦ ἑνὸς ἀνθρώπου κατεφύτευσεν ἔθνη πολλά.

ἔστησεν] Τῶν ἁγίων πάντων· ἄγγελοι γὰρ ἐπὶ γῆς οἱ ἅγιοι.

9. καὶ ἐγενήθη] Καὶ ἐξ ἐκείνων πάντων τῶν ἐθνῶν σὲ ⟨ὑμᾶς⟩ ἐξελεξάμην μερίδα ἀγαθήν, ἀλλ' οὐκ ἐμνήσθης ⟨ἐμνήσθητε⟩· διὰ τοῦτο ὁ πιστὸς λαὸς εἰσῆλθεν, ὅ ἐστιν Ἰακώβ.

σχοίνισμα] Ὥσπερ γὰρ ἐν σχοινίῳ, οὕτως τῇ πίστει εἵλκυσεν τὰ ἔθνη ὁ θεὸς πρὸς τὸ αὐτοῦ θέλημα.

10.[1] αὐτάρκησεν] Θαῦμα γὰρ ἦν ἐν τῇ ἐρήμῳ τὸ γινόμενον, πῶς ἐτρέφετο ὁ λαὸς μὴ κοπιῶν;

ἐν δίψῃ] Καῦμα γὰρ μέγιστον ἔχοντες ἐν τῇ ἐρήμῳ οὐκ ἐδίψα ὁ λαός. λέγει δὲ ἔρημον τὴν ἐκκλησίαν, ἥτις ἐτήκετο διψῶσα τὸν Χριστὸν καὶ τὰ μυστήρια αὐτοῦ.

ἐκύκλωσεν] Ἐκύκλου γὰρ αὐτοὺς τῇ δυνάμει καὶ ἐπαίδευε τῇ ὑπομονῇ.

καὶ διεφύλαξεν] Τοσοῦτον ἦν ἡ ἀγάπη τοῦ θεοῦ πρὸς τὸν λαόν, ἀλλὰ ἀθετήσαντες ἀπεβλήθησαν.

11. ὡς ἀετός] Οὐδὲν γὰρ τῶν πετεινῶν οὕτως φυλάσσει τὴν νοσσιὰν ὡς ἀετός, ὡς βασιλεὺς πάντων τῶν πετεινῶν. σημαίνει δὲ τὸν Χριστὸν ὁ λόγος.

καὶ ἐπὶ τοῖς] Οὕτως τὸν Ἰσραὴλ ἐπόθησεν ὁ θεός, ἀλλ' οὐ συνῆκαν.

διείς] Ἐπὶ τῶν ὤμων γὰρ αὐτοῦ ἔφερεν ὁ θεὸς τὸν Ἰσραὴλ τῇ ἀγαθότητι, οὕτως ἠγαπᾶτο.

καὶ ἀνέλαβεν] Ἐπάνω ἐν τῷ τραχήλῳ ἔφερεν αὐτοὺς ὁ θεὸς τῷ πόθῳ.

12. κύριος] Οὔτε γὰρ ἄλλος αὐτῶν ἠνέσχετο ὡς ὁ θεός.

13. ἀνεβίβασεν] Ἐπὶ τὴν καλλιστεύουσαν, περὶ ἧς φησίν· δώσω ὑμᾶς (ὑμῖν?) γῆν ῥέουσαν γάλα καὶ μέλι.

---

[1] VV. 10—30 interpretatio slavica deest.

ἐψώμισεν] Ὧν οὐκ ἐκοπίασαν, ἀλλὰ ἑτοίμως εὗρον.

ἐθήλασαν] Ὅταν ἐκ τῆς ἀκροτόμου πέτρας οἱ Ἰσραηλῖται τὸ ὕδωρ ἔπιον.

14. βούτυρον] Πάντα γὰρ τὰ λιπαρὰ καὶ πίονα παρέσχεν αὐτοῖς.

μετὰ στέατος] Τῶν κρεῶν τῶν λιπαρωτάτων.

υἱῶν] Τὰ νεογενῆ καὶ γαλακτώδη κρέα.

μετὰ στέατος] Τῆς σεμιδάλεως καὶ τῶν ἐξ αὐτῆς ἄρτων.

καὶ αἷμα] Τὸν ἀληθινόν, τὸν ἡδύ(ν)· τύπος δὲ ἦν τοῦ αἵματος τοῦ Χριστοῦ, τὸ στάξαν ἐν τῷ σταυρῷ καὶ ἔπιεν ὁ πιστὸς λαός.

15. καὶ ἔφαγεν] Ἐν τούτοις γὰρ πᾶσι τραφέντες ἐσκίρτησαν ἄτακτα.

καὶ ἀπελάκτισεν] Ἀπὸ τοῦ κόρου τῆς τροφῆς ἐσκίρτησεν ὁ λαός.

ἐλιπάνθη] Τῇ διανοίᾳ, τῇ καρδίᾳ, τοῖς λογισμοῖς ἐξέστη, παρεφρόνησεν, ὑπερηφανεύθη.

καὶ ἐγκατέλειπε] Ἑαυτῷ γὰρ λοιπὸν ἐπεποίθει καὶ οὐκ εἰς θεόν.

καὶ ἀπέστη] Ἀπέστη γὰρ τῇ φρονήσει ὡς δάμαλις ἐξοιστρῶσα, καθὼς γέγραπται.

16. παρώξυναν] Τουτέστιν ἐν τοῖς εἰδώλοις τῶν ἐθνῶν.

ἐν βδελύγμασιν] Προσκυνοῦντες τὰ εἴδωλα.

17. ἔθυσαν] Δαίμοσι γὰρ προσεχώρησαν καταλείψαντες τὸν θεόν, τὸν ζωοποιοῦντα αὐτούς.

θεοῖς] Καταλείψαντες γὰρ τὸν θεὸν τὸν αἰώνιον, εἴδωλον πρόσκαιρον προσεκύνησαν, οὓς (sic!) οὔτε αὐτοὶ οὔτε οἱ πατέρες αὐτῶν ᾔδεισαν.

18. θεόν] Τὸν κτίσαντά σε, φησίν.

καὶ ἐπελάθου] Τοσαῦτα γὰρ ἐτροποφόρησεν αὐτοὺς ἐν τῇ ἐρήμῳ ἀκαμάτως καὶ ἐπελάθοντο.

19. εἶδεν] Ἀθετούμενος γὰρ παρωργίσθη.

καὶ παρωξύνθη] Ἀγαπώμενοι γὰρ ὡς τέκνα παρώξυναν τὸν θεόν.

20. καὶ εἶπεν] Ἀπερρίφησαν γὰρ ἀπ' αὐτοῦ εἰδώλοις προσκλιθέντες.

καὶ δείξω] Ἤδει γὰρ ὡς θεός, ὅτι ἀπορριφήσονται μὲν αὐτοί, εἰσέλθουσι δὲ τὰ ἔθνη εἰς κληρονομίαν.

ὅτι γενεά] Ἐξεστράφησαν γὰρ ἐν τῇ πλάνῃ τῶν εἰδώλων.

υἱοί] Ὠνομάζοντο γὰρ υἱοὶ θεοῦ, ἀλλὰ τὴν πίστιν ἠθέτησαν.

21. αὐτοί] Προσκυνήσαντες τῷ μόσχῳ τῷ χωνευτῷ.

παρώργισαν] Κωφὰ καὶ ἄλαλα θεοποιοῦντες καὶ τὸν θεὸν ἀθετοῦντες.

κἀγώ] Ἐν γὰρ τῷ δέξασθαι τὰ ἔθνη τὴν πίστιν ἐκεῖνα παρεζήλωσαν ἐπὶ τῇ σωτηρίᾳ αὐτῶν.

ἐπ' ἔθνει] Ἀσύνετα γὰρ ἦν τότε τὰ ἔθνη, ἐσώθησαν δὲ τῇ χάριτι, ἐκεῖνοι δὲ παρωξύνθησαν.

22. ὅτι πῦρ] Ἡ γὰρ ὀργὴ τοῦ θεοῦ πυρὸς ἐνεργεστέρα ἐστίν.

καυθήσεται] Ἕως καταβιβάσω αὐτοὺς ζῶντας εἰς ᾅδου.

καταφάγεται] Τὰ γεννήματα αὐτῶν, τουτέστι τὰ φρονήματα τῆς γηΐνης πολιτείας.

φλέξει] Λέγει τοὺς δαίμονας, ὡς ὄρη ὄντας· ἐφλέχθησαν δὲ αὐτῶν αἱ δυνάμεις.

23. καὶ τὰ βέλη] Κατὰ συγχώρησιν γὰρ θεοῦ ἐπολεμοῦντο.

24. τηκόμενοι] Ἐμνήσκοντο γὰρ τῆς ὀρτυγομήτρας καὶ ἐτήκοντο.

καὶ ὀπισθότονος] Ἦσαν γὰρ πληγέντες ἀνιάτως ὑπὸ τοῦ θεοῦ.

ὀδόντας] Ζώων ἀγρίων ἐγίνοντο βρώματα.

μετὰ θυμοῦ] Λέγει τοὺς δράκοντας, τοὺς μεγάλους ὄφεις.

25. ἔξωθεν] Ἔσφαζον γὰρ τὰ τέκνα αὐτῶν τοῖς δαίμοσιν.

καὶ ἐκ τῶν] Ὅθεν γὰρ ἤλπιζον εἰρήνην, ἐκεῖθεν ἐπολεμοῦντο.

νεανίσκος] Νέος καὶ νέα ἀλλήλοις συναπέθνῃσκον.

θηλάζων] Τὰ βρέφη σὺν τοῖς γέρουσι συναπέθνῃσκον.

26. εἶπα] Εἰς πᾶσαν γὰρ τὴν γῆν διεσκορπίσθησαν οἱ Ἰουδαῖοι.

παύσω] Οὔτε γὰρ μνήμη αὐτῶν ἐστιν ἐν ἀνθρώποις.

27. εἰ μή] Ἕνεκεν γὰρ τῶν ἐχθρῶν αὐτῶν κατελείφθη αὐτῶν ὑπόμνημα.

καὶ ἵνα μή] Ἵνα μὴ ὑψωθῶσιν ἐπὶ πολὺ οἱ ὑπεναντίοι.

μὴ εἴπωσιν] Ἵνα μὴ καυχήσωνται οἱ ἐχθροὶ αὐτῶν, ὅτι ἰδίᾳ δυνάμει ἀπώλεσαν τοὺς Ἰουδαίους.

καὶ οὐχί] Ἔμελλον γὰρ λέγειν, ὅτι ἰδίᾳ δυνάμει ἐποιήσαμεν.

28. ὅτι ἔθνος] Τὸ τῶν Ἰουδαίων, ὅτι βουλῆς τοῦ θεοῦ ἀπέπεσαν θελήματι ἰδίῳ.

καὶ οὐκ ἔστιν] Πάσης γὰρ φρονήσεως ἐστερήθησαν.

29. οὐκ ἐφρόνησαν] Οὐκ ἠθέλησαν μνησθῆναι, ὅσα ἐποίησε μετ' αὐτῶν ὁ θεὸς ἀπ' ἀρχῆς.

καταδεξάσθωσαν] Τουτέστι μείνωσι τὴν παρουσίαν Χριστοῦ.

30. πῶς διώξεται] Πῶς ἕκαστος τῶν ἀποστόλων χιλιάδας πολλὰς καταλείψεται. λέγει δὲ τὸν Παῦλον.

καὶ δύο] Ὡς Πέτρος καὶ Ἰωάννης πολλὰς μετέβαλον ἐπὶ τὴν πίστιν τοῦ Χριστοῦ καὶ θεοῦ.

εἰ μὴ ὁ θεός] Ὁ θεὸς γὰρ παραδέδωκε τὰ ἔθνη εἰς χεῖρας τῶν ἀποστόλων, ἵνα σωθῶσι τῇ πίστει.

31. Οὐ γὰρ εἰσίν] Πῶς γὰρ τὰ ἄλαλα καὶ κωφὰ ἠδύναντο ὅμοια εἶναι ζῶντι θεῷ;

οἱ δὲ ἐχθροί][1] Οἱ δαίμονες· ἐξέπεσαν γὰρ ἀπὸ θεοῦ.

32. ἐκ γὰρ ἀμπέλου] Ἄκαρπος τουτέστι καὶ σποδός.

καὶ ἡ κληματίς] Κεκαυμένη καὶ μάταιος παντελῶς ⟨ἐγενόμεθα⟩.

ἡ σταφυλή] Χολὴν γὰρ ἐκαρποφόρησεν, ἣν ἐπότισαν τὸν Χριστόν.

---

[1] Contin. interpretatio slavica.

βότρυς] *Προεσήμαινε γὰρ αὐτοῖς τὸ ὄξος καὶ τὴν χολήν, ἣν ἔμελλον ποτίζειν τὸν δεσπότην τοῦ ἀμπελῶνος.*

33. *θυμός*] *Ἰοῦ γὰρ καὶ δόλου πλῆρες αὐτῶν τὸ ποτήριον, ὃ ἐκέρασαν τῷ ἰδίῳ δεσπότῃ.*

34. *οὐχὶ ταῦτα*] *Τουτέστι ταῦτα πάντα* [*συνῆκται καὶ*] *φυλάσσω ὑμῖν εἰς τὴν ἡμέραν τῆς κρίσεως.*

καὶ ἐσφράγισται] *Τουτέστι φυλάττεται ὑμῖν.*

35. *ἐν ἡμέρᾳ*] *Ὅταν μέλλω δικάζειν πάντα τὰ ἔθνη.*

ἐν καιρῷ] *Τὸν καιρὸν λέγει τοῦ πάθους, ὅταν τὰς χεῖρας αὐτῶν ἐπιβάλωσι τῷ φανέντι θεῷ.*

ὅτι ἐγγύς] *Λέγει τὴν παρουσίαν τοῦ Χριστοῦ, ἐν ᾗ ἀπιστήσαντες ἀπώλοντο.*

καὶ πάρεστιν] *Τουτέστιν ἤδη ἤγγισεν ἑτοίμως.*

36. *ὅτι κρινεῖ*] *Ἐν τῇ ἡμέρᾳ τῆς δίκης.*

καὶ ἐπὶ τοῖς δούλοις] *Ὅσοι ἐπίστευσαν τῇ ἐπιφανείᾳ αὐτοῦ, ἐν αὐτοῖς τότε παρακαλεῖται.*

ἴδεν γὰρ αὐτούς] *Τῷ φόβῳ τῆς κρίσεως· τότε γὰρ παραλύονται μάλιστα οἱ Ἰουδαῖοι, ὁρῶντες κριτήν, ὃν ἐσταύρωσαν.*

ἐν ἐπαγωγῇ] ⟨*Ἀγομένους εἰς κρίσιν καὶ τῷ φόβῳ ξηραινομένους*⟩.

37. *καὶ εἶπεν*] *Οὗς, φησίν, ἐπεκαλεῖσθε εἰς βοήθειαν.*

ἐφ' οἷς] *Ἐφ' οὕς, φησίν, εἴχετε τὰς ἐλπίδας ὑμῶν.*

38. *ὧν τὸ στέαρ*] *Ἥσθιον καὶ ἔπινον ἀντ' αὐτῶν οἱ προσφέροντες* ⟨*αὐτοῖς*⟩ *ὡς θεοῖς.*

ἀναστήτωσαν] *Ἔλθωσιν νῦν εἰς βοήθειαν ὑμῖν κρινομένοις.*

καὶ γενηθήτωσαν] *Τουτέστι ῥύσονται ὑμᾶς ἐκ τῆς κρίσεως.*

39. *ἴδετε*] *Ὁρᾶτε νῦν καὶ μάθετε, τίς εἰμι ἐγώ, ὃν ἐσταυρώσατε. νῦν, φησί, νοήσατε, ὅτι οὐκ ἔστι θεὸς ἄλλος πλὴν ἐμοῦ.*

ἐγὼ ἀποκτενῶ] *Ζωῆς γὰρ καὶ θανάτου ἐξουσίαν ἐγὼ ἔχω.*

πατάξω] *Θεὸς γάρ εἰμι ἐξουσιαστής.*

καὶ οὐκ ἔστιν] *Πάντας γὰρ χρὴ παραστῆναι τῷ βήματί μου.*

40. *ὅτι ἀρῶ*] *Ὑψώσω αὐτήν, φησίν, ἐπὶ πάντα τὰ ἔθνη.*

καὶ ὀμοῦμαι] *Ὤμοσε γὰρ κύριος καὶ οὐ μεταμεληθήσεται.*

καὶ ἐρῶ] *Ἵνα μάθωσι πάντες, ὅτι ζῶν θεός εἰμι ἐγώ.*

41. *ὅτι παροξυνῶ*] *Ὁ λόγος, φησίν, ὁ τοῦ θεοῦ, ἀστράψας ὑπὲρ ἀστραπήν, περὶ οὗ ὁ Παῦλος· ὁ λόγος, φησί, τοῦ θεοῦ ὑπὲρ πᾶσαν μάχαιραν δίστομον.*

καὶ ἀνθέξεται] *Ἄρξομαι, φησί, τῆς κρίσεως λοιπόν.* ⟨*Ὡς ἡ θεοῦ, δηλαδή.*⟩

καὶ ἀνταποδώσει] *Ἀποδώσω, φησίν, Ἰουδαίοις, ἀνθ' ὧν ἠσέβησαν εἰς ἐμὲ καὶ πᾶσι τοῖς ἀσεβέσιν.*

καὶ τοῖς μισοῦσιν] *Τοῖς μὴ πιστεύσασι τῇ παρουσίᾳ τοῦ κυρίου ἀποδώσω* ⟨*ἀποδώσει*⟩ *εἰς τὰ τῆς γεέννης ἐπαγγέλματα.*

42. μεθύσω] Συγκόπτων τοὺς δαίμονας σὺν τοῖς ἁμαρτωλοῖς ⟨καὶ διαφθείρων αὐτούς⟩.

καὶ ἡ μάχαιρα] Ἡ ῥομφαία, περὶ ἧς λέγει· ἐντελοῦμαι τῇ ῥομφαίᾳ καὶ λήψεται αὐτούς.

ἀφ' αἵματος] Ἀπὸ τῶν φονέων καὶ τῶν κλεπτῶν ἐκδικήσω τοὺς ἀδικηθέντας.

ἀπὸ κεφαλῆς] Τουτέστιν οὔτε ἀρχόντων φείσομαι· ἀπροσωπόληπτος γὰρ ἡ κρίσις.

43. εὐφράνθητε] Τοὺς ἁγίους λέγει εὐφραίνεσθαι μετὰ τοῦ Χριστοῦ.

καὶ προσκυνησάτωσαν] Οἱ δίκαιοι τὸν θεὸν πατέρα ἐπιγραφόμενοι.

εὐφράνθητε ἔθνη] Πολλοὶ [γὰρ καὶ] τοῦ λαοῦ σὺν τοῖς ἔθνεσιν ἐπίστευον.

καὶ ἐνισχυσάτωσαν] Παρῆσαν γὰρ οἱ ἄγγελοι διακονοῦντες (διακονοῦσαι) αὐτῷ.

ὅτι τὸ αἷμα] Τὸ τῶν μαρτύρων.

καὶ ἐκδικήσει] Ἐν ἐκείνῃ τῇ ἡμέρᾳ τῇ παγκοσμίῳ.

καὶ τοῖς μισοῦσιν] Ἰουδαίοις λέγει καὶ Ἕλλησιν.

καὶ ἐκκαθαριεῖ] Τὴν γῆν ἐκείνην, περὶ ἧς λέγει· ἐν γῇ ζώντων. ἐκεῖ γὰρ οὐκέτι προσθήσει διελθεῖν ἀκάθαρτον, ἀλλ' ἔσται καθαρά.

III.

Προσευχὴ Ἀμβακούμ] Προσηύξατο γάρ, περὶ ὧν ἑώρακε γενέσθαι αὐτὰ ἐν τάχει.

2. κύριε εἰσακήκοα] Ἀεὶ μέν, ἐν δὲ τῷ σταυρῷ μάλιστα.

κατενόησα] Ὅσα δημιουργῶν ἔδειξας.

ἐν μέσῳ] Λέγει τοὺς δύο λῃστάς, τοὺς σταυρωθέντας σὺν αὐτῷ.

ἐν τῷ ἐγγίζειν] Ἐγγίζοντος γὰρ τοῦ καιροῦ τῆς συντελείας τότε πᾶσι γνωσθήσεται, ὅτι ἔστι θεὸς ὁ φανεὶς ἐπὶ γῆς ὡς ἄνθρωπος.

ἐν τῷ παρεῖναι] Τὸν καιρὸν λέγει τῆς σαρκώσεως.

ἐν τῷ ταραχθῆναι] Ἐν γὰρ τῇ ὀργῇ τοῦ θεοῦ παράκειται τὸ ἔλεος.

3. ὁ θεός] Ἐκ νότου — [Θεμὰν γὰρ νότος ἑρμηνεύεται] — τουτέστιν ἐκ τοῦ φωτός, ὡς ἐκ τοῦ βορρᾶ τὰ κακά.

καὶ ὁ ἅγιος] Ἐκ τῆς παρθένου· ὄρος γὰρ αὕτη κατάσκιον καὶ δασύ, δυσθεώρητον καὶ ἀκατάληπτον τὸ ἐν αὐτῇ μυστήριον.

Διάψαλμα· μεταβολὴ τοῦ λόγου.

ἐκάλυψεν] Ὅτε μετὰ σαρκὸς ἐπὶ νεφέλης ἀνῆλθεν.

καὶ αἰνέσεως] Ἀνελθὼν γὰρ ἐν τοῖς οὐρανοῖς τὴν γῆν ἐπλήρωσε τῆς δόξης αὐτοῦ.

4. καὶ φέγγος] Τὸ τῆς σαρκός, ὡς τὸ τῆς θεότητος· ἐν τῇ σαρκὶ γὰρ ἡ θεότης ἐξέλαμψε.

κέρατα] Τὰ τοῦ σταυροῦ ⟨κρῖμα (κρίσις) αὐτῷ τοῦ σταυροῦ⟩.

καὶ ἔθετο] *Ἰσχυρῶς γὰρ ἡμᾶς ἀγαπήσας ὑπὲρ ἡμῶν ἀπέθανε.*

5. *πρὸ προσώπου*] *Ὁ εὐαγγελικὸς λόγος.*

ἐν πεδίλοις] *Εἰς ὅλην τὴν γῆν κατ᾽ ἴχνος αὐτοῦ.*

6. *ἔστη*] *Ὅταν ἐπὶ τοῦ σταυροῦ ἔστη καὶ ἐσχίσθη ἡ γῆ.*

ἐπέβλεψεν] *Τὰ τῶν δαιμόνων φῦλα.*

διεθρύβη] *Ὅταν αἱ πέτραι διερράγησαν.*

7. *ἀντὶ κόπων*] *Τουτέστιν οὐκ ἀπέβλεπον εἰς τοὺς κόπους τῆς σαρκός, ἀλλ᾽ εἰς τὰς ἀκαμάτους πορείας τῆς θεότητος.*

πτοηθήσονται] *Πτοεῖ γὰρ τὰ ἔθνη, ἵνα οὕτως ἐπιστρέψουσιν.*

8. *μὴ ἐν ποταμοῖς*] *Τουτέστιν μὴ κωλύσῃς τὰς δωρεὰς τοῦ πνεύματος.*

ἢ ἐν θαλάσσῃ] *Οὐδὲ γὰρ ἐν τῇ θαλάσσῃ τοῦ βαπτίσματος ἐκώλυσε τὴν χάριν τοῦ πνεύματος τοῦ ἁγίου.*

ὅτι ἐπιβήσῃ] *Τὸν ἀποστολικὸν λέγει δρόμον.*

9. *ἐντείνων*] *Τὸν σταυρόν· αὐτῷ γὰρ τὰ σκῆπτρα τῶν ἐθνῶν ὑπετάγησαν.*

ποταμῶν] *Διὰ τῶν δωρεῶν τοῦ πνεύματος ἡ γηΐνη πολιτεία ῥαγήσεται, τουτέστιν λυθήσεται.*

10. *ὄψονται*] *Οἱ ἰουδαϊκοὶ λαοὶ ὄψονται καὶ πονήσουσιν, ὡς γυνὴ τίκτουσα.*

σκορπίζων] *Ὁ Χριστὸς διὰ τῆς πορείας, ἣν τῇ θαλάσσῃ ἐβάδισεν.*

ἔδωκεν] *Ὅταν ἐπὶ τοῦ σταυροῦ ὁ Χριστὸς ἔκραζεν· ἄβυσσος γὰρ διὰ τὸ ἀκατάληπτον.*

11. *ὁ ἥλιος*] *Ἐν τῷ καιρῷ τοῦ σταυροῦ ἐκρύβη [γάρ]· νὺξ γὰρ ἐγένετο καὶ ἔφαινεν ὡς ἐν νυκτί.*

Εἰς φῶς] *Αἱ γλῶσσαι τῶν ἀποστόλων.*

εἰς φέγγος] *Τῶν εὐαγγελικῶν ἐντολῶν.*

12. *ἐν ἀπειλῇ*] *Τὰς πράξεις τοῦ γηΐνου φρονήματος.*

καὶ ἐν θυμῷ] *Τουτέστιν ὑποτάξεις.*

13. *ἐξῆλθες*] *Ἐφάνης μετὰ σαρκός, ἵνα σώσῃς τὸν πιστὸν λαόν.*

τοῦ σῶσαι] *Ἵνα σωθῶσιν οἱ χρισθέντες τῷ βαπτίσματι [τῶν Ἰουδαίων].*

ἔβαλες] *Οὓς ὁ Ἰούδας τῷ τραχήλῳ περιέθηκεν.*

14. *διέκοψας*] *Τῶν ἰουδαϊκῶν ἀρχόντων.*

σεισθήσονται] *Ἐν τῇ ἐκστάσει τῶν δαιμόνων ⟨ἐν τῇ ἐκκλησίᾳ τῶν σημείων τοῦ κυρίου⟩.*

διανοίξουσιν] *Κρυφῇ γὰρ ἐγόγγυζον τὸν λαὸν φοβούμενοι.*

15. *καὶ ἐπεβίβασας*] *Τοὺς ἀποστόλους εἰς τὴν θάλασσαν τοῦ βίου, κινοῦντας τὰ ὕδατα τοῦ βαπτίσματος.*

16. *ἐφυλαξάμην*] *Ἐπετήρησα εἰς τὴν συγκατάβασιν τοῦ υἱοῦ ⟨τοῦ Χριστοῦ⟩ καὶ ἐπτοήθη ἡ γαστήρ [μου, τουτέστιν] τῆς ψυχῆς μου ἡ διάνοια.*

ἀπὸ φωνῆς] *Ἐπειδὴ προφητείας ὑψηλῆς ἡ προσευχὴ πεπλήρωται.*

καὶ εἰσῆλθεν] Ῥυθμηθεὶς ⟨ἐνθυμηθείς⟩ τὴν Χριστοῦ παρουσίαν.

καὶ ὑποκάτωθεν] Ἐκ τοῦ βάθους, φησί, τῆς διανοίας ἐταράχθην.

ἀναπαύσομαι] Τὸν πειρασμόν μου κούφισον.

τοῦ ἀναβῆναι] Τουτέστιν ὅπως ὑψηλὰ πολιτεύσομαι μεταξὺ τοῦ λαοῦ τῇ παροικίᾳ τοῦ βίου.

17. διότι συκῆ] Οὐδὲν γὰρ τῶν προσκαίρων φυτῶν ἢ σπερμάτων ἐν τῷ αἰῶνι καρποφορεῖ τῷ μέλλοντι.

ψεύσεται] Ἐν γὰρ τῷ αἰῶνι τῷ μέλλοντι οὐδὲν τῶν κτηνῶν ὑπάρξει οὐδὲ νεμήσεται.

18. ἐγὼ δέ] Ὁ προφήτης ἀγαλλιᾶται ἐν χαρᾷ μεγάλῃ, πληρουμένων τῶν μυστηρίων τῆς προφητείας.

19. κύριος] Ῥυθμήσει μου τὴν ὁδὸν πρὸς τὴν τοῦ βίου συντέλειαν.

ἐπὶ τὰ ὑψηλά] Εἰς τὰ θεῖα δόγματα ἀναγαγεῖ με, ἵνα ἐν τῇ ὑμνῳδίᾳ τοῦ θεοῦ νικήσω τῆς παρούσης πολιτείας τὸ στάδιον.

IV.[1]

Προσευχὴ Ἄννας ⟨μητρὸς Σαμουήλ· ἐκ πρώτης βασιλειῶν⟩.

1. ἐστερεώθη] Τῇ προθέσει, τῇ πίστει, τῷ φόβῳ.

ὑψώθη] Ἡ πίστις ὡς ἄκρον καὶ ἰσχὺς τῶν πιστῶν.

ἐπλατύνθη] Πιστεύσας γὰρ ὁ ἄνθρωπος κατεκαυχήσατο τῶν δαιμόνων.

ηὐφράνθην] Τουτέστιν ἐν τῇ παρουσίᾳ σου.

2. ὅτι οὐκ ἔστιν] Τίς γὰρ ἐξισοῦσθαι τῷ θεῷ δύναται;

οὐκ ἔστιν ἅγιος] Οὐδεὶς γὰρ ἐξισοῦται τῷ θεῷ.

3. μὴ καυχᾶσθε] Τί (τίς) γὰρ ὠφελήσῃ ὑπερηφανούμενος ἔμπροσθεν τοῦ θεοῦ;

μηδὲ ἐξελθάτω] Οὐδὲ χρὴ ὑπέρογκα φθέγγεσθαι· εἰσὶ δὲ Ἕλληνες καὶ αἱρετικοί.

ὅτι θεός] Πρόγνωσις γὰρ παρὰ τῷ θεῷ μόνῳ ἐστίν.

καὶ θεός] Ὡς θεὸς γὰρ ἑτοίμως ἔχει πάντα, ὅσα μέλλει ποιεῖν.

4. τόξον] Ὁ λόγος τῶν ὑπερηφάνων.

καὶ ἀσθενοῦντες] Οἱ ταπεινοὶ τῇ καρδίᾳ· οὗτοι γὰρ ἐνδυναμοῦνται.

5. πλήρεις] Οἱ Ἰουδαῖοι· εἶχον γὰρ ἀπαρχὰς νομικὰς καὶ προσφοράς, ἀπώλεσαν δὲ αὐτά.

καὶ οἱ πεινῶντες] Τὰ ἔθνη, μὴ ἔχοντα τροφὴν πνευματικήν.

ὅτι στεῖρα] Ἡ ἐκκλησία τὰς ἑπτὰ ἐνεργείας τοῦ πνεύματος.

καὶ ἡ πολλή] Ἡ συναγωγή· πολύτεκνος γὰρ οὖσα, νῦν ἄτεκνος παντελῶς.

---

[1] Cod. ven. 353 abhinc alium ordinem observat: V. VI. IV. VII. X—XIII. VIII. XIV; post VII. sequitur *προσευχὴ Ἐζεκίου* sine explanatione. Nos codicum versionis slavicae ordinem observavimus.

6. κύριος θανατοῖ] Ζωῆς γὰρ καὶ θανάτου τὴν ἐξουσίαν αὐτὸς ἔχει.

κατάγει] Καὶ τοὺς νεκρούς, ὅτε θέλει, ζωοποιεῖ.

7. κύριος πτωχίζει] Ἐν τῇ βουλῇ γὰρ τοῦ θεοῦ τὰ πάντα συνέστηκεν.

ταπεινοῖ] Τοὺς ὑπερόπτας ταπεινοῖ καὶ τοὺς ταπεινοὺς ὑψοῖ.

8. ἀνιστᾷ] Ἀνυπονόητοι γάρ, φησίν, ἐφόρεσαν διαδήματα.

τοῦ καθίσαι] Ποιεῖ γὰρ τοὺς ταπεινοὺς ὑψηλοὺς καὶ τοὺς ὑψηλοὺς ταπεινούς.

καὶ θρόνον] Ὡς τὸν Δαυὶδ ἐβασίλευσεν.

9. διδούς] Οὔτε γὰρ παρακούει τῶν ταπεινῶν ἀπὸ καρδίας εὐχομένων.

καὶ εὐλόγησεν] Τῶν ἐν δικαιοσύνῃ ζώντων.

ὅτι οὐκ ἐν ἰσχύι] Οὐ γὰρ ἰδίᾳ δυνάμει σώζεται ὁ ἄνθρωπος.

10. κύριος ἀσθενῆ] Τὸν διάβολον λέγει, ὡς ἀντίδικον τοῦ ἀνθρώπου.

μὴ καυχάσθω] Οὔτε γὰρ φρόνησις κοσμικὴ σώζει, ἀλλὰ πίστις.

καὶ μὴ καυχάσθω] Πᾶς γὰρ ὁ πεποιθὼς τῇ ἰδίᾳ δυνάμει πεσεῖται.

— ὁ πλούσιος] Καπνοῦ γὰρ δίκην ὁ πλοῦτος φεύγει.

ἀλλ' ἢ ἐν τούτῳ] Τῷ γὰρ ἐπὶ θεῷ καυχᾶσθαι ἀσφαλές.

καὶ ποιεῖν κρίμα] Ὅπως, φησί, μετὰ κρίσεως καὶ δικαιοσύνης φυλάττει τὴν καρδίαν ὁ ἄνθρωπος.

κύριος ἀνέβη] Ἡνίκα ἀνελήφθη μετὰ σαρκός.

αὐτὸς κρινεῖ] Ἐν ἐκείνῃ λέγει τῇ ἡμέρᾳ.

καὶ δίδωσιν] Αὐτὸς γὰρ τοὺς βασιλεῖς ἔταξεν, αὐτὸς ἐνισχύει αὐτούς.

καὶ ὑψώσει] Τὸν σταυρόν· αὐτὸς γάρ ἐστιν ἰσχὺς πάσης κτίσεως.

V.

Ὠδὴ Ἡσαΐου] ⟨ἑνὸς ἐκ τῶν μεγάλων προφητῶν⟩.

9. ἐκ νυκτός] Χρὴ γὰρ τὸν εὐσεβῆ καὶ ἐν νυκτὶ καὶ ἡμέρᾳ πρὸς θεὸν ἐξανίστασθαι.

διότι φῶς] Φῶς γάρ ἐστι τὰ προστάγματα τοῦ θεοῦ.

δικαιοσύνην μάθετε] Δεῖ γὰρ καὶ τοὺς ἐπὶ γῆς δικαιοῦσθαι ἐν ἔργοις ἀγαθοῖς.

10. πέπαυται] Ὁ τὴν ἀσέβειαν ἐνεργῶν διάβολος πέπαυται.

ἐπὶ τῆς γῆς] Σπείρων γὰρ τὸ ψεῦδος οὐ παύεται.

ἀρθήτω] Ἐν τῷ αἰῶνι τῷ μέλλοντι.

11. κύριε] Ἠγνόουν, φησίν, οἱ δαίμονες τὴν δύναμιν τῆς τοῦ κυρίου σαρκώσεως.

ζῆλος] Τὸν ἰουδαϊκὸν λαόν.

καὶ νῦν πῦρ] Τὸ πῦρ τῆς γεέννης τότε.

12. κύριε ὁ θεὸς ἡμῶν] ⟨Οἱ ἀπόστολοι ἔκραξαν πρὸς κύριον⟩.

13. — κτῆσαι ἡμᾶς] Οἰκείῳ (οἰκείως) ὠνούμενος αἵματι.

κύριε, ἐκτὸς σοῦ] Οὔτε γὰρ ἔγνωμεν ἕτερον θεόν, φασὶν οἱ πιστοί, οὔτε ὀνομάζομεν οὔτε προσκυνοῦμεν, εἰ μὴ σὲ μόνον.

14. οἱ δὲ νεκροί] Οἱ νεκρωθέντες τῇ ἀπιστίᾳ, οὗτοι οὐχ ὁρῶσιν ζωὴν αἰώνιον.

οὐδὲ ἰατροί] Πῶς αἰσθητὸς ἰατρὸς νεκρὸν ἀναστήσει;

διὰ τοῦτο] Ἐπήγαγε γὰρ ἐπ᾽ αὐτοὺς παιδείαν καὶ ἦρε (ἦρας) ἀπ᾽ αὐτῶν πάντα (cod. πᾶν) λογισμὸν ἀνδρεῖον, ὃν ἔχειν ἐν ὑποκρίσει ἐνόμιζον.

15. πρόσθες] Ἵνα τὴν ἀληθινὴν δόξαν ποθήσουσι, τῷ πλήθει τῶν κακῶν στενοχωρούμενοι.

16. κύριε] Οὐδὲ γὰρ ἀνθρώποις προσφεύγουσιν ἐν θλίψει οἱ δίκαιοι, ἀλλὰ τῷ θεῷ.

ἐν θλίψει] Ὁποία γὰρ ἂν μικρὰ θλῖψις προσγένηται τῷ ἀνθρώπῳ, αἰτία γίνεται παιδείας.

17. καὶ ὡς ἡ ὠδίνουσα] Τουτέστιν ἡνίκα τὴν ἑαυτῶν σωτηρίαν τεκεῖν ἐμέλλομεν, μετὰ κραυγῆς ἐν προσευχῇ τῷ σῷ παιδὶ προσήλθαμεν.

18. διὰ τὸν φόβον] Τὴν ἀρετὴν ἐκυοφορήσαμεν, φησίν.

καὶ ὠδινήσαμεν] Ὁ γὰρ τῆς ἀρετῆς τόκος καρπός ἐστι σωτηρίας τοῦ ἁγίου πνεύματος.

οὐ πεσούμεθα] Ὅσοι τῇ δυναστείᾳ τῆς γῆς τῇ προσκαίρῳ ἀφθονοῦντες τεθαρρήκασιν.

19. ἀναστήσονται] Ἐγερθήσονται, φησίν, οἱ ἄπιστοι διὰ μετανοίας (καὶ) διὰ τῆς ἐκ νεκρῶν ἀναστάσεως.

καὶ εὐφρανθήσονται] Χαρὰ γὰρ τοῦ κοινοῦ γένους μετάνοια καὶ ἀνάστασις.

ἡ γὰρ δρόσος] Ὁ νόμος, περὶ οὗ Μωυσῆς· καὶ καταβήτω ὡς δρόσος τὰ ῥήματά μου.

ἡ δὲ γῆ] Οἱ ἀσεβεῖς, περὶ ὧν εἴρηται· οὐκ ἀναστήσονται ἀσεβεῖς ἐν κρίσει.

VI.

Προσευχὴ Ἰωνᾶ] ⟨ἑνὸς ἐκ τῶν δώδεκα προφητῶν τῶν μικρῶν⟩.

3. ἐβόησα] Ἐν τῷ σταυρῷ εἰπών· πάτερ, ἄφες αὐτοῖς τὴν ἁμαρτίαν ταύτην.

ἐκ κοιλίας] Κοιλίαν ᾄδου τὸν σταυρὸν λέγει, ὡς ταύτην (αὕτη) τὸν θάνατον τοῦ Χριστοῦ σαρκί, τὸν ὑπὲρ ἡμῶν, κυοφορήσασαν κέκληκεν.

4. ἀπέρριψας] Τὴν δολερὰν διάνοιαν τῆς ἀστάτου συναγωγῆς αἰνίττεται.

καὶ ποταμοί] Τὰ πειρατήρια.

πάντες] Τὰ ποικίλα καὶ διάφορα πάθη.

5. κἀγὼ εἶπα] Ἡνίκα ἐβόησεν ὁ Χριστὸς ἐπὶ τοῦ σταυροῦ· ἐλωεί, ἐλωεί.

ἆρα προσθήσω] Ὁ προφήτης βοᾷ· ἆρα ἀξιωθῶ ἰδεῖν τὸν ναὸν τοῦ κυρίου ἔτι;

6. περιεχύθη] Τουτέστιν οὐχ ἕως τῆς θεότητος· μόνης γὰρ ἦν τὰ πάθη τῆς ἀνθρωπότητος.

ἄβυσσος] Ὁ θάνατος· αὐτῷ γὰρ ὑπὲρ ἡμῶν ἐσχάτως προσωμίλησεν·

ἕδυ ἡ κεφαλή] Εἰς τὸ τοῦ τάφου σπήλαιον.

7. κατέβην] ⟨Εἰς τοὺς τοῦ ᾅδου τόπους⟩.

καὶ ἀναβήτω] Δηλονότι τὴν ἀνάστασιν λέγει.

8. ἐν τῷ ἐκλείπειν] Ὅτε γὰρ ἠφίει τὸ πνεῦμα, πρὸς τὸν πατέρα, ἐβόησεν· πάτερ, εἰς χεῖράς σου παραθήσομαι τὸ πνεῦμά μου.

καὶ ἔλθοι] Δῆλον ἐν τοῖς οὐρανοῖς.

9. φυλασσόμενοι] Οἱ τῶν Ἰουδαίων παῖδες· ματαίως γὰρ καὶ ψευδῶς, ὡς μέλλοντα κλέπτεσθαι τὸν Ἰησοῦν, τὸν τάφον ἐφύλαττον. τὸ ἔλεος αὐτῶν ἀπώλεσαν, δῆλον τὸ τῆς ἀναστάσεως.

10. ἐγὼ δέ] Τὴν θυσίαν τὴν μυστικήν, εὔδηλον.

ὅσα ηὐξάμην] Τῷ πατρὶ τὴν ἡμετέραν σωτηρίαν ὑπέσχετο προσαγαγεῖν.

VII.

Ὠδὴ τῆς θεοτόκου ⟨Μαρίας⟩.

46. Μεγαλύνει] Ἐμεγαλύνετο γὰρ καὶ ἠγαλλιᾶτο ἡ θεοτόκος, ἔχουσα ἐν ἑαυτῇ τὸν ἀχώρητον θεόν.

48. ὅτι ἐπέβλεψεν] Τουτέστι τῆς Εὔας, ὅτι δι' ἐμοῦ ἠλευθερώθη τῆς κατάρας.

ἰδοὺ γάρ] Δι' ἐμοῦ γάρ, φησί, πάσαις ταῖς γενεαῖς τοῦ κόσμου τὸ σωτήριον ἐγένετο.

49. ὅτι ἐποίησεν] Τὰ ὑπὲρ φύσιν γὰρ ἐποίησεν ἐν ἐμοὶ ὁ θεός.

καὶ ἅγιον] Οὐ γὰρ ἐβεβηλώθη ἐν ἐμοί, ἀλλ' ἔμεινεν ἀμίαντον καὶ ἅγιον.

50. καὶ τὸ ἔλεος] Αἰωνίως γὰρ τὸ ἔλεος τοῦ θεοῦ μένει ἐπὶ τοὺς φοβουμένους αὐτόν.

51. ἐποίησεν] Συντρίψας τὸν ᾅδην καὶ τὰς ἐν αὐτῷ δυνάμεις.

διεσκόρπισεν] Τὸν διάβολον καὶ τοὺς δαίμονας.

52. καθεῖλεν] Τὸν διάβολον καὶ τὸν θάνατον.

καὶ ὕψωσεν] Τὸν Ἀδὰμ καὶ τὴν Εὔαν.

53. πεινῶντας] Τὰ ἔθνη ἐπιστρέψαντα ἔφαγον ἄρτον ζωῆς.

καὶ πλουτοῦντας] Τοὺς παῖδας Ἰουδαίων.

54. ἀντελάβετο] Τοῦ πιστοῦ τοῦ νέου λαοῦ.

μνησθῆναι] Τουτέστι καθὼς ἐνετείλατο αὐτοῖς.

55. τῷ Ἀβραάμ] Ἐξ Ἀβραὰμ γὰρ ἡ παρθένος ἡ θεοτόκος.

VIII.

Ὠδὴ Ζαχαρίου ⟨τοῦ πατρὸς Ἰωάννου⟩.

68. *Εὐλογητός*] *Ὁ φανεὶς ἐπὶ γῆς ἐν σαρκί.*

ὅτι ἐπεσκέψατο] *Ἐπεσκέψατο γὰρ τὸν λαὸν τὸν πιστόν, δοὺς αὐτῷ λύτρωσιν αἰωνίαν.*

69. *καὶ ἤγειρεν*] *Τὴν παρθένον τὴν θεοτόκον.*

70. *καθὼς ἐλάλησε*] *Δι' αὐτῶν γὰρ ἐμνημόνευσε τὴν σωτηρίαν τῷ γένει τῶν ἀνθρώπων.*

71. *σωτηρίαν ἐξ ἐχθρῶν*] *Ἡ σωτηρία γὰρ τῶν Ἰουδαίων· ἐξ αὐτῶν γὰρ τὸ κατὰ σάρκα, ἀλλὰ γὰρ καὶ τὸν σταυρὸν αὐτοὶ ἐτέκταινον.*

72. *ποιῆσαι ἔλεος*] *Αὕτη γὰρ ἦν ἡ διαθήκη, ἣν διέθετο πρὸς αὐτοὺς ὁ Χριστὸς περὶ τῆς παρουσίας αὐτοῦ.*

73. *ὅρκον*] *Ὥστε κληρονομῆσαι αὐτὸν τὰ ἔθνη.*

74. *τοῦ δοῦναι*] *Ἐρύσατο γὰρ ἡμᾶς ἐκ τῆς πλάνης τῶν δαιμόνων, δοὺς ἡμῖν ἑαυτὸν καὶ ἔνδυμα καὶ τροφὴν καὶ βοήθειαν.*

75. *λατρεύειν*] *Ἐνώπιον τοῦ φανέντος Χριστοῦ καὶ θεοῦ.*

76. *καὶ σὺ δέ, παιδίον*] *Περὶ Ἰωάννου ὁ λόγος, τοῦ προδρόμου.*

προπορεύσῃ] *Αὐτὸς γὰρ ἐκήρυξε τῷ κόσμῳ τὴν ζωήν.*

77. *τοῦ δοῦναι γνῶσιν*] *Ἐφανέρωσε γὰρ πᾶσι τὴν σωτηρίαν εἰπών· ἴδε ὁ ἀμνὸς τοῦ θεοῦ, ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου.*

ἐν ἀφέσει] *Ἄφεσιν γὰρ ἁμαρτιῶν πᾶσιν ὁ Ἰωάννης ἐμήνυσεν εἰπών· ἴδε ὁ ἀμνὸς τοῦ θεοῦ, μετανοεῖτε.*

78. *ἐν οἷς ἐπεσκέψατο*] *Ἐκ τοῦ οὐρανοῦ ἡ ἀνατολὴ τοῦ φωτός, τοῦ μὴ ἔχοντος ἑσπέραν.*

79. *ἐπιφᾶναι*] *Ἐν σκότει γὰρ ἦν ὁ ἄνθρωπος, ὑπὸ τῆς πλάνης τῶν εἰδώλων κρατούμενος.*

τοῦ κατευθῦναι] *Τῇ ὁδῷ τοῦ εὐαγγελίου.*

(IX) X.

Προσευχὴ Μανασσή ⟨τοῦ βασιλέως τῶν Ἰουδαίων⟩.

1. *Κύριε παντοκράτωρ*] *Αὐτοὶ γὰρ προπάτορες ἐγένοντο, ὡς μέλλων ἐξ αὐτῶν τὸ κατὰ σάρκα γεννᾶσθαι ὁ Χριστός· διὰ τοῦτο ὠνομάσθησαν.*

τοῦ Ἀβραάμ] *Αἰνίττεται τὸν Χριστόν, ὡς ἐξ αὐτῶν τὸ κατὰ σάρκα διὰ τὴν παρθένον.*

2. *ὁ ποιήσας*] *Τίνος γὰρ ἦν τὸν οὐρανὸν καὶ γῆν ποιῆσαι ἢ Χριστοῦ; περὶ οὗ γέγραπται· τῷ λόγῳ κυρίου οἱ οὐρανοὶ ἐστερεώθησαν.*

3. *ὁ πεδήσας*] ⟨*Γέγραπται γὰρ ἐν*

Ἰώβ· ὁμίχλῃ αὐτὴν ἐσπαργάνωσα· ἐθέμην [δὲ] αὐτῇ ὅρια, περιθεὶς κλεῖθρα καὶ πύλας. εἶπα δὲ αὐτῇ· μέχρι τούτου ἐλεύσῃ, ἀλλ' ἐν σεαυτῇ συντριβήσεταί σου τὰ κύματα).

ὁ κλείσας] *Αἰνίττεται τὴν παρθένον, ἥτις κεκλεισμένη ἔσται ἕως τοῦ αἰῶνος· ἄβυσσος διὰ τὸ ἀκατάληπτον τοῦ μυστηρίου.*

4. ὃν πάντα φρίττει] *Τίς γὰρ ἀκούσας δύναμιν θεοῦ οὐ φρίσσει;*

5. ὅτι ἄστεκτος] *Τίς γὰρ ὑπομένει δόξαν θεοῦ ἰδεῖν;*

καὶ ἀνυπόστατος] *Ἀνυπόστατος γὰρ τότε ἡ ὀργὴ τοῦ θεοῦ ἐπὶ τοὺς ἀσεβεῖς εὑρίσκεται.*

6. ἀμέτρητον] *Οὔτε γὰρ μέτρῳ οὔτε εἰκασμῷ ὑποβάλλεται τὰ τοῖς δικαίοις διδόμενα τότε.*

7. σὺ γὰρ εἶ] *Ἡ μακροθυμία τὸ ἔλεος παρασκευάζει.*

καὶ μετανοῶν] *Ἐν τῇ ζωῇ τῇ ὧδε ἔδωκεν ὁ θεὸς ἰσχύειν μετάνοιαν.*

8. σὺ οὖν, κύριε] *Οὐ γὰρ, χρῄζουσι μετανοίας οἱ δίκαιοι.*

τῷ Ἀβραάμ] *Ἦσαν γὰρ ἐλεύθεροι ἀπὸ ἁμαρτίας.*

ἀλλ' ἔθου] *Ὅσοι γὰρ ἥμαρτον, χρῄσουσι μετανοίας.*

9. διότι ἥμαρτον] *Τουτέστι πολλαὶ αἱ ἁμαρτίαι μου.*

ἐπλήθυναν] *Ἀλλ' οὐ νικῶσι τὴν ἀγαθότητά σου.*

καὶ οὐκ εἰμὶ ἄξιος] *Πολλὰ γὰρ ἦν ἁμαρτήσας.*

10. κατακαμπτόμενος] *Ἀντίσταθμον γὰρ τῶν ἁμαρτιῶν μου καὶ τὴν παιδείαν ἐπενόησα.*

διότι παρώργισα] *Καταλείψας θεὸν καὶ δαίμοσι προσχωρήσας.*

καὶ τὸ πονηρόν] *Ποιήσας εἴδωλα κωφά, ἀναίσθητα, δι' ὧν παρώξυνα τὸν θεόν.*

11. καὶ νῦν] *Περὶ τῆς πλημμελείας μου, ἧς ἐτόλμησα.*

12. ἡμάρτηκα] *Καὶ αὐτὸς δὲ ἐπίστασαι τὰ ἐν ἐμοί.*

13. αἰτοῦμαι] *Ἐν γὰρ τῇ σῇ ἀγαθότητι κεῖται ἡ συγχώρησις τοῦ ἀνθρώπου.*

μὴ συναπολέσῃς] *Μὴ σὺν τοῖς ἔργοις μου καταδικάσῃς με.*

μηδὲ εἰς τὸν αἰῶνα] *Τουτέστιν μὴ ἐάσῃς με συναιωνίζειν ταῖς ἁμαρτίαις μου.*

μὴ καταδικάσῃς] *Μὴ μετὰ τῶν ἁμαρτιῶν μου κατέλθω εἰς τὸν ᾅδην, ἀλλὰ ζῶντά με οἴκτειρον.*

14. ὅτι σὺ εἶ — καὶ ἐν ἐμοί] *Τῶν γὰρ σπλάγχνων τοῦ θεοῦ οὐδὲν ἴσον εὑρήσει τις· ἐκεῖ γὰρ οἱ μετανοοῦντες σώζονται.*

ὅτι ἀνάξιον ὄντα] *Τὸ γὰρ ἔλεος τοῦ θεοῦ ἀκατάληπτον.*

15. καὶ αἰνέσω] *Ἀκαταπαύστως τουτέστιν.*

ὅτι σὲ ὑμνεῖ] *Αἱ γὰρ τῶν οὐρανῶν δυνάμεις οὐ παύονται ὑμνοῦντες καὶ δοξάζοντες τὸν θεὸν αἰωνίως.*

XI.

Ἡ εὐχὴ καὶ ὁ ὕμνος τῶν τριῶν παίδων ἐν τῇ καμίνῳ τοῦ πυρός ⟨ἐν Βαβυλῶνι⟩.

26. *Εὐλογητός εἶ*] *Πότε γὰρ ὁ θεὸς οὐκ εὐλογεῖται ὑπὸ πάντων;*

καὶ αἰνετόν] *Καὶ ἐν τῷ νῦν αἰῶνι καὶ ἐν τῷ μέλλοντι δεδοξασμένος ἐστὶν ὁ θεός.*

27. *ὅτι δίκαιος*] *Πάντα γὰρ τὰ τῆς σωτηρίας ἡμῶν ἐπεμέτρησεν ἡμῖν ὡς ἀγαθὸς θεός.*

καὶ πάντα τὰ ἔργα] *Ὡς θεοῦ πάντα ἀληθῆ τὰ παρ' αὐτοῦ.*

28. *καὶ κρίματα ἀληθείας*] *Οὔτε γὰρ ἄκριτον ἢ ψευδές τι παρὰ θεῷ.*

κατὰ πάντα] *Πάντα γὰρ τῷ ἀνθρώπῳ ἐποίησε τὰ καλά.*

καὶ ἐπὶ τὴν πόλιν] *Λέγει μὲν καὶ τὴν αἰσθητὴν Ἱερουσαλήμ, δι' ὅτι πολλὰ ἔπαθε πρὸς ἐπιστροφήν.*

ὅτι ἐν ἀληθείᾳ] *Παροργίσαντες γὰρ τὸν θεὸν ἀπέλαβον.*

29. *ὅτι ἡμάρτομεν*] *Ἠρνήσαντο γὰρ τὸν θεὸν καὶ εἰδώλοις προσεχώρησαν· διὰ πάντων οὖν ἥμαρτον.*

30. *καὶ τῶν ἐντολῶν*] *Παραβάντες γὰρ τὸν νόμον πάντων ἔνοχοι γεγόναμεν.*

καθὼς ἐνετείλω] *Αὐτὸς γὰρ ὡς ἀγαθὸς ἀγαθὰ ἡμῖν συνεβουλεύσατο, ἀλλ' ἡμεῖς ἀνήκοοι.*

31. *καὶ πάντα ὅσα*] *Οὐδὲν γὰρ ἀσκόπως οὔτε ἐπὶ βλάβῃ ποιεῖ ὁ θεός.*

32. *καὶ παρέδωκας*] *Ἀπεριτμήτοις καὶ ἀσεβέσι, μὴ γινώσκουσι τὸν θεόν, ἀλλὰ κατὰ πάντα ἀνόμοις.*

καὶ βασιλεῖ ἀδίκῳ] *Λέγει μὲν τὸν Ναβουχοδονοσόρ, νόει δὲ τὸν διάβολον.*

33. *καὶ νῦν*] *Ὑπόδικοι γὰρ ἐγενήθημεν παρακούσαντες τοῦ θεοῦ.*

αἰσχύνη] *Ὀφείλοντες γὰρ θεῷ λαλεῖν εἰδωλολάτραις ⟨εἰδωλολατρείαις⟩ παρεδόθημεν καὶ κατῃσχύνθημεν.*

34. *μὴ παραδῷς*] *Ἡμῶν γὰρ μὴ ἐχόντων ἔργα σωτηρίας αὐτὸς διὰ τὸ ὄνομά σου μὴ ἐγκαταλίπῃς ἡμᾶς.*

καὶ μὴ διασκεδάσῃς] *Μὴ λήθην ποιήσῃς τῆς διαθήκης σου, ἧς ἔθου πρὸς τοὺς πατέρας ἡμῶν.*

35. *καὶ μὴ ἀποστήσῃς*] *Ἀλλ' ὡς συμπαθὴς θεὸς καταλλάγηθι.*

δι' Ἀβραάμ] *Δι' αὐτοὺς τὸ γένος ὅλον οἰκτειρον· αὐτοὺς γὰρ αὐτὸς ἐπεγράψω πατέρας ⟨ὑμᾶς⟩ γὰρ καὶ αὐτοὶ ἐπεγράψαντο (ἐπεγράφοντο) πατέρας⟩.*

36. *οἷς ἐλάλησας*] *Εἰ γὰρ τοσοῦτον ἐπλήθυνας τὸν λαόν μου ⟨σου⟩, νῦν μὴ ἀπολέσῃς αὐτούς.*

37. *ὅτι δέσποτα*] *Ἐκλεκτοὶ ὄντες, φησίν, ἠτιμώθημεν.*

καί ἐσμεν ταπεινοί] *Πάντα γὰρ τὰ ἔθνη κατεπάτησαν ἡμᾶς, ὅτι τὸν θεὸν παρωξύναμεν.*

38. *καὶ οὐκ ἔστιν*] *Ὄντες γὰρ ἐν αἰχμαλωσίᾳ πάντων ἐξέπεσαν τῶν τιμίων τοῦ νόμου.*

οὐδὲ ὁλοκαύτωσις] *Οὐκ ἦν γὰρ τόπος νομικός, ἐν ᾧ ἔδει ἐπιτελεῖν τὰ τοῦ νόμου ἔργα.*

οὐ τόπος] *Τοῦ τόπου γὰρ ἀπολομένου ⟨ἀπολλυμένου⟩ δηλονότι καὶ τὰ τοῦ τόπου συναπώλετο.*

39. *ἀλλ' ἐν ψυχῇ*] *Ἐν τούτοις γὰρ ἥδεται ὁ θεός.*

40. *ὡς ἐν ὁλοκαυτώμασιν*] *Ὑπὲρ ἄρνας γὰρ [καὶ] δαμάλεις ἡ πίστις ἐνεργεῖ.*

καὶ ὡς ἐν μυριάσιν] *Ἡ γὰρ ταπείνωσις καὶ εὐσέβεια ὑπὲρ πάντα ἰσχύει καὶ λογίζεται.*

οὕτως γενέσθω] *Τῇ γὰρ προθέσει τῇ ἀπὸ καρδίας προσέχει ὁ καιρὸς ὑπὲρ τὰς νομικὰς θυσίας.*[1]

καὶ ἐκτελέσαι] *Τὸ γὰρ ἀκολουθεῖν τῷ θεῷ πάντων μεῖζον.*[1]

ὅτι οὐκ ἔστιν] *Ἡ γὰρ ἐλπὶς οὐ καταισχύνεται.*

41. *καὶ νῦν*] *Καὶ νῦν, φησί, προσπίπτοντες δεόμεθα· δέξαι ἡμῶν τὴν μετάνοιαν.*

42. *μὴ καταισχύνῃς*] *Τουτέστι σὺ παίδευσον ἡμᾶς καὶ μὴ οἱ ἐχθροὶ ἡμῶν πρὸς τὸ μὴ καταισχυνθῆναι.*

ἀλλὰ ποίησον] *Καὶ ἡ παιδεία γὰρ τοῦ θεοῦ ἐπωφελὴς καὶ τὸ ἔλεος ἀνεξιχνίαστον.*

43. *καὶ δὸς δόξαν*] *Ἐν γὰρ τούτῳ ἡ δόξα τοῦ θεοῦ μεγάλη, ἐν τῷ ἐλεεῖν τοὺς ἁμαρτωλούς.*

44. *καὶ ἐντραπείησαν*] *Ὅταν γὰρ ἴδωσιν ἡμῖν ⟨ἡμᾶς⟩ οἱ ἐχθροὶ εἰς τὸ ἀρχαῖον ἀξίωμα, καταισχύνονται.*

καταισχυνθείησαν] *Πίπτει γὰρ τῶν ἐχθρῶν ἡ δύναμις.*

καὶ ἡ ἰσχύς] *Μάθωσι τουτέστι, ὅτι οὐκ ἔστιν θεὸς ἄλλος πλὴν σοῦ μόνου.*

45. *καὶ ἔνδοξος*] *Ἐπὶ πᾶσαν γὰρ τὴν οἰκουμένην κατασκηνοῖ ἡ δόξα τοῦ θεοῦ.*

XII.

⟨Ὠδὴ (ὕμνος) τῶν αὐτῶν τριῶν παίδων.⟩

52. *Εὐλογητός*] *Ὧν σὺ ἐξελέξω καὶ προσκέκληκας.*

καὶ αἰνετός] *Καὶ ἐν τῷ νῦν καὶ ἐν τῷ μέλλοντι αἰῶνι.*

καὶ εὐλογητὸν τὸ ὄνομα] *Ὃ ἐπικέκληται πάντες οἱ ἅγιοι.*

καὶ ὑπεραινετόν] *Αἰωνίως τουτέστιν ἀκαταπαύστως.*[1]

53. *εὐλογημένος εἶ ἐν τῷ ναῷ*] *Ναὸς ἅγιος καὶ δόξης πλήρης τὸ σῶμα τὸ δεσποτικόν, ἐν ᾧ κατῴκησε πᾶν τὸ πλήρωμα τῆς θεότητος.*[1]

καὶ ὑπερυμνητός] *Ἡ γὰρ δόξα τοῦ θεοῦ καὶ ὁ ὕμνος αἰώνιος.*

54. *εὐλογημένος εἶ ὁ βλέπων*] *Καὶ τὰς ἀβύσσους ἐπίστασαι ὡς θεός, καὶ ταύτας ἐφορᾷς, ἐποχούμενος ἐπὶ τῶν χερουβίμ.*

---

[1] In slavica versione abest.

καὶ ὑπερυμνητός] *Τὸν αἰώνιον ὕμνον τῶν ἀγγέλων δεχόμενος ἀκαταπαύστως.*

55. *εὐλογημένος εἶ ἐπὶ θρόνου*] *Ὅτι σου ὁ θρόνος ἀνείκαστος (ἀνίκητος) καὶ ἡ βασιλεία ἀδιάδοχος ὡς θεοῦ.*

καὶ ὑπερυμνητός] *Ὡς θεὸς ἀκατάληπτος καὶ ἐπάνω πάντων ὑπάρχων, τούτου ὁ ὕμνος αἰώνιος.*

56. *εὐλογημένος εἶ ἐν τῷ στερεώματι*] *Διὰ τὸ ἀκατάληπτον ἔργον τοῦ οὐρανοῦ πᾶσα ἡ κτίσις εὐλογεῖ σε, ὁ θεός.*

καὶ ὑπερυμνητός] *Αἰνούμενος καὶ παρὰ πάσης τῆς κτίσεως.*

XIII.

Ὕμνος τῶν ⟨ἁγίων⟩ τριῶν παίδων ⟨ἐν τῷ προφήτῃ Δανιήλ, ἑνὸς ἐκ τριῶν μεγάλων⟩.

57. *Εὐλογεῖτε πάντα τὰ ἔργα*] *Ἐκ συμφωνίας γὰρ πᾶσα ἡ κτίσις εὐλογεῖ τὸν κύριον, ὡς πάντων ποιητὴν καὶ κύριον ὄντα.*

ὑμνεῖτε] *Τὸν ὕμνον τῶν ἐπουρανίων καὶ τοὺς ἐπὶ γῆς ᾄδειν δεῖ.*

58. *εὐλογεῖτε ἄγγελοι*] *Καὶ αὐτοὶ γὰρ ἔργον εἰσί τοῦ λόγου τοῦ θεοῦ καὶ τῇ θεωρίᾳ ὑμνεῖ (ὑμνοῦσι[?]) τὸν θεόν.*[1]

ὑμνεῖτε] *Τουτέστιν οἱ ἄγγελοι διὰ τοῦ ὕμνου μεγαλύνατε τὸν θεόν.*[2]

59. *εὐλογεῖτε οὐρανοί*] *Ὡς θρόνος θεοῦ ὑπάρχων ἀπαύστως εὐλογεῖ τὸν θεόν.*

ὑμνεῖτε] *Τουτέστιν οἱ οὐρανοὶ ὡς εὐλογοῦντες καὶ τὸν ὕμνον προσφέρετε αὐτῷ.*

60. *εὐλογεῖτε ὕδατα*] *Καὶ τὰ ὕδατα γὰρ τοῖς κινήμασι καὶ ἤχοις εὐλογοῦσι τὸν θεόν.*[2]

ὑμνεῖτε] *Ὡσαύτως τὰ ὕδατα ὑμνοῦντα καὶ μεγαλύνοντα τὸν θεὸν οὐ παύονται.*[2]

61. *εὐλογεῖτε πᾶσαι αἱ δυνάμεις*] *Καὶ αὗται γὰρ αἱ δυνάμεις, κτισταὶ οὖσαι, εὐλογοῦσι τὸν κύριον, κτίστην αὐτῶν.*

ὑμνεῖτε] *Ἀκαταπαύστως γὰρ καὶ αὗται ὑμνοῦσαι οὐ παύονται.*

62. *εὐλογεῖτε ἥλιος*] *Καὶ αὐτὰ γὰρ τῷ δρόμῳ ὑπουργοῦντα εὐλογοῦσι τὸν κύριον.*[2]

ὑμνεῖτε] *Ὡς εὐλογοῦσιν οὕτως καὶ ὑμνοῦσιν.*[2]

63. *εὐλογεῖτε ἄστρα*] *Τῇ κινήσει καὶ αὐτὰ καὶ τῇ θεώσει ⟨στερεώσει⟩ εὐλογοῦσι τὸν κύριον.*

ὑμνεῖτε] *Μετὰ τῆς εὐλογίας καὶ τὸν ὕμνον προσφέροντα οὐ παύονται.*

64. *εὐλογεῖτε πᾶς ὄμβρος*] *Τῇ διακονίᾳ καὶ λειτουργίᾳ εὐλογοῦσιν.*[2]

---

[1] In slavica versione abest.
[2] In slavica versione non legitur.

ὑμνεῖτε] Ὡς εὐλογοῦντα καὶ ὑμνοῦσι τὸν κελεύοντα αὐτοῖς.[1]

65. εὐλογεῖτε πάντα τὰ πνεύματα] Καὶ αὐτὰ τοῖς φυσήμασι καὶ τοῖς ἤχοις εὐλογοῦντα οὐ παύονται τὸν ἐμπνέοντα αὐτά.

ὑμνεῖτε] Ὕμνον γὰρ ἀκατάπαυστον μετὰ τῆς εὐλογίας προσφέροντες (προσφερόντων) οὐ παύονται.

66. εὐλογεῖτε πῦρ καὶ καῦμα] Τῇ διακονίᾳ τῆς θέρμης καὶ αὐτὰ εὐλογοῦσι τὸν κύριον.[1]

ὑμνεῖτε] Σὺν τῇ εὐλογίᾳ καὶ τὸν ὕμνον προσάγουσιν.[1]

67. εὐλογεῖτε ψῦχος] Τῇ γὰρ διακονίᾳ καὶ αὐτὰ εὐλογεῖ τὸν κύριον.

ὑμνεῖτε] Σὺν τῇ εὐλογίᾳ καὶ τὸν ὕμνον δότε, φησίν.

68. εὐλογεῖτε δρόσοι] Ὡς μέλλοντα τῇ καμίνῳ συμπαρελάμβανον καὶ αὐτὰ εὐλογεῖν τὸν θεὸν.[1]

ὑμνεῖτε] Μεθ' ἡμῶν γὰρ τὸν ὕμνον καὶ ἡ δρόσος μερίζεται.[1]

69. εὐλογεῖτε πάγος] Τούτων γὰρ χρεία ἐν τῷ πυρί, ὥστε εὐλογεῖν τὸν κύριον.

ὑμνεῖτε] Χρὴ γὰρ ὑμνεῖν ἀϊδίως.

70. εὐλογεῖτε πάχναι] Καὶ αὐτὰ τῇ διακονίᾳ τοῦ προστάγματος εὐλογοῦσι τὸν κύριον.[1]

ὑμνεῖτε] Ὡς τὴν εὐλογίαν προσάγοντες, οὕτως καὶ τὸν ὕμνον.[1]

71. εὐλογεῖτε νύκτες] Καὶ αὗται γάρ, ἀλλήλαις ὑποχωροῦσαι τὸν δρόμον, εὐλογοῦσι τὸν κύριον.

ὑμνεῖτε] Ὑμνοῦσι γὰρ μεγαλύνοντες τὸν δόντα αὐτοῖς τὸν δρόμον.

72. εὐλογεῖτε φῶς] Ἐν γὰρ τῷ φωτὶ πᾶσα εὐλογία τῷ θεῷ προσφέρεται.[1]

73. εὐλογεῖτε ἀστραπαί] Αἱ γὰρ ἀστραπαὶ τῷ φωτὶ καὶ αἱ νεφέλαι τοῖς ὄμβροις εὐλογοῦσι τὸν κύριον.

ὑμνεῖτε] Τῇ γὰρ διακονίᾳ ὑμνοῦσι καὶ αὐτὰ τὸν θεόν.[1]

74. εὐλογείτω ἡ γῆ] Καὶ αὕτη τοῖς καρποῖς εὐλογεῖ τὸν κύριον καὶ ὑπερυψοῖ καὶ ὑμνεῖ.[1]

75. εὐλογεῖτε ὄρη] Καὶ αὐτοὶ εὐλογοῦσι τὸν κύριον.[1]

ὑμνεῖτε] Τῷ ὕψει καὶ τῷ μεγέθει.[1]

76. εὐλογεῖτε πάντα τὰ φυόμενα] Τῇ ὑπηρεσίᾳ τῶν ζώντων εὐλογοῦσι καὶ αὐτὰ τὸν κύριον.

ὑμνεῖτε] Ὑμνεῖν γὰρ πάντα ἔμψυχα καὶ ἄψυχα παρακελεύεται τὸ πνεῦμα ἅγιον.

77. εὐλογεῖτε αἱ πηγαί] Τοῖς ῥεύμασι καὶ νάμασιν εὐλογοῦσιν.[1]

ὑμνεῖτε] Τῇ γὰρ ἀπολαύσει αὗται ὑμνοῦσι τὸν κύριον.[1]

78. εὐλογεῖτε θάλασσαι] Ἡ θάλασσα τοῖς κύμασι καὶ οἱ ποταμοὶ τοῖς ῥεύμασι εὐλογοῦσι τὸν κύριον.[1]

ὑμνεῖτε] Ὡς γὰρ ὑμνοῦσιν αὐτοί, οὐ παύονται.[1]

79. εὐλογεῖτε κήτη] Τὴν τῶν ὑδάτων ⟨τῆς γῆς⟩ φύσιν προτρέπονται οἱ παῖδες εὐλογεῖν σὺν αὐτοῖς τὸν κύριον.

---

[1] In slavica versione non legitur.

ὑμνεῖτε] Ὡς εὐλογεῖτε, ὡσαύτως καὶ ὑμνεῖτε.[1]

80. εὐλογεῖτε πάντα τὰ πετεινά] Καὶ αὐτὰ γὰρ τοῖς πτεροῖς ἠχοῦντα εὐλογοῦσι τὸν κύριον.

ὑμνεῖτε] Προσφέρουσι γὰρ καὶ αὐτὰ ὕμνον τῷ θεῷ.

81. εὐλογεῖτε τὰ θηρία] Πάντα γὰρ παρὰ τῷ θεῷ λόγῳ μετέχουσι καὶ εὐλογοῦντα οὐ παύονται.

ὑμνεῖτε] Ὑμνοῦσι γὰρ αἰωνίως τὰ κτίσματα.

82. εὐλογεῖτε υἱοὶ τῶν ἀνθρώπων] Ὡς λογικὸν ζῷον εὔδηλον ἀπαύστως εὐλογοῦν οὐ παύεται.

ὑμνεῖτε] Οὔτε γὰρ ὑμνῶν ὁ πιστὸς οὐ παύεται.

83. εὐλογείτω Ἰσραήλ] Ὁ λαὸς ὁ πιστὸς καὶ νέος· ὁ γὰρ παλαιὸς ἠθέτησεν.

ὑμνεῖτε] Ὕμνον γὰρ λογικὸν προσφέρων ἀεὶ οὐ παύεται.

84. εὐλογεῖτε ἱερεῖς] Τῶν ἱερέων δὲ ὁ ὕμνος οὐ παύεταί ποτε, ἀλλὰ διηνεκῶς ᾄδεται.

85. εὐλογεῖτε δοῦλοι] Ὁρᾷς, πῶς οἱ ἅγιοι πάντας προτρέπονται διηνεκῶς εὐλογεῖν τὸν κύριον.

ὑμνεῖτε] Οὐδέποτε γὰρ οἱ δίκαιοι καταπαύουσιν.

86. εὐλογεῖτε πνεύματα] Τουτέστιν ἀγωνίσασθε σὺν ἡμῖν, φησίν, οἱ ἅγιοι εἰς τὸ εὐλογεῖν τὸν κύριον.

ὑμνεῖτε] Τῷ ὕμνῳ ἐξαρούμενοι τοῖς ἀγγέλοις τουτέστιν ἀπαύστως.

87. εὐλογεῖτε ὅσιοι] Ὑμεῖς γὰρ καὶ σιωπῶντες τὴν εὐλογίαν ἀνέχετε, τῷ βίῳ λαλοῦντες τῷ καθαρῷ.

ὑμνεῖτε] Ὑμῶν γὰρ ὁ ὕμνος ηὔφραινε τὸν κύριον.

88. εὐλογεῖτε Ἀνανία] Δεῦρο λοιπὸν καὶ αὐτοὶ μετὰ πάσης τῆς κτίσεως εὐλογεῖτε τὸν κύριον, τὸν ῥυσάμενον ὑμᾶς ἐκ τῆς καμίνου τοῦ πυρός.

ὑμνεῖτε] Ὑμῶν γὰρ ὁ ὕμνος τοὺς ἀγγέλους ἐξένισεν καὶ τὴν οἰκουμένην ἐφωταγώγησεν.

XIV.

Εὐχὴ Συμεών.

29. Νῦν ἀπολύεις] Πληρώσας ἐτῶν, φησί, τῶν λαληθέντων αὐτῷ.

30. ὅτι εἶδον] Τὸν Χριστὸν τὸν υἱὸν τοῦ θεοῦ.

31. ὃ ἡτοίμασας] Τοῦ κόσμου παντός.

32. φῶς] Λέγει τὸν πιστὸν λαὸν τὸν ἐξ ἐθνῶν· αὐτοὶ γὰρ ἐφωταγωγήθησαν τὴν γνῶσιν καὶ τὸ ἔλεος τοῦ θεοῦ.

---

[1] Hic desinit slavica versio commentarii.

UNIVERSITY OF ILLINOIS-URBANA
223.6SU76 C001
SUPPLEMENTUM PSALTERII BONONIENSIS; VIND
3 0112 023576199